UNIV. OF
TORONTO
LIBRARY

LGr
A866S

ΑΘΗΝΑΙΟΥ
ΝΑΥΚΡΑΤΙΤΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΑΙ

ATHENAEI
NAUCRATITAE
DEIPNOSOPHISTARUM
LIBRI QUINDECIM

EX OPTIMIS CODICIBUS NUNC PRIMUM COLLATIS
EMENDAVIT AC SUPPLEVIT
NOVA LATINA VERSIONE ET ANIMADVERSIONIBUS
CUM IS. CASAUBONI ALIORUMQUE TUM SUIS
ILLUSTRAVIT
COMMODISQUE INDICIBUS INSTRUXIT

IOHANNES SCHWEIGHAEUSER
ARGENTORATENSIS
INSTITUTI SCIENTIAR. ET ART. POPULI GALLO-FRANC. SOCIUS
ANTIQUAR. LITERAR. IN SCHOLA ARGENT. PROF.

TOMUS QUINTUS

ARGENTORATI
EX TYPOGRAPHIA SOCIETATIS BIPONTINAE
ANNO XIII (1805)

21455

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

I.

Argumentum libri: Amatorius ſermo.

p. 555 a Ἀντιφάνης ὁ κωμῳδιοποιὸς, [1] ἑταῖρε Τιμόκρατες, ὡς ἀνεγίνωσκέ τινα τῷ βασιλεῖ Ἀλεξάνδρῳ τῶν ἑαυτοῦ κωμῳδιῶν, ὁ δὲ δῆλος ἦν οὐ πάνυ τι ἀποδεχόμενος· „Δεῖ γάρ, ἔφησεν, ὦ βασιλεῦ, τὸν ταῦτα ἀποδεχόμενον, ἀπὸ συμβόλων τε πολλάκις δεδειπνηκέναι, καὶ περὶ ἑταίρας πλεονάκις καὶ εἰληφέναι καὶ δεδωκέναι πληγάς·" ὡς φησι Λυκόφρων ὁ Χαλκιδεὺς ἐν τοῖς Περὶ Κωμῳδίας. Ἡμεῖς οὖν τὸν περὶ

1 κωμῳδοποιὸς edd.

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER DECIMUSTERTIUS.

Antiphanes comicus, amice Timocrates, quum ſuarum comoediarum quamdam Alexandro recitaſſet, eamque ſibi non admodum probari rex prae ſe ferret: *Nil mirum*, inquit, *o Rex: oportet enim, qui haec probaturus ſit, ſaepius hunc e ſymbolis coenaſſe, & meretricis cauſſa ſaepe plagas & accepiſſe & intuliſſe:* ut narrat Lycophron Chalcidenſis in libris de Comoediâ. Nos igitur ſermo-

Ἐρωτικῶν λόγον ἐνταῦθα μέλλοντες κατατάττειν, b (ἐγένοντο γὰρ καὶ περὶ γαμετῶν καὶ ἑταιρῶν πολλάκις λόγοι) εἰδόσιν [1] ἐκτιθέμενοι τὴν ἱστορίαν, τῶν Μουσῶν τὴν Ἐρατὼ ἐπικαλεσάμενοι, εἰς μνήμην ἡμῖν ἰέναι τὸν ἐρωτικὸν ἐκεῖνον κατάλογον, [2] ἐντεῦθεν τὴν καταρχὴν ποιησόμεθα·

Εἰ δ' ἄγε νῦν, Ἐρατὼ, παρ' ἴστασο καί μοι ἔνισπε,

τίνες λόγοι περὶ αὐτοῦ τοῦ ἔρωτος καὶ τῶν ἐρωτικῶν ἐλέχθησαν.

II. Spartanorum nuptiae fortuitae.

Καὶ γὰρ τὰς γαμετὰς ὁ καλὸς ἡμῶν ἑστιάτωρ ἐπαινῶν, Ἕρμιππον, ἔφη, ἐν τῷ Περὶ Νομοθετῶν c ἱστορεῖν, ὅτι ἐν Λακεδαίμονι εἴς οἴκημά τι σκοτεινὸν πᾶσαι συνεκλείοντο αἱ κόραι, συγκλειομένων καὶ τῶν ἀγάμων νεανίσκων· καὶ ἕκαστος ἧς ἐπιλάβοιτο, ταύτην ἀπῆγεν ἄπρικον. διὸ καὶ Λύσανδρον ἐζημίωσαν,

1 οὐκ εἰδόσιν corr. Caſ. cum Dal. 2 κατὰ λόγον Ms.

nem *de Rebus Amatoriis* hoc loco expoſituri, (crebri enim & *de Uxoribus* & *de Meretricibus* ſermones inciderunt) quum non ignaris narraturi ſimus hiſtoriam, Muſarum de choro Eratonem invocantes, ut in memoriam nobis revocare *Amatorium* illum *Catalogum* velit, hinc auſpicabimur:

Age nunc, Erato, adesdum, & ſuggere mihi,
quinam ſermones de Amore ipſo & de rebus Amatoriis dicti fuerint!

2. Igitur *legitimas uxores* laudans praeclarus noſter convivator: Hermippum, ait, in libro De Legumlatoribus tradere, *Lacedaemone* virgines omnes in obſcuro quodam conclavi concludi ſolitas, unâque concluſos fuiſſe iuvenes coelibes; quorum quisque quamcumque prehend t, illam domum uxorem abduceret indotatam. Itaque etiam Lyſandrum multatum fuiſſe, quod

ὅτι καταλιπὼν τὴν προτέραν, ἑτέραν ἐβουλεύετο περικαλλεστέραν ἀγαγέσθαι. Κλέαρχος δ' ὁ Σολεὺς, ἐν τοῖς Περὶ Παροιμιῶν· „Ἐν Λακεδαίμονι, φησὶ, τοὺς ἀγάμους αἱ γυναῖκες ἐν ἑορτῇ τινι περὶ τὸν βωμὸν ἕλ-
d κουσαι ῥαπίζουσιν· ἵνα τὴν ἐκ τοῦ πράγματος ὕβριν φεύγοντες, φιλοστοργῶσί τε καὶ ἐν ὥρᾳ προσίωσι τοῖς γάμοις. ἐν δὲ Ἀθήναις πρῶτος Κέκροψ μίαν ἐνὶ ἔζευξεν, ἀνέδην τὸ πρότερον οὐσῶν τῶν συνόδων, καὶ κοινογαμίων ὄντων. διὸ καὶ ἔδοξέ τισι διφυὴς νομισθῆναι, οὐκ εἰδότων τῶν πρότερον διὰ τὸ πλῆθος τὸν πατέρα." Cecrops matrimonium instituit Athenis.

Ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτώ, οὐ τοῦ δικαίου καλουμένου, (οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν) ἀλλὰ τοῦ
a τρίτου ἀπ' ἐκείνου. εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Socrates an bigamus?

relicta priore aliam formosiorem ducere constituisset. Clearchus vero Solensis, in libris DE Adagiis, ait: »Lacedaemone festis quibusdam diebus viros coelibes nuptae mulieres circa altare trahentes colaphis caedunt; quo illi, indignitatem eius contumeliae fugientes, naturali adfectui procreandae sobolis pareant, & tempestivum ineant matrimonium. *Athenis* vero primus *Cecrops* unum uni iunxit, cum promiscui olim congressus & communes nuptiae fuissent. Quam ob caussam etiam, ut statuunt nonnulli, διφυὴς habitus est Cecrops; (id est, *duplicis naturae*; vel, *utriusque generis auctor, cum paterni, tum materni*;) quum olim homines, ob promiscuam multitudinem, patrem nesciviſſent. « Ab his initiis profectus merito reprehendat aliquis hos qui Socrati duas uxores tribuunt, Xanthippen & Myrtonem, Aristidis filiam, non illius qui Iustus est cognominatus, (repugnat enim temporum ratio) sed tertii ab illo. Sunt autem hi Callisthenes, Demetrius Phalereus, Satyrus Pe-

Φαληρεὺς, Σάτυρος ὁ Περιπατητικὸς, Ἀριστόξενος· οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν, ἱστορῶν τοῦτο ἐν τῷ Περὶ Εὐγενείας. εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ' ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον. ὅθεν καὶ τοὺς τῆς κωμῳδίας ποιητὰς ἀποσιωπῆσαι τοῦτο, πολλάκις τοῦ Σωκράτους μνημονεύοντας. παρέθετο δὲ περὶ τῶν γυναικῶν ψήφισμα Ἱερώνυμος ὁ Ῥόδιος· ὅπερ σοι διαπέμψομαι, εὑπορήσας τοῦ βιβλίου. ἀντεῖπε δὲ b τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

III. Pellicum usus apud Barbaros.

Παρὰ δὲ Πέρσαις ἀνέχεται ἡ βασίλεια τοῦ πλήθους τῶν παλλακίδων, διὰ τὸ ὡς δεσπότην ἄρχειν τῆς γαμετῆς τὸν βασιλέα, ἔτι δὲ καὶ διὰ τὸ τὴν βασιλίδα, ὥς φησι Δίνων ἐν τοῖς Περσικοῖς, ὑπὸ τῶν παλλακίδων θρησκεύεσθαι· προσκυνοῦσι γοῦν αὐτήν. Καὶ ὁ Πρίαμος δὲ πολλαῖς χρῆται γυναιξὶ, καὶ ἡ Ἑκάβη οὐ δυσχεραίνει. λέγει γοῦν ὁ Πρίαμος·

ripateticus, Ariſtoxenus: quibus praeivit Ariſtoteles, in libro de Nobilitate generis id tradens. Niſi fortaſſe plebiſcito conceſſum hoc tunc temporis fuit ob hominum raritatem, ut volenti licuerit etiam duas habere uxores. Quare etiam comici poëtae hoc tacuerunt, quamvis frequentem Socratis mentionem facientes. Adpoſuit vero decretum de uxoribus Hieronymus Rhodius; quod ad te mittam, ubi libri compos fuero factus. At illis, qui de duabus Socratis uxoribus ſcripſerunt, contradixit Panaetius Rhodius.

3. Apud *Perſas* vero regina multas *pellices* tolerat, cum quia rex uxori veluti dominus imperat, tum quia reginam (ut ait Dinon in Perſicis) venerantur pellices; quippe quae eam adorant etiam. Sed & Priamus multis utitur foeminis; neque id aegre fert Hecuba. Dicit ſane Priamus:

c Ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

Παρὰ δὲ τοῖς Ἕλλησιν οὐκ ἀνέχεται ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. Μήδεια δὲ, καίπερ εἰδυῖα τὸ ἔθος, ὅτι ἐστὶ βαρβαρικὸν, οὐ φέρει οὐδὲ αὐτὴ τὸν Γλαύκης γάμον, ἤδη εἰς τὰ ἀμείνω καὶ Ἑλληνικὰ ἐκδεδιητημένη. καὶ ἡ Κλυταιμνήστρα δὲ περιπαθὴς γενομένη, τὴν Κασάνδραν σὺν αὐτῷ τῷ [1] Ἀγαμέμνονι ἀποκτείνει, ἣν εἰς τὴν Ἑλλάδα ὁ κρείων
d ἐπηγάγετο, ἐν ἔθει γενόμενος βαρβαρικῶν γάμων.

„Θαυμάσαι δ' ἄν τις, φησὶν Ἀριστοτέλης, ὅτι οὐδαμοῦ τῆς Ἰλιάδος Ὅμηρος ἐποίησε Μενελάῳ συγκοιμωμένην παλλακίδα, πᾶσι δοὺς γυναῖκας. [2] κοιμῶνται γοῦν παρ' αὐτῷ καὶ οἱ γέροντες μετὰ γυναικῶν, Νέστωρ καὶ Φοίνιξ. οὐ γὰρ ἦσαν οὗτοι ἐκλελυμένοι τοῖς σώμασιν ἐν τοῖς τῆς νεότητος χρόνοις, ἢ διὰ μέθης, ἢ δι'

Menelaus ad Troiam concubinâ non utitur.

1 Abeſt artic. edd. 2 γυναῖκα edd.

Novemdecim quidem mihi uno ex utero erant;
reliquos vero mihi pepererunt in aedibus foeminae.

Apud Graecos vero, pellicem Amyntoris non patitur mater Phoenicis. Et Medea, quamvis gnara moris apud barbaros recepti, non fert tamen Glauces nuptias, quippe iam melioribus Graecorum inſtitutis adſueta. Item Clytaemneſtra, dolore incenſa, Caſandram ſimul cum ipſo Agamemnone interficit, quam ſecum in Graeciam adduxerat rex, barbaricis nuptiis adſuetus. »Miretur vero aliquis, ait Ariſtoteles, quod nusquam in Iliade Menelaum cum pellice concumbentem faciat Homerus, qui tamen aliis omnibus mulieres tribuit. Concumbunt ſane apud illum cum mulieribus etiam ſenes, Neſtor & Phoenix. Non fuerunt enim hi effoeto corpore, vitio ex iuvenili aetate contracto, ſive per temulentiam, ſi-

ἀφροδισίων, ἢ καὶ διὰ τὰς ἐν ταῖς ἀδηφαγίαις ἀπεψίας, ὥστε εἰκότως ἔρρωνται [1] τῷ γήρᾳ. ἔοικεν οὖν ὁ Σπαρτιάτης αἰδεῖσθαι γαμετὴν οὖσαν τὴν Ἑλένην, ὑπὲρ ἧς καὶ τὴν στρατείαν ἤθροισε· διόπερ φυλάττεται τὴν e πρὸς ἄλλην κοινωνίαν. ὁ δ' Ἀγαμέμνων ὡς πολυγύναιος ὑπὸ Θερσίτου λοιδορεῖται·

Πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ κλισίῃς ἐξαίρετοι, ἄς τοι Ἀχαιοὶ
πρωτίστῳ δίδομεν.

Ἀλλ' οὐκ εἰκὸς, φησὶν ὁ Ἀριστοτέλης, εἰς χρῆσιν εἶναι τὸ πλῆθος τῶν γυναικῶν, ἀλλ' εἰς γέρας· ἐπεὶ οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ μεθύειν παρεσκευάσατο." [2]

IV. Hercules πολυγύναιος:

Ὁ δὲ Ἡρακλῆς πλείστας δόξας ἐσχηκέναι γυναῖκας, ἦν γὰρ Φιλογύνης, ἀνὰ μέρος αὐτὰς εἶχεν, f ὡς ἂν στρατευόμενος, καὶ κατὰ διάφορα γιγνόμενος χωρία· ἐξ ὧν καὶ τὸ τῶν τέκνων αὐτῷ πλῆθος ἐγένετο.

1 ἔῤῥωντο edd. 2 παρεσκευάζετο edd.

ve nimio Veneris uſu, ſive cruditatibus ex voracitate: quare merito vegeti validique ſunt in ſenectute. Videtur igitur Spartanus, uxorem Helenam reveritus, propter quam etiam ſusceperat illam expeditionem, ab aliarum foeminarum congreſſu abstinuiſſe. Agamemnon vero ut pluribus utens mulieribus vituperatur a Therſite:

Multi tibi ſunt aenei lecti, multaeque mulieres
in tentoriis ſunt exquiſitae, quas tibi nos Achivi
primo omnium damus.

At non eſt conſentaneum, ait Ariſtoteles, illam mulierum multitudinem fuiſſe ei ad concubitus uſum, ſed honoris cauſſâ, & in praemium virtutis: nam & vini copiam non ad temulentiae uſum ſibi comparaverat. «

4. *Hercules* vero, qui plurimas perhibetur uxores habuiſſe, fuit ille ſane mulieroſus, ſed diverſis illas temporibus locisque habuit, ut vir militaris variis in locis belli cauſſa verſatus: & ex illis magnum illum libero-

ἐν ἑπτὰ μέν τοι γε ἡμέραις πεντήκοντα διεπαρθένευσε Θεστίου κόρας, ὡς Ἡρόδωρος ἱστορεῖ. Πολυγύναιος δὲ ἐγένετο καὶ Αἰγεύς. πρώτην [1] μὲν γὰρ ἔγημε τὴν Ὀπλητος θυγατέρα, μεθ' ἣν τῶν Χαλκόδοντος [2] μίαν. παραδοὺς δ' ἀμφοτέρας φίλοις, συνῆν πολλαῖς χωρὶς γάμων. ἔπειτα τὴν Πιτθέως ἔλαβεν Αἴθραν, μεθ' ἣν a Μήδειαν. Θησεὺς δὲ Ἑλένην ἁρπάσας, ἐξῆς καὶ Ἀριάδνην ἥρπασε. Ἴστρος γοῦν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἀττικῶν, καταλέγων τὰς τοῦ Θησέως γενομένας γυναῖκας, φησὶ τὰς μὲν αὐτῶν ἐξ ἔρωτος γεγενῆσθαι, τὰς δ' ἐξ ἁρπαγῆς, ἄλλας δ' ἐκ νομίμων γάμων· ἐξ ἁρπαγῆς μὲν Ἑλένην, Ἀριάδνην, Ἱππολύτην, καὶ τὰς Κερκύονος καὶ Σίνιδος θυγατέρας· νομίμως δ' αὐτὸν γῆμαι Μελίβοιαν, [3] τὴν Αἴαντος μητέρα. [4] Ἡσίοδος δέ φησιν καὶ Ἵππην, [5] καὶ Αἴγλην,

item Aegeus; & Theseus.

1 πρῶτον edd. 2 Χαλκώδοντος edd. 3 Aliis Περίβοια nominatur. 4 μητέρα γυναῖκα edd. 5 Aliis Ἰόπην.

rum numerum progenuit. Intra septem quidem dies, ut tradit Herodorus, quinquaginta Thestii filias virgines compressit. Multis etiam mulieribus usus est *Aegeus*. Primum enim Hopletis filiam duxit uxorem; & post hanc, ex Chalcodontis filiabus unam: quas postquam permisit amicis, cum multis aliis rem habuit, nullo matrimonii vinculo adstrictus. Deinde Pitthei filiam uxorem duxit Aethram; & post hanc rursus Medeam. *Theseus* vero raptâ Helenâ, deinde etiam Ariadnen rapuit. Ister quidem libro decimo quarto Rerum Atticarum uxores Thesei recensens ait, alias earum ex amore uxores eius factas esse, alias raptu, alias vero legitimis nuptiis. Ex raptu quidem Helenam, Ariadnen, Hippolytam, & Cercyonis & Sinidis filias: legitimo vero matrimonio habuisse Meliboeam, [*sive*, Periboeam] Aiantis matrem. Hesiodus vero ait etiam Hippen, [*sive*, Iopen,] & Ae-

δι' ἣν καὶ τοὺς πρὸς Ἀριάδνην ὅρκους παρέβη, ὥς φησι Κέρκωψ. Φερεκύδης δὲ προστίθησι καὶ Φερέβοιαν. b πρὸ δὲ τῆς Ἑλένης καὶ ἐκ Τροίας [1] ἥρπασεν Ἀναξώ. μετὰ δὲ τὴν Ἱππολύτην, Φαίδραν ἔσχεν.

V.

Philippus Macedo polygamus.

Φίλιππος δέ, ὁ Μακεδών, οὐκ ἐπήγετο μὲν εἰς τοὺς πολέμους γυναῖκας, ὥσπερ Δαρεῖος ὁ ὑπ' Ἀλεξάνδρου καταλυθείς· ὃς περὶ τῶν ὅλων πολεμῶν τριακοσίας πεντήκοντα περιήγετο παλλακάς, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τρίτῳ Περὶ τοῦ τῆς Ἑλλάδος βίου. „Ὁ δὲ Φίλιππος ἀεὶ κατὰ πόλεμον ἐγάμει. ἐν ἔτεσι γοῦν εἴκοσι καὶ δυσὶν, [2] οἷς ἐβασίλευσεν, ὥς φησι Σάτυρος ἐν τῷ Περὶ τοῦ Βίου αὐτοῦ, Αὐδάταν Ἰλλυρίδα c γήμας, ἔσχεν ἐξ αὐτῆς θυγατέρα Κύνναν· ἔγημε δὲ καὶ Φίλαν, ἀδελφὴν Δέρδα καὶ Μαχάτα. οἰκειώσασθαι δὲ θέλων [3] καὶ τὸ τῶν Θετταλῶν ἔθνος, ἐπαι-

1 Rectius fuerit Τροιζηνίας. 2 εἴκοσι καὶ δύο ms. *A*. Duo poſtrema verba deſunt editis. Forſ. εἴκοσι δ'. aut κδ'. olim ſcriptum fuerat. 3 δ' ἐθέλων edd.

glen; propter quam etiam, ut Cercops tradit, iusiurandum violavit quo Ariadnae ſeſe obſtrinxerat. Pherecydes vero etiam Phereboeam adiicit. Ante Helenam vero ex Troia [*ſive*, e Troezene] etiam Anaxonem rapuit. Poſt Hippolytam autem Phaedram habuit.

5. *Philippus Macedo* in bellicis quidem expeditionibus ſecum non circumduxit mulieres; quod Darius fecit, is qui ab Alexandro debellatus eſt: qui, quum de ſumma imperii bellum gereret, trecentas & quinquaginta pellices ſecum circumduxit, ut tradit Dicaearchus tertio libro de Vita Graeciae. »Philippus vero ſemper, quoties bellum gereret, uxorem duxit. Viginti duobus quidem annis quos regnavit, ut ait Satyrus in libro de eius Vita, primum Audatam duxit Illyriam, quae filiam ei peperit Cynnam: duxitque porro Philam, Derdae & Machatae ſororem: tum, conciliaturus ſibi Theſſalorum

δοποιήσατο ἐκ δύο Θετταλίδων γυναικῶν· ὧν ἡ μὲν, ἦν Φεραία Νικησίπολις, ἥ τις αὐτῷ ἐγέννησε Θετταλονίκην· ἡ δὲ, Λαρισαῖα Φίλιννα, ἐξ ἧς Ἀριδαῖον ἐτέκνωσε. προσεκτήσατο δὲ καὶ τὴν Μολοττῶν βασιλείαν, γήμας Ὀλυμπιάδα, ἐξ ἧς ἔσχεν Ἀλέξανδρον καὶ
d Κλεοπάτραν. καὶ τὴν Θρᾴκην δὲ ὅτε εἷλεν, ἦκεν πρὸς αὐτὸν Κιθήλας [1] ὁ τῶν Θρᾳκῶν βασιλεὺς, ἄγων Μήδαν τὴν θυγατέρα καὶ δῶρα πολλά. γήμας δὲ καὶ ταύτην, ἐπεισήγαγε τῇ Ὀλυμπιάδι. ἐπὶ πάσαις δὲ ἔγημε Κλεοπάτραν ἐρασθεὶς, τὴν Ἱπποστράτου μὲν ἀδελφὴν, Ἀττάλου δὲ ἀδελφιδῆν· καὶ ταύτην ἐπεισάγων τῇ Ὀλυμπιάδι, ἅπαντα τὸν βίον τὸν ἑαυτοῦ συνέχεεν. εὐθέως γὰρ ἐν αὐτοῖς τοῖς γάμοις, ὁ μὲν Ἄτταλος· „Νῦν μέντοι γνήσιοι, ἔφη, καὶ οὐ νόθοι βασιλεῖς γεννηθήσονται.“ καὶ ὁ Ἀλέξανδρος ἀκούσας, ἔβαλεν ᾗ
e μετὰ χεῖρας εἶχεν κύλικι τὸν Ἄτταλον· ἔπειτα κἀκεῖ-

1 Κοθήλας Ms.

gentem, ex duabus Theſſalicis mulieribus liberos procreavit; quarum altera Pheraea erat, nomine Niceſipolis, quae ei peperit Theſſalonicam; altera Lariſſaea, Philinna, ex qua Aridaeum ſuscepit. Moloſſorum vero regnum dotem accepit cum Olympiadem duceret, e qua ei natus eſt Alexander & Cleopatra. Dein Thraciam poſtquam cepit, venit ad eum Cithelas, [*ſive*, Cothelas] rex Thracum, Medam filiam ei adducens cum multis muneribus: quam & ipſam uxorem duxit ſecundum Olympiadem. Poſt iſtas omnes rurſus Cleopatram duxit amore captus, Hippoſtrati ſororem, Attali vero ex fratre neptem: quâ iuxta Olympiadem domum deductâ, omnem reliquam vitam ſuam turbavit. Statim enim in ipſis nuptiis Attalus dixit: *Nunc quidem legitimi reges, non nothi, naſcentur:* quâ voce auditâ Alexander, quem in manibus habebat calicem, impegit Attalo, & hic rur-

νος αὐτὸν τῷ ποτηρίῳ. καὶ μετὰ ταῦτα Ὀλυμπιὰς μὲν εἰς Μολοττοὺς ἔφυγεν, Ἀλέξανδρος δ' εἰς Ἰλλυριούς. καὶ ἡ Κλεοπάτρα δὲ ἐγέννησε τῷ Φιλίππῳ θυγατέρα τὴν κληθεῖσαν Εὐρώπην." Φιλογύνης δ' ἦν καὶ Εὐριπίδης ὁ ποιητής. Ἱερώνυμος γοῦν ἐν Ἱστορικοῖς Ὑπομνήμασι φησὶν οὕτως· „Εἰπόντος Σοφοκλεῖ τινος, ὅτι μισογύνης ἐστὶν Εὐριπίδης· Ἐν γε ταῖς τραγῳδίαις, ἔφη ὁ Σοφοκλῆς· ἐπεὶ ἔν γε τῇ κλίνῃ Φιλογύνης."

Euripides, non μισογύνης nisi in tragoediis.

VI. Meretricum mores.

Αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες οὐκ εἰσὶ τοιαῦται, οἵας [1] Εὔβουλός φησιν ἐν Στεφανοπώλισιν· f

Μὰ Δί', οὐχὶ περιπεπλασμέναι ψιμυθίοις, [2]
οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχριμέναι. [3] κἂν ἐξίητε τοῦ θέρους,
ἀπὸ τῶν μὲν [4] ὀφθαλμῶν ὑδρορρόαι δύο
ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς 5

1 οἵας καὶ Εὐβ. edd. 2 ψιμυθίοις edd. cum ms. *Ep.* & dein rurſus ψιμυθίου. 3 κεχρισμέναι ms. *Ep.* 4 Deeſt μὲν edd.

ſus illi poculum. Et poſt haec Olympias in Moloſſorum terram profugit, Alexander vero ad Illyrios. Cleopatra autem Philippo filiam peperit, cui Europae nomen inditum. « Mulieroſus vero fuit etiam *Euripides* poëta. Hieronymus certe, in Commentariis Hiſtoricis, ita ſcribit: » Cum Sophocli dixiſſet aliquis, *mulierum oſorem eſſe Euripidem*; reſpondit Sophocles: *In tragoediis utique; at in lecto mulieroſus.*«

6. Noſtrae vero nuptae mulieres non ſunt tales, quales Eubulus ait in Corollivendulis:

Per Iovem non ceruſſâ circum oblitae
nec mori ſucco genis, ſicut vos,
perunctae: quae ſi per aeſtatem forâs exitis,
ab oculis quidem veſtris rivi duo
defluunt atramento, e genis vero ſudor

ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη [1] ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες Φορούμεναι
a εἴξασι πολιαῖς, ἀνάπλεω ψιμυθίου.

Ἀναξίλας δὲ, ἐν Νεοττίδι, φησίν·

Meretrix belluarum omnium exitiosissima.

Ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώ ποτε,
οὐ γένος τι ἂν, [2] δύναιτο [3] παρανομώτατον [4] φράσαι.
Τίς γὰρ ἢ δράκαιν' ἄμικτος, ἢ χίμαιρα πυρπνόος,
ἢ χάρυβδις, ἢ τρίκρανος σκύλλα, ποντία κύων,
σφὶγξ, ὕδρα, λέαιν', ἔχιδνα, πτηνά θ' ἁρπυιῶν γένη,
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους;
b Οὐκ ἔνεσθ'· αὗται δ' ἁπάντων ὑπερέχουσι τῶν κακῶν.

Ἔστι δὲ σκοπεῖν ἀπ' ἀρχῆς πρῶτα μὲν τὴν Πλαγγόνα,

1 μιλθώδη ed. Cas. 2 οὐ γένος τίς ἂν edd. cum ms. *A.* οὐ γένος ἂν *Epit.* 3 Temere δύνατο ed. Bas. & Cas. 4 παρανομώτερον corrigunt viri docti.

in collo sulcum miniatum efficit;
capilli vero super facie volitantes
cani videntur esse, ita sunt cerussâ operti.

Anaxilas vero, in Neottide, ait:

Quisquis umquam quamquam amavit genere de meretricio,
dicet, nullum aeque scelestum posse reperiri genus.
Nam quae terribilis dracaena, quae Chimaera ignem vomens,
quae Charybdis, quae trivertex Scylla canis Neptunia,
vipera, excetra, Sphinx, leaena, volucre Harpyarum genus,
exsuperare nationem valeat exsecrabilem?
Non pote: illae, quod malorum est usquam, superant malitiâ.
Singulas consideremus ordine. Primum Plangonem:

ἥτις ὥσπερ ἡ χίμαιρα πυρπολεῖ τοὺς βαρβάρους.
εἷς μόνος δ' [1] ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο·
πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ' ἐκ τῆς οἰκίας. 11
Οἱ Σινώπη δ' αὖ συνόντες, οὐχ ὕδρᾳ σύνεισι [2] νῦν;
γραῦς μὲν αὕτη, παραπέφυκε δ' ἡ Γνάθαινα πλησίον
ὡς τὰ πολλά γ' εἰσὶ ταύτης. [3] ἔστι διπλάσιον κακόν.
Ἡ δὲ Νάννιον τί νῦν [δὴ] [4] διαφέρειν Σκύλλης c
δοκεῖ; 15
οὐ δύ' ἀποπνίξασ' ἑταίρους, τὸν τρίτον θηρεύεται
ἔτι λαβεῖν; ἀλλ' ἐξέπαισε [5] πορθμὶς ἐλατίνῳ πλάτῃ.
Ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ;
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ' αὐτῷ σκάφει.
Ἡ Θεανὼ δ' οὐχὶ Σειρὴν ἐστιν ἀποτετιλμένη; 20

1 εἷς δὲ μόνος edd. 2 σύνεισιν edd. 3 Post πλησίον, & post εἰσὶ, comma ponit Grotius. χρᾶτα πόλλ' ἄνεισι ταύταις corr. Iacobs: *multa capita his surgunt.* Uterque dein ἔστι δὲ διπλάσιον κακόν legit. 4 δὴ ex coniect. adiecimus. ἡ δὲ Ναννὼ τί νῦν edd. ἡ δὲ Νάννιον τί δεινῆς corrigit Iacobs. 5 ἐξέπεσε vulgo. ἐξέπεσέ γε Grot. ἐξέπαισ' ἡ πορθμὶς Iacobs.

more quae trucis Chimaerae vaſtat igne barbaros.
Unus tandem eques eſt repertus, ipſi qui vitam abstulit:
nam ſupellectile omni raptâ, ſe proripuit de domo.
At, quibus res cum Sinope eſt, nonne res eſt cum excetra?
Ipſa namque anus eſt: at illi iam Gnathaena adnaſcitur,
pleraque illam pulcram referens, peſtis ut fiat duplex.
Nannium vero quid eſt quod, oro, a Scylla differat?
nonne, duobus ſtrangulatis, iam venatur tertium?
ſed remorum auxilio navis effugit periculum.
At Charybdin nonne Phryne longe poſt ſe poſtumat:
quae naviculatorem abſorpſit totum cum navi ſua?
At Theano Siren ipſa eſt, niſi quod glabro corpore:

βλέμμα καὶ φωνὴ γυναικὸς, τὰ σκέλη δὲ κοψίχου.
d Σφίγγα Θηβαίαν δὲ πάσας ἐστὶ τὰς πόρνας καλεῖν·
αἳ λαλοῦσ' [1] ἁπλῶς μὲν οὐδέν, ἀλλ' ἐν αἰνιγμοῖς τισιν, [2]
ὡς ἐρῶσι, καὶ φιλοῦσι, καὶ σύνεισιν ἡδέως.
εἶτα, τετράπους μοι γένοιτο, φησὶ, σκίμπους, ἢ θρόνος· [3]
εἶτα δὴ, [4] τρίπους τις· εἶτά φησι, παιδίσκη δίπους.
Εἶθ' ὁ μὲν γνοὺς ταῦτ' ἀπῆλθεν εὐθὺς, ὥσπερ Οἰδίπους, [5]
e οὐδ' ἰδεῖν δόξας ἐκείνην, [6] σώζεται δ' ἄκων μόνος. [7]
Οἱ δ' ἐρᾶσθαι προσδοκῶντες [8] εὐθύς εἰσιν ἠρμένοι,
καὶ φέρονθ' ὑψοῦ πρὸς αἶθραν. συντεμόντι δ' οὐδὲ ἓν
ἔσθ' ἑταίρας, ὅσα περ ἔστι θηρί', ἐξωλέστερον. 31

1 λαβοῦσ' ed. Ven. & Baſ. cum ms. *A.* λαβοῦσαι ms. *Ep.* 2 ἀλλ' αἰνίγμασίν τισιν edd. 3 Prorſus turbatus erat hic verſ. & ſeq. in edd. 4 εἶτα δὲ edd. 5 Abeſt vulgo Οἰδίπους, & iunguntur ὅσπερ γ' οὐδ' ἰδεῖν &c. 6 οὐδὲ ἓν δώσας ἐκείνῃ Grot. δεινὰ λέξας εἰς ἐκείνην Iac. 7 μόλις coni. Iac. 8 προσδοκοῦντες edd.

cui foeminea vox & os eſt, crura qualia merulae.
Sphinx Thebana, hoc nomen omnes in meretrices convenit:
quae nihil dicunt aperte, ſed perplexiloquis modis;
nempe, ſe diligere, amare, & una eſſe libentiſſime.
Tum, Quadrupes mihi detur! *aiunt; lectus aut ſedes, puta:*
adde bipedem; *haec eſt puella:* veniat poſtremo tripes.
Haec qui intelligit, recedit illico, tamquam Oedipus,
nil ſui dans: [potius: *quaſi illam non vidiſſet:*] *atque ita ſolus damni ſe immunem facit.*
At, qui ſe credunt amari, ſurſum tolluntur [*rapiuntur*] *ſtatim*
coeli ſublimes in auras. Breviter, quot ſunt belluae,
inter has eſt nulla, ſcorto quae ſit peſtilentior.

VII. Uxorum importuna dominatio.

Τοιαῦτα πολλὰ τοῦ Λαρησίου λέγοντος, ὁ Λεωνίδης ψέγων τὸ τῆς γαμετῆς ὄνομα, τὰ ἐκ τῶν Μάντεων Ἀλέξιδος προηνέγκατο ταυτὶ τῶν ἐπῶν·

Ὦ δυστυχεῖς ἡμεῖς [1] [μὲν οἱ] [2] πεπρακότες
τὴν τοῦ βίου παῤῥησίαν καὶ τὴν τρυφὴν,
γυναιξὶ δοῦλοι ζῶμεν ἀντ' ἐλευθέρων.
Ἔπειτ' ἔχειν προῖκ', οὐχὶ τιμὴν πάσχομεν; [3]
πικράν γε, καὶ μεστὴν γυναικείας χολῆς.
ἡ τῶν γὰρ ἀνδρῶν ἐστι πρὸς κείνην μέλι·
οἱ μέν γε συγγνώμην ἔχουσ' ἀδικούμενοι.
αὗται δ' ἀδικοῦσαι, καὶ προσεγκαλοῦσ' ἔτι·
ὧν οὐκ ἐχρῆν ἄρχουσιν, ὧν δ' ἄρχειν ἐχρῆν
ἀμελοῦσιν· ἐπιορκοῦσιν· οὐδὲ ἓν κακὸν
ἔχουσι, καὶ κάμνειν λέγουσιν ἑκάστοτε.
Ξέναρχος δ', ἐν Ὕπνῳ, φησίν·

1 ἡμῖν ed. Caſ. 1. & 2. 2 Duo verba e coni. adiecta. 3 φάσκομεν corrigunt viri docti.

7. Talia quum multa dixiſſet Larenſius, Leonidas *uxoris* nomen vituperans, ex Alexidis Vatibus hos ipſos verſus recitavit:

O nos profecto vere miſeros coniuges!
qui emancipatâ libertate ac gaudiis,
ingenui nati, mulierum ſervi ſumus.
Et dotem habere dicimus: quae nil niſi
auctoramentum eſt plenum bile uxoriâ;
ad quam virilis illa nil niſi mel merum eſt.
Namque illi ignoſcunt cum ferunt iniuriam:
hae tum cum faciunt, ultro accuſant alterum.
Imperitant queis ius non eſt: queis ius eſt, eos [ea]
neglectim habent. Periurant: & quamvis bene
habitae, aliquam ſemper ſimulant aegritudinem.

Xenarchus vero, in Somno, ait:

Εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες;
ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι.

Φιλέταιρος, Κορινθιαστῇ·

Ὡς τακερὸν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει!
οὐκ ἐτὸς Ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Ἄμφις δ' ἐν Ἀθάμαντι·

Εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον
γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως.
b ἡ μὲν νόμῳ [1] γὰρ, καταφρονοῦσ', ἔνδον μένει·
ἡ δ' οἶδεν, ὅτι ἢ τοῖς τρόποις ὠνητέος
ἄνθρωπός ἐστιν, ἢ πρὸς ἄλλον ἀπιτέον.

VIII. Merito plectitur qui iterum uxorem ducit.

Εὔβουλος δ' ἐν Χρυσίλλᾳ·

— Κακὸς
κακῶς ἀπόλοιθ' ὅστις γυναῖκα δευτέραν [2]
ἔγημε. τὸν γὰρ πρῶτον, οὐκ ἐρῶ κακῶς.

1 Temere νόμον ed. Caſ. 2 δεύτερον edd. cum ms. *A*.

Felices nonne ſunt cicadarum mares?
uxores quorum nullum de ſe edunt ſonum.

Philetaerus, Corinthiaſte:

Quam blandos quamque molles obtutus habet!
Non fruſtra Amicae templum paſſim cernimus,
at templum uxoris nusquam in tota eſt Graecia.

Amphis vero, in Athamante:

Nonne autem uxore multo benevolentior
amica eſt? Certe: neque vero hercle iniuriâ.
Namque illa lege ferocit, & retinet domum:
haec autem novit, aut venuſtis moribus
hominem illigandum, aut alium quaerendum ſibi.

8. Eubulus vero, in Chryſilla:

Iterum qui uxorem duxit, dispereat male.
Qui primam duxit, parcam ei maledicere:

ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ·
ὁ δ', οἷον ἦν γυνὴ κακὸν, πεπεισμένος.
καὶ προελθὼν φησίν·
Ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγώ ποτε κακῶς
ἐρῶ γυναῖκας; νὴ Δί', ἀπολοίμην ἄρα, c
πάντων ἄριστον κτημάτων. Εἰ δ' ἐγένετο [1]
κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ
μέγα πρᾶγμ'. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή;
Ἀλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ' ἴσως
Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ, νὴ Δία,
χρηστή τις ἦν μέν τοι. . . τίς; . . . οἴμοι δείλαιος!
ταχέως γέ μ' αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.
Ἀριστοφῶν δ' ἐν Καλλωνίδῃ· [2]
Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερος [3] d
θνητῶν. ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·

1 ἐγίνετο edd. 2 Καλωνίδῃ edd. 3 δεύτερον edd.

namque is inexpertus, eo cum veniâ erraverit:
at alter norat, eſſet quid mulier mali.

Tum aliquanto poſt ait idem:

Pol male discrucier, ſumme Divûm Iuppiter!
ſi umquam mulierum ſexui maledixero;
quo nihil eſt usquam melius. Nam fuerit mala
Medea: quid tum? quanti nam contra pretî
Penelope! Meruit ſi Clytaemneſtra probrum,
Alceſtis laudem oppono. Forte aliquis mihi
Phaedram accuſabit: ſed fuit rurſus bona . . .
fuit bona . . . aliqua mulier . . . Heu, miſer haereo!
nam cito mulieres me deſtituerunt bonae;
complures enumerare cum poſſim malas.

Ariſtophon, in Callonide:

Malus male pereat, ſecundus qui mortalium
uxorem duxit: nam qui primus, nil peccavit.

οὔπω γὰρ εἰδὼς οὗτος οἷον ἦν κακὸν,
ἐλάμβανε γυναῖχ'. ὁ δ' ὕστερον λαβὼν,
εἰς προῦπτον εἰδὼς αὐτὸν [1] ἐνέβαλεν κακόν.

Καὶ Ἀντιφάνης, ἐν Φιλοπάτορι·

Α. Γεγάμηκε δήπου. Β. Σὺ τί λέγεις; ἀληθινῶς
γεγάμηκεν; ὃν ἐγὼ [2] ζῶντα περιπατοῦντά τε [3]
κατέλιπον. —

Μένανδρος δ' ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι·

e — Α. Οὐ γαμεῖς, ἐάν γε νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον. γεγάμηκα γὰρ
αὐτὸς, διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.
Β. Δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος.
Α. Πέραινε· σωθείης δὲ νῦν. ἀληθινὸν
εἰς πέλαγος αὐτὸν [4] ἐμβαλεῖς [5] γὰρ πραγμάτων,

1 αὐτὸν εἰδὼς edd. 2 γεγάμηκε; νῦν ἐγὼ edd. 3 Deest τε vulgo. 4 αὐτὸν ed. Ven. & Baſ. 5 ἐμβάλλεις Ms. & ed. Baſ. ἐμβαλλεῖς ed. Ven.

Nec dum enim ille noverat quantum eſſet malum,
uxorem habere. At qui poſt hunc duxit,
in notam peſtem praeceps is proiecit ſe.

Et Antiphanes, in Philopatore:

A. *Uxorem duxit.* B. *Quid ais? vere*
uxorem ille duxit? quem ego modo vivum
reliqui & ambulantem? —

Menander in Arrhephoro (*id eſt*, Arcana-Minervae-ſacra-geſtante) ſive Tibicinâ:

— A. *Uxorem non duces, mentem ſi habes,*
hac relictâ vitâ. Duxi ego ipſe,
eoque tibi, ne ducas, ſuadeo.
B. *Decreta res eſt: iacta eſto alea!*
A. *Perge igitur: iam vero ut ſis ſalvus precor: in veriſ-*
ſimum
quippe moleſtiarum mare te ipſum coniicis;

οὐ Λιβυκὸν, οὐδ' Αἰγαῖον, [οὐδ' Αἰγύπτιον,] [1]
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.
ἐν δὲ Ἐμπιμπραμένῃ [2]
— Ἐξώλης ἀπόλοιθ' ὅστις ποτὲ
ὁ πρῶτος ἦν γήμας, [3] ἔπειθ' ὁ δεύτερος, f
εἶθ' ὁ τρίτος, εἶθ' ὁ τέταρτος, εἶθ' ὁ μεταγενής.
Καρκῖνος δ' ὁ τραγικὸς, ἐν Σεμέλῃ, (ἧς ἀρχὴ „Ὦ νύκτες") φησί·
Ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
ἀρκοῦν ἂν εἴη, κἂν γυναῖκ' εἴπῃς μόνον.

IX. Senex ne iuvenem ducat uxorem.

Οὐκ αἰσθάνονται δὲ οὐδ' οἱ παρ' ἡλικίαν νέας ἀγόμενοι γυναῖκας εἰς προῦπτον κακὸν αὑτοὺς ἐμβάλλοντες, καί τοι τοῦ Μεγαρικοῦ ποιητοῦ παραινέσαντος αὐτοῖς·

1 Duo verba desunt vulgo. οὐδ' Ἰώνιον suppleverat Scaliger. 2 Ἐμπιπραμένῃ edd. 3 ὁ γήμας vulgo.

non Libycum, non Aegaeum, [non Aegyptium,]
ubi de triginta tres vix pereunt navibus:
at de coniugio ne unus enavit quidem.
Et in Incensa:
— *Pereat male qui uxorem ducere*
instituit primus, tum secundus qui fuit,
tum tertius, tum quartus, tum qui posterus.
Carcinus vero tragicus poëta, in Semele, (cuius initium est, *O noctes!*) ait:
O Dî! quid opus est foeminis maledicere?
Satis vel hoc unum est, foeminam si dixeris.

9. Sed praesertim, qui aetate provecti uxores ducunt iuventute florentes, non cogitant hi, quam praecipites sese in calamitatem coniiciant, quamvis eos Megaricus poëta monuerit:

a Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.[1]
οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος,
οὐδ' ἄγκυραι[2] ἔχουσιν· ἀποῤῥήξασα δὲ δεσμὰ
πολλάκις ἐκ νυκτῶν, ἄλλον ἔχει λιμένα.

Καὶ Θεόφιλος δὲ, ἐν Νεοπτολέμῳ, ἔφη·

Οὐ συμφέρον[3] νέα 'στὶ πρεσβύτῃ γυνή.
ὥσπερ γὰρ ἄκατος, οὐδὲ μικρὸν πείθεται
ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀποῤῥήξασα δὲ
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

X.

Bella ob mulieres orta.

b Οὐδένα δὲ ὑμῶν ἀγνοεῖν οἴομαι, ἄνδρες Φίλοι, ὅτι καὶ οἱ μέγιστοι πόλεμοι διὰ γυναῖκας ἐγένοντο. ὁ Ἰλιακὸς δι' Ἑλένην· ὁ λοιμὸς διὰ Χρυσηίδα· Ἀχιλλέως μῆνις διὰ Βρισηίδα· καὶ ὁ ἱερὸς δὲ καλούμενος δι' ἑτέραν γαμετὴν, φησὶ Δοῦρις ἐν δευτέρᾳ Ἱστοριῶν, Θηβαίαν γένος, ὄνομα Θεανὼ, ἁρπασθεῖσαν ὑπὸ Φω-

Bellum Sacrum.

1 γεραιῷ ms. *Ep.* Valck. 2 ἄγκυραν vulgo. 3 σύμφορον corrigit

Minime conducibilis eſt ſeni viro iuvenis uxor.
Nec enim, velut acatus, paret gubernaculo:
nec ancorae illam retinent: ſed abrumpens vincula,
ſaepe noctu aliam ſtationem habet.

Similiter Theophilus in Neoptolemo ait:

Seni non bene reſpondet iuvenis foemina:
nam quaſi navigium eſt quod gubernaculo unico
parere neſcit: ruptis ſed rudentibus
de nocte in alio portu deprehenditur.

10. Neminem autem veſtrûm latere puto, amici, maxima etiam *Bella propter mulieres* concitata eſſe: Iliacum quidem propter Helenam; peſtem propter Chryſeidem; Achillis iram propter Briſeidem: ſed & *Sacrum* quod dicitur *bellum* ob aliam mulierem viro iunctam, ut ait Duris ſecundo Hiſtoriarum libro, Thebanam genere, cui nomen Theano fuit, raptam a Phocenſi quodam.

κέως τινός. δεκαετὴς δὲ καὶ οὗτος γενόμενος, τῷ δεκάτῳ ἔτει Φιλίππου συμμαχήσαντος πέρας ἔσχεν· τότε γὰρ εἷλον οἱ Θηβαῖοι τὴν Φωκίδα. καὶ ὁ Κρισαϊκὸς [1] δὲ πόλεμος ὀνομαζόμενος, ὥς φησι Καλλισθένης ἐν τῷ Περὶ τοῦ [2] Ἱεροῦ πολέμου, ὅτε Κιρραῖοι πρὸς Φωκεῖς ἐπολέμησαν, δεκαέτης ἦν· ἁρπασάντων Κιρραίων τὴν Πελαγοντος τοῦ Φωκέως θυγατέρα Μεγιστὼ, καὶ τὰς Ἀργείων θυγατέρας, ἐπανιούσας ἐκ τοῦ Πυθικοῦ ἱεροῦ. δεκάτῳ δὲ ἔτει ἑάλω καὶ ἡ Κίρρα. Ἀνετράπησαν δὲ καὶ ὅλοι οἶκοι διὰ γυναῖκας. ὁ Φιλίππου, τοῦ Ἀλεξάνδρου πατρὸς, διὰ τὸν Κλεοπάτρας γάμον· ὁ Ἡρακλέους, διὰ τὴν Ἰόλης ἐπιγαμίαν, τῆς Εὐρύτου θυγατρός· ὁ Θησέως, διὰ τὴν Φαίδρας τῆς Μίνωος· ὁ Ἀθάμαντος, διὰ τὸν Θεμιστοῦς τῆς Ὑψέως· ὁ Ἰάσονος, διὰ τὴν Γλαύκης τῆς Κρέοντος· ὁ Ἀγαμέμνονος, διὰ Κασάνδραν. Καὶ ἡ ἐπ' Αἴγυπτον

Crissaeum bellum.

Totae domus ob mulieres eversae.

1 Κρισσαϊκὸς ms. *Ep.* 2 τοῦ abest edd.

Decennale autem cum fuisset id bellum, decimo tandem anno adiutore Philippo confectum est: tunc enim Phocidem Thebani ceperunt. Item *Crissaeum bellum* quod vocatur, quod Cirrhaei adversus Phocenses gesserunt, ut ait Callisthenes in libro de Bello Sacro, decennale fuit: inde ortum, quod Cirrhaei Pelagontis Phocensis filiam Megisto, & Argivorum filias, ex Pythico templo redeuntes, rapuissent. Decimo vero anno capta etiam Cirrha est. Sed & totae domus propter foeminas eversae sunt: Philippi, patris Alexandri, propter Cleopatrae nuptias: Herculis, ob Iolae matrimonium, Euryti filiae, vivâ Deianirâ initum: Thesei, ob Phaedrae matrimonium, Minois filiae: Athamantis, ob Themistûs Hypsei filiae: Iasonis, ob Glauces Creontis: Agamemnonis, ob Casandram. Porro & *Cambysis* in Aegyptum

δε Καμβύσου στρατεία, ὡς φησι Κτησίας, διὰ γυναῖκα ἐγένετο. ὁ γὰρ Καμβύσης, πυνθανόμενος τας Αἰγυπτίας γυναῖκας ἐν ταῖς συνουσίαις διαφέρειν τῶν ἄλλων, ἔπεμψε πρὸς Ἄμασιν τὸν Αἰγυπτίων βασιλέα, μίαν αὐτῶν πρὸς γάμον τῶν θυγατέρων. ὁ δε τῶν μὲν ἑαυτοῦ οὐκ ἔδωκεν, ὑπονοήσας μὴ γυναικος e ἔξειν αὐτὴν τιμὴν, ἀλλὰ παλλακίδος· ἔπεμψε δε τὴν Ἀπρίου θυγατέρα Νειτῆτιν. ὁ δε Ἀπρίας ἐκπεπτώκει τῆς Αἰγυπτίων βασιλείας, διὰ τὴν γενομένην ἧτταν πρὸς Κυρηναίους, καὶ ἀνῄρητο [1] ὑπὸ Ἀμάσιδος. ἡσθεὶς οὖν ὁ Καμβύσης τῇ Νειτήτιδι, καὶ σφόδρα ἐρεθισθεὶς, ἐκμανθάνει παρ' αὐτῆς τὰ πάντα· καὶ δεηθείσης ἐκδικῆσαι τοῦ Ἀπρίου τὸν φόνον, πείθει [2] πολεμῆσαι Αἰγυπτίοις. Δίνων [3] δ' ἐν τοῖς Περσικοῖς, καὶ Λυγκέας ὁ Ναυκρατίτης ἐν τρίτῃ Αἰγυπτιακῶν, τὴν Νειτῆτιν f Κύρῳ πεμφθῆναί φασιν ὑπὸ Ἀμάσιδος· ἐξ ἧς γεννη- Neitetis, Cambyſis uxor.

1 ἀνῄρετο edd. 2 πείθεται malles. 3 Δείνων ms. *Ep.*

expeditio, ut ait Cteſias, mulieris cauſſâ ſuscepta eſt. Cambyſes enim quum Aegyptiarum mulierum congreſſum quam caeterarum iucundiorem eſſe intellexiſſet, ad Amaſin Aegypti regem legatos miſit, qui ex ipſius filiabus unam in matrimonium ſibi peterent. Ille vero ſuarum nullam miſit, veritus ne non uxoris ſed pellicis loco haberetur: ſed Apriae filiam miſit Neitetin. Aprias autem Aegypti regno exciderat, clade apud Cyrenaeos accepta, & occiſus fuerat ab Amaſide. Cambyſes igitur valde delectatus Neitetide, blanditiisque illius illectus, omnia ex illa reſcivit: & precibus illius, obteſtantis ut caedem Apriae ulciſceretur, permotus eſt ad bellum Aegyptiis inferendum. Dinon vero in Perſicis, & Lynceas Naucratita tertio libro Aegyptiacorum, Cyro miſſam eſſe ab Amaſide Neitetin tradunt: ex qua natum eſſe

θῆναι τὸν Καμβύσην, ὃν ἐκδικοῦντα τῇ μητρὶ ἐπ' Αἴγυπτον ποιήσασθαι στρατείαν. Δοῦρις δ' ὁ Σάμιος καὶ πρῶτον [1] γενέσθαι πόλεμόν φησι δύο γυναικῶν, Ὀλυμπιάδος καὶ Εὐρυδίκης· ἐν ᾧ τὴν μὲν βακχικώτερον μετὰ τυμπάνων προελθεῖν, τὴν δ' Εὐρυδίκην Μακεδονικῶς καθωπλισμένην, ἀσκηθεῖσαν [2] τὰ πολεμικὰ καὶ παρὰ Κυννάνῃ [3] τῇ Ἰλλυρίδι.

Duae mulieres arma sibi invicem inferunt.

XI. Ἐπὶ τούτοις τοῖς λόγοις ἔδοξε τοῖς παροῦσι τῶν a Φιλοσόφων περὶ τοῦ ἔρωτος καὶ αὐτούς τι [4] εἰπεῖν, καὶ περὶ κάλλους. καὶ ἐλέχθησαν λόγοι Φιλόσοφοι πάμπολλοι· ἐν οἷς τινες καὶ ἐμνημόνευσαν τοῦ σκηνικοῦ Φιλοσόφου Εὐριπίδου ἀσμάτων, ὧν ἦν καὶ τάδε·

Παίδευμα δ' Ἔρως σοφίας, ἀρετῆς [5]
πλεῖστον ὑπάρχει, καὶ προσομιλεῖν

Euripidis carmen in Amorem.

1 Ἠπειρωτικὸν coni. Casaub. 2 προησκημένην *Epit.* 3 Κυνάνῃ edd. 4 π. τ. ἔρωτος τι αὐτοὺς εἰπεῖν edd. 5 κ' ἀρετῆς corrigit Grotius.

Cambyſen, qui, ut matrem ulciſceretur, expeditionem adverſus Aegyptios ſuscepiſſet. Duris vero etiam Samius ait, *primum a mulieribus geſtum bellum* fuiſſe illud Olympiadis & Eurydices; in quo Olympiadem, ait, Bacchantis magis in morem cum tympanis eſſe progreſſam, Eurydicen vero Macedonico more armatam, ut quae ad rem bellicam etiam exercitata fuiſſet apud Cynnanen Illyricam.

11. Poſt hos ſermones, philoſophis etiam, qui praeſentes erant, viſum eſt, nonnihil item *de Amore* & *de Pulcritudine* differere. Dictique ſunt ſermones philoſophici bene multi; in quibus a nonnullis mentio quoque facta eſt carminum ſcenici philoſophi Euripidis, & in his illius, cuius haec ſunt verba:

Amor, ſapientiae alumnus, virtutis
maxime auctor eſt; & ad conſuetudinem

οὗτος ὁ δαίμων
πάντων ἥδιστος ἔφυ θνητοῖς.
καὶ γὰρ ἄλυπον τέρψιν τιν' ἔχων,
εἰς ἐλπίδ' ἄγει.
Τοῖς δ' ἀτελέστοις τῶν τοῦδε πόνων
b μήτε συνείην, χωρίς τ' ἀγρίων
ναίοιμι τρόπων.
Τὸ δ' ἐρᾶν προλέγω τοῖσι νέοισιν
μήποτε φεύγειν·
χρῆσθαι δ' ὀρθῶς, ὅταν ἔλθῃ.

Καὶ κατὰ τὸν Πίνδαρον δὲ ἄλλος τις ἔφη·
Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι
κατὰ καιρόν. —

Ἕτερος δέ τις προσέθηκε τῶν Εὐριπίδου τάδε·
Σὺ δ', ὦ τύραννε θεῶν τε κἀνθρώπων, [1] Ἔρως,
ἢ μὴ δίδασκε τὰ καλὰ φαίνεσθαι καλὰ, [2]

1 Alibi, Σὺ δ' ὦ θεῶν τύραννε κἀνθρ. 2 Desunt editis duo verba.

hicce ex Diis
omnium ſuaviſſimus eſt mortalibus.
Delectationem enim habens triſtitiae expertem,
ad ſpem erigit.
Non initiatis autem huius laboribus
non ſim unà, longeque ab agreſtibus
habitem moribus.
Amorem autem, hortor iuvenes,
numquam ut fugiant;
ſed recte utantur, quum venerit.

Et, iuxta Pindarum, alius dixit:
Sit & amare & amori indulgere
in tempore. —

Rurſus alius adiecit Euripidis haecce:
Tu vero, o rex Deûm hominumque, Amor!
aut non doce pulcra videri pulcra,

ἢ τοῖς ἐρῶσιν, ὧν σὺ δημιουργὸς εἶ,
μοχθοῦσι μόχθους εὐτυχῶς συνεκπόνει. c
Καὶ ταῦτα μὲν δρῶν, τίμιος θεοῖς [1] ἔσῃ·
μὴ δρῶν δ', ὑπ' αὐτοῦ τοῦ διδάσκεσθαι [2] φιλεῖν
ἀφαιρεθήσῃ χάριτας, αἷς τιμῶσί σε.

XII. Amor deus, praeses Amicitiae & Libertatis.

Ποντιανὸς δὲ, Ζήνωνα, ἔφη, τὸν Κιτιέα ὑπολαμβάνειν τὸν Ἔρωτα θεὸν εἶναι, φιλίας, καὶ ἐλευθερίας, ἔτι δὲ καὶ ὁμονοίας παρασκευαστικὸν, ἄλλου δ' οὐδενός. διὸ καὶ ἐν τῇ Πολιτείᾳ ἔφη, „τὸν Ἔρωτα θεὸν εἶναι, συνεργὸν ὑπάρχοντα πρὸς τὴν τῆς πόλεως σωτηρίαν." Ἔτι δὲ [3] καὶ οἱ τούτου πρεσβύτεροι κατὰ d φιλοσοφίαν σεμνόν τινα τὸν Ἔρωτα καὶ παντὸς αἰσχροῦ κεχωρισμένον ἤδεσαν. δῆλον ἐκ τοῦ κατὰ [4] γυμνάσια αὐτὸν συνιδρῦσθαι Ἑρμῇ καὶ Ἡρακλεῖ, τῷ μὲν λόγου, τῷ δὲ ἀλκῆς προεστῶτι· ὧν ἐνωθέντων φιλία

1 νέοις legebam cum Musgrav. 2 διδίσκεσθαι corr. Musgrav.
3 Ὅτι δὲ videtur legendum. 4 κατὰ τὰ γυμν. corr. Coray.

aut amantibus labores laborantibus,
quorum tu auctor es, succurre.
Et hoc quidem si feceris, honoratus eris iuvenibus:
sin minus, hoc ipso quod amare (a te) docti fuerint,
amittes gratias, quibus te honorant.

12. Tum Pontianus, Zenonem Citieum, aiebat, existimare Amorem Deum esse, Amicitiae & Libertatis & Concordiae auctorem, neque ei aliud esse negotium. Quare etiam in Republica scripsit, *esse Amorem Deum, adiutorem ad salutem civitatis.* Sed & qui hunc anteceſſerunt philosophi venerabilem quemdam Amorem (*sive*, Cupidinem) agnoverant, & ab omni turpitudine alienum. Adparet id quidem ex eo quod in gymnasiis hic Deus unà cum Mercurio & Hercule dedicatus est, quorum ille sermonis & facundiae, hic fortitudinis praeses habetur: quibus inter se iunctis amicitia generatur & con-

τε καὶ ὁμόνοια γεννᾶται, [1] δι' ὧν ἡ καλλίστη ἐλευθερία τοῖς ταῦτα μετιοῦσιν συναύξεται. [2] Ἀθηναῖοι δὲ τοσοῦτον ἀπέσχον τοῦ [3] συνουσίας τινὸς διαλαβεῖν προ-
e εστάναι τὸν Ἔρωτα, ὥστε, τῆς Ἀκαδημίας ἐκδήλως τῇ Ἀθηνᾷ καθιερωμένης, αὐτόθι τὸν Ἔρωτα ἱδρυσάμενοι συνθύουσιν αὐτῷ. Θεσπιεῖς τε [4] τὰ Ἐρωτίδια τιμῶσιν, καθάπερ Ἀθήναια [5] Ἀθηναῖοι, καὶ Ὀλύμπια Ἠλεῖοι, Ῥόδιοί τε τὰ Ἅλεια. [6] καὶ ἐν ταῖς δημοτελέσι δὲ σπονδαῖς ὡς ἐπίπαν ὁ Ἔρως τιμᾶται. Λακεδαιμόνιοι δὲ πρὸ τῶν παρατάξεων Ἔρωτι προθύονται, ὡς ἐν τῇ τῶν παρατταττομένων Φιλίᾳ κειμένης τῆς σωτηρίας τε καὶ νίκης. καὶ Κρῆτες δ' ἐν ταῖς παρατάξεσι τοὺς καλλί-
f στους τῶν πολιτῶν κοσμήσαντες, διὰ τούτων θύουσι τῷ Ἔρωτι, ὡς Σωσικράτης ἱστορεῖ. ὁ δὲ παρὰ Θηβαίοις Ἱερὸς λόχος καλούμενος συνέστηκεν ἐξ ἐραστῶν

Thespiensium Erotidia.

Sacra cohors Thebanorum.

1 γεννῶνται edd. 2 αὔξεται edd. 3 ἀπέχοντο συνουσ. edd. 4 Θεσπιεῖς τε edd. 5 καθὰ Παναθήναια iidem. 6 Ἅλια iidem.

cordia, per quas honestissima libertas iis, qui haec sequuntur, paratur firmaturque. Athenienses vero tantum abfuerunt ut congressui venereo praeesse Cupidinem existimarent, ut, quum Academia manifeste Minervae consecrata sit, Cupidinem ibidem simul collocaverint, eique simul cum illâ sacra faciant. Et Thespienses Erotidia (*id est*, Amoris sive Cupidinis festos dies) celebrant, sicuti Minervalia Athenienses, & Olympia Elei, & Rhodii Haliea. Quin & in publicis populi sacrificiis plerumque Amor honoratur. Lacedaemonii vero, priusquam praelia ineunt, Amori sacra faciunt, in eorum qui unà in acie stant amicitiâ salutem victoriamque positam existimantes. Et Cretenses, cum aciem instruunt, formosissimos civium exornant, & per hos Amori sacrificant, ut Soficrates tradit. Apud Thebanos *sacra cohors*, quae vocabatur, ex amatoribus & amasiis

καὶ ἐρωμένων, τὴν τοῦ θεοῦ σεμνότητα ἐμφαίνων, ἀσπαζομένων θάνατον ἔνδοξον ἀντ' αἰσχροῦ καὶ ἐπονειδίστου βίου. Σάμιοι δὲ, ὥς φησιν Ἐρξίας ἐν Κολοφωνιακοῖς, γυμνάσιον ἀναθέντες τῷ Ἔρωτι, τὴν διὰ τοῦτον [1] ἀγομένην ἑορτὴν Ἐλευθέρια προσηγόρευσαν· δι' ὃν θεὸν καὶ Ἀθηναῖοι ἐλευθερίας ἔτυχον. καὶ οἱ Πεισιστρατίδαι ἐκπεσόντες ἐπεχείρησαν διαβάλλειν πρῶτοι [2] τὰς περὶ τὸν θεὸν τοῦτον πράξεις. a

Eleutheria Samiorum.

XIII.

Τούτων λεχθέντων, ὁ Πλούταρχος ἐπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος·

Amor, ex contrariis compositus.

Πορευομένῳ δ' [3] ἐκ Πειραιῶς, ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι.
καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι b
τὸν Ἔρωτα· συντομώτατον [3] δ' εἰπεῖν, [4] ὅσοι
τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας. 5

1 διὰ τούτων vulgo. 2 πρῶτον edd. 3 συντομώτερον *Epit.* 4 γ' εἰπεῖν edd.

composita, maiestatem Dei huius declarabat, quum gloriosam mortem turpi & probrosae vitae anteferrent. Samii vero, ut Erxias tradit in Colophoniacis, cum gymnasium haberent Amori dedicatum, festos dies qui in huius Dei honorem agebantur *Eleutheria* nominabant. Propter eumdem Athenienses etiam libertatem nacti sunt: & Pisistratidae, cum excidissent imperio, primi ausi sunt res gestas huius Dei calumniari.

13. His dictis, Plutarchus ex Alexidis Phaedro hos versus recitavit:

E Piraeo dum redeo perplexus malis,
in philosophandi incidi lubidinem.
Visique mihi sunt ignorare Cupidinem,
quid sit, pictores omnes, & si qui alteri
Amoris audent ostentare imagines.

Ἔστιν γὰρ οὔτε θῆλυς, οὔτ' ἄρσην· πάλιν
οὔτε θεὸς, οὔτ' ἄνθρωπος· οὔτ' ἀβέλτερος,
οὔτ' αὖθις ἔμφρων· ἀλλὰ συννενημένος [1]
πανταχόθεν, ἐνὶ τύπῳ [τε] [2] πολλ' εἴδη φέρων.
Ἡ τόλμα μὲν γὰρ, ἀνδρός· ἡ δὲ δειλία,
γυναικός· ἡ δ' ἄνοια, [3] μανίας· ὁ δὲ λόγος,
Φρονοῦντος· ἡ σΦοδρότης δὲ, θηρός· ὁ δὲ πόνος,
c ἀδάμαντος· ἡ Φιλοτιμία δὲ, δαίμονος.
καὶ ταῦτ' ἐγὼ, μὰ τὴν Ἀθηνᾶν καὶ θεοὺς,
οὐκ οἶδ' ὅ τι ἐστίν· [4] ἀλλ' ὅμως ἔχει γέ τι
τοιοῦτον ἔγγιστ', εἴ γε μὴ [5] τοῦ ὀνόματος.

Εὔβουλος δὲ, ἢ Ἀραρὼς, ἐν Καμπυλίωνι·

Τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας ἔρωθ' ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,

Immerito alatus fingitur Amor.

1 συννενηγμένος edd. cum ms. *A*. συννηνεγμένος ms. *Ep*. συμπεπηγμένος Grot. 2 ἐν ἑνὶ τύπῳ edd. & car. τε. ἑνὶ τύπῳ absque τε mssti. ἑνὶ τύπῳ δὲ Grot. 3 ἡ ἄνοια edd. 4 ὅτ' ἐστὶν edd. 5 ἔγγιστ' εἰ μὴ edd. ἐγγυστ' εἰ μὴ ms. *A*.

Nam mas profecto non eſt; ſed nec foemina:
neque vero Deus eſt, nec homo: non intelligens
rerum, non vecors: ſed compactus undique,
ſpecies multimodas uno ſub vultu gerens.
Audacia in illo, ſi recte advertas, viri eſt;
pavor mulieris: inſania limphatici;
prudentis ratio: tum ferae violentia;
duritia adamantis; ac Dei contentio.
Atque ego qui haec dixi, tamen, ita me Dî iuvent,
ignoro quid ſit: verum eſt in quo convenit
cum rebus iſtis, ſed nomine disconvenit.

Eubulus vero, ſive Araros, in Campylione ait:

Quis ille primus, quis fuit mortalium,
qui Amorem pinxit, finxit aut primum, alitem?
Quam pingere ille norat nil niſi hirundines!

ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.
Ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥᾴδιος 5 d
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον·
βαρὺς δὲ κομιδῇ. πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα; λῆρος, εἰ [1] φήσειέ τις.
Ἀλεξις δ' ἐν Ἀποκοπτομένῳ· [2]
— Λέγεται γὰρ λόγος
ὑπὸ τῶν σοφιστῶν, μὴ πέτεσθαι τὸν θεὸν
τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας· αἰτίαν δ' ἔχειν
ἐκεῖνον ἄλλως· ἠγνοηκότας δὲ τοὺς
γραφεῖς ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν. e

XIV.

Variae poëtarum eclogae de Amore & Amantibus.

Θεόφραστος δ', ἐν τῷ Ἐρωτικῷ, Χαιρήμονα, φησὶ, τὸν τραγικὸν λέγειν· „ὡς τὸν οἶνον τῶν χρωμένων κεράννυσθαι [τρόποις,] [3] οὕτως καὶ τὸν Ἔρωτα· ὃς μετριάζων μέν ἐστιν εὔχαρις, ἐπιτεινόμενος δὲ καὶ διαταράττων [4] χαλεπώτατος." [5] διόπερ ὁ ποιητὴς οὗ-

1 λῆρος ἦν κἂν edd. λῆρος εἰ κἂν Ms. / λῆρος ἂν Grot. 2 Alibi Ἀποκοπτομένη habet Ms. 3 Abeſt vox vulgo. 4 διαταραττόμενος ms. *Ep.* 5 Forſ. καὶ χαλεπωτ.

morum imperitus unice Cupidinis.
Neque enim ille levis aut facilis excuſſu Deus,
cum ſemel in corde inſevit aegritudinem,
ſed gravis inprimis. Quomodo ergo aptus foret
pennis? hoc quisquis dixit, nugas dixerit.

Alexis, in Abſciſſo: (*ſive*, in Plangente:)

— *Fertur haec ſententia*
inter ſapientes, non volare Cupidinem,
ſed eos qui amant: illum onerari crimine
alieno, perque pictorum ignorantiam
adſtare paſſim cum pennigero corpore.

14. Theophraſtus in Erotico ait, dixiſſe Chaeremonem Tragicum, *ut vinum ſe attemperat moribus bibentium, ſic & amorem: qui ubi modicus eſt, plenus eſt gratiae; ubi vero intenſior, perturbat & eſt graviſſimus.* Quare non ma-

τος οὐ κακῶς αὐτοῦ τὰς δυνάμεις διαιρῶν, φησί·
„Δίδυμα γὰρ τόξα αὐτὸν ἐντείνεσθαι [1] χαρίτων, τὸ
μὲν ἐπ' εὐαίωνι τύχᾳ, τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.“
f Ὁ δ' αὐτὸς οὗτος ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ
ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως·

Τίς οὐχὶ φήσει τοὺς ἐρῶντας ζῆν μόνους;
οὓς δεῖ γε [2] πρῶτον μὲν στρατευτικωτάτους
εἶναι, πονεῖν τε δυναμένους τοῖς σώμασι
μάλιστα, προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ,
ποιητικοὺς, ἰταμοὺς, προθύμους, εὐπόρους, 5
ἐν τοῖς ἀπόροις βλέποντας, ἀθλιωτάτους. [3]

a Θεόφιλος δ', ἐν τῷ Φιλαύλῳ·

Τίς [4] φησὶ τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἢ πού τις ἐστὶ τοὺς τρόπους ἀβέλτερος.
Εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονὰς,
καταλείπετ' οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.

1 ἐκτείνεσθαι edd. 2 ἔδει γε πρῶτον Ms. ἔδει πρῶτον ed. Ven. & Baſ. οὓς δεῖ τὸ πρ. ed. Caſ. 3 βλέπειν ἀθρητικωτάτους Grot. 4 Ὅς φησι edd. Εἴ τις vel Εἴ φησὶ Stob.

le distinguens hic poëta vires illius, ait: *geminos arcus eum intendere gratiarum, alterum ad felicem vitam, alterum ad vitae confuſionem.* Idem vero poëta etiam de amantibus, in fabulâ quae Saucius inſcribitur, ſic ait:

Quis non amantes ſolos credat vivere?
quos bellatores eſſe oportet maximos,
contra labores corpore invictiſſimo,
ad res cupitas incumbentes ſedulo,
audaces, irrequietos, promtos, opiparos,
in rebus artis ad videndum acerrimos.

Theophilus vero in Philaulo: (*i. e.* Tibiarum Studioſo:)

Quicunque mentem negat adeſſe amantibus,
ipſe eſt ingenio ſtolido & bardis moribus.
Nam qui voluptates de vita exemerit,
in vita praeter mortem nil reliquerit.

Ἐγὼ μὲν οὖν καὐτὸς, κιθαριστρίας ἐρῶν, [1]
παιδὸς κόρης, οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
κἀλλεῖ καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς·
ἣν ἥδιον ἰδεῖν [2] ἐστιν, ἢ τὸ θεωρικὸν [3]
ἔχουσιν [4] ὑμῖν [5] διανέμειν [6] ἑκάστοτε. b

Ἀριστοφῶν δ', ἐν Πυθαγοριστῇ·

Εἶτ' οὐ δικαίως ἔστ' ἀπεψηφισμένος
ὑπὸ τῶν θεῶν τῶν δώδεκ' εἰκότως Ἔρως;
Ἐτάραττε κἀκείνους γὰρ, ἐμβάλλων στάσεις,
ὅτ' ἦν μετ' αὐτῶν. ὡς δὲ λίαν ἦν θρασὺς
καὶ σοβαρὸς, ἀποκόψαντες αὐτοῦ τὰ πτερὰ,
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ' αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω,
τὰς δὲ πτέρυγας ἃς εἶχε, τῇ Νίκῃ φορεῖν
ἔδοσαν, περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων. c

1 ἐρῶ vulgo. 2 ἦν ἰδεῖν ἥδιον ed. Ven. & Baſ. cum Ms. 3 θεωρητικὸν Ms. 4 αἰτοῦσιν corr. Dalec. & Caſaub. 5 ἡμῖν vulgo. 6 Forſ. διανεμηθὲν ἑκαστ.

De me argumentum capio, qui nunc virginem
amo fidicinam, (num deſipio, per Deos?)
pulcram, proceram, in arte excellentiſſimam:
quam mihi conſpicere ſuavius, quam eſt omnibus
vobis in lucar dividere pecuniam.

Ariſtophon, in Pythagoriſta:

At nonne iure & merito de ſententia
Conſentium Deorum damnatu' ſt [coelo excluſus eſt]
Amor?
Nam ſeditiones atque turbelas dabat
vitam illic agitans. Ergo, cum eſſet arrogans,
confidens, alas puero praecidi iubent,
nempe ad coeleſtes ne unquam revolaret domos:
& ſic eum ad nos demiſerunt exſulem.
Alas quas habuit, dederunt has Victoriae
ferendas, ſpolium ex hoſte ſuperato inclytum.

Περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις, ἐν Διθυράμβῳ, φησίν·

Τί φής; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμὲ,
ὡς ἔστ' ἐραστὴς, ὅστις ὡραίων φίλων [1]
τρόπων ἐραστής ἐστι, τὴν ὄψιν παρεὶς,
ἄφρων τ' ἀληθῶς; [2] Οὔτε τοῦτο πείθομαι,
οὔθ' ὡς πένης ἄνθρωπος, ἐνοχλῶν πολλάκις
τοῖς εὐποροῦσιν, οὐ λαβεῖν τι βούλεται.

Ἀλεξις, Ἑλένῃ·

d Ὡς ὅστις αὖθις τῆς [3] ἀκμῆς τῶν σωμάτων
ἐρᾷ, τὸν ἄλλον δ' [4] οὐδὲ γινώσκει λόγον·
τῆς ἡδονῆς ἔστ', οὐχὶ τῶν φίλων, φίλος,
ἀδικεῖ τε τὸν Ἔρωτ' ἐμφανῶς θνητὸς θεὸν,
ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν.

XV. Stoicis exprobratur amor puerorum.

Τούτων τῶν Ἀλέξιδος ἀπομνημονεύσας ὁ Μυρτίλος, κἀτα ἀποβλέψας εἰς τοὺς τὰ τῆς Στοᾶς αἱρουμένους, τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν Ἰάμβων προειπών·

1 φίλου edd. 2 ἄφρων ἀληθῶς Grot. 3 Desunt duae voces editis, qui dein habent τῶν γε σωμάτων. 4 Deest vulgo δ' particula.

De amantibus Amphis, in Dithyrambo, ait:

Ain' tu? & speras id persuasurum mihi,
amantem esse aliquem, qui adolescentis diligens
mores honestos, faciem non consideret?
Amens profecto. Neque ego aut istud credam,
aut pauperem ullum, qui saepe aditet divitem,
non aliquid inde velle impetratum sibi.

Alexis, in Helenâ:

Quicumque amator tantum florem corporum
amat, & amoris alias causas non habet;
voluptatis amicus, non amicorum cluit,
iniuriusque Amori est mortalis Deo,
apud alios quem immerito suspectum facit.

15. Ista Alexidis postquam recitasset Myrtilus, deinde oculis in Stoicae disciplinae sectatores conversis, haec praefatus ex Hermeae Curiensis Iambis:

Ἀκούσατ', ὦ Στοάκες, [1] ἔμποροι λήρου,
λόγων ὑποκριτῆρες· οἱ μόνοι πάντα
τὰ 'ν τοῖς πίναξι, πρὶν ἢ τῷ σοφῷ δοῦναι,
αὐτοὶ καταῤῥοφεῖτε· κἄθ' ἁλίσκεσθε
ἐναντία πράσσοντες οἷς τραγῳδεῖτε,
παιδοπίπαι [2] ὄντες· —

καὶ τοῦτο μόνον [3] ἐζηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα, ὃς οὐδέποτε γυναικὶ ἐχρήσατο, παιδικοῖς δ' ἀεί· ὡς Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ ἐν τῷ Περὶ τοῦ Βίου αὐτοῦ. Θρυλλεῖτε γὰρ, ὅτι „δεῖ μὴ τῶν σωμάτων, ἀλλὰ τῆς ψυχῆς ἐρᾶν·" οἵτινες μέχρι ὀκτὼ καὶ εἴκοσι ἐτῶν δεῖν λέγοντες συνέχειν τοὺς ἐρωμένους. Καί μοι δοκεῖ Ἀρίστων ὁ Κῖος, [4] ὁ Περιπατητικὸς, οὐ κακῶς εἰρηκέναι, ἐν τῷ δευτέρῳ Περὶ τῶν Ἐρωτικῶν Ὁμοίων, πρός τινα Ἀττικὸν, μέγαν τινὰ κατὰ τὴν ἡλικίαν, ἐπιδεικνύντα ὡς καλὸν, ᾧ Δῶ-

1 Στώακες ms. *Ep.* 2 Forſ. καὶ παιδοπῖπαι ὄντες. 3 Forſ. καὶ τοῦτο μόνον, ἔφη, ἐζηλ. 4 ὁ Κεῖος edd. & ms. *Ep.* in cont.

Audite, o Stoiculi, nugarum mercatores,
verborum ſimulatores: qui ſoli omnia,
quae in lancibus adponuntur, nullâ Sapienti datâ parte,
ipſi abliguritis; & deprehendimini
contraria his facere quae pompoſe profitemini,
puerorum cupidi ſpeculatores:

& hoc uno, inquit, aemulantes ducis veſtri ſapientiam Zenonis Phoenicis, qui muliere numquam eſt uſus, ſed delicatis pueris conſtanter; ut tradit Antigonus Caryſtius in libro De illius Vita. Semper enim in ore geritis, *Oportere non corpora amare, ſed animum:* vos qui usque ad viceſimum octavum annum tenendos dicitis amaſios. Ac videtur mihi Ariſto Ceus Peripateticus, ſecundo libro De Eroticis Similibus, in Athenienſem quemdam grandi aetate ac ſtatura, cui *Dorus* nomen erat, qui for-

ρος ἦν ὄνομα· „Τὴν πρὸς Δόλωνά μοι, φησὶ, δοκῶ παρ' Ὀδυσσέως ἀπάντησιν ἐπί σε μεταφέρειν·

Ἦ ῥά νυ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός."

XVI. Amoris illecebrae, pudor maxime.

a Ἡγήσανδρος δ', ἐν τοῖς Ὑπομνήμασι, τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν, οὐδὲ τῶν ἰχθύων· ἀπογενομένων γοῦν τούτων, οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας, οὐδὲ τὸν ἰχθῦν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων. Καὶ γὰρ τὸ παλαιὸν παίδων ἤρων, ὡς καὶ Ἀριστοφῶν ἔφη, ὅθεν καὶ καλεῖσθαι τοὺς ἐρωμένους συνέβη παιδικά. πρὸς ἀλήθειαν γὰρ, καθάπερ φησὶ Κλέαρχος ἐν τῷ πρώτῳ τῶν Ἐρωτικῶν, Λυκοφρονίδην εἰρηκέναι φησίν·

b Οὔτε παιδὸς ἄῤῥενος, οὔτε παρθένων
τῶν χρυσοφόρων, οὐδὲ γυναικῶν βαθυκόλπων
καλὸν τὸ πρόσωπον, ἀλλὰ κόσμιον πεφύκει.
Ἡ γὰρ αἰδὼς ἄνθος ἐπισπείρει.

mosum se ostentabat, haud illepide dixisse: »Videor mihi id quod Doloni olim Ulysses respondit in te transferre posse:

Magnorum profecto cupidus est donorum (δώρων) *animus.*«

16. Hegesander vero in Commentariis ait: »Condimenta amare omnes, non item (nudam per se) carnem aut pisces. Itaque ubi illa desunt, nemo libenter carne aut pisce vescitur, neque nuda cruda absque condimentis expetit.« Nam & antiquitus pueros amabant, ut etiam Aristophon ait; unde etiam παιδικὰ (i. e. *delicati pueri*) a Graecis vocantur amasii. Vere autem, quemadmodum Clearchus ait primo libro Eroticorum, dixit Lycophronides:

Nec adolescentuli, nec virginum
aurum-gestantium, nec mulierum amplos-sinus-habentium
tam pulcra facies, quam modesta est.
Pudor enim florem inspergit.

Καὶ ὁ Ἀριστοτέλης δὲ ἔφη, τοὺς ἐραστὰς εἰς οὐδὲν ἄλλο τοῦ σώματος τῶν ἐρωμένων ἀποβλέπειν, ἢ τοὺς ὀφθαλμοὺς, ἐν οἷς τὴν αἰδὼ [1] κατοικεῖν. Σοφοκλῆς δέ που περὶ τοῦ κάλλους τοῦ Πέλοπος διαλεγομένην ποιήσας τὴν Ἱπποδάμειαν, φησίν·

Τοιὰν δ' ἐν ὄψει [2] ἴυγγα [3] θηρατηρίαν
ἔρωτος, ἀστραπήν τιν' ὀμμάτων ἔχει.
ἐνθάλπεται [4] μὲν αὐτὸς, ἐξοπτᾷ δ' ἐμὲ,
ἴσον μετρῶν [5] ὀφθαλμὸν, ὥστε τέκτονος [6]
παρὰ στάθμην ἰόντος [7] ὀρθοῦται κανών.

XVII. Endymion a Somno amatur.

Λικύμνιος δ' ὁ Χῖος, τὸν Ὕπνον φήσας ἐρᾶν τοῦ Ἐνδυμίωνος, οὐδὲ καθεύδοντος αὐτοῦ κατακαλύπτει [8] τοὺς ὀφθαλμοὺς, ἀλλ' ἀναπεπταμένων τῶν βλεφάρων κοιμίζει τὸν ἐρώμενον, ὅπως διαπαντὸς ἀπολαύῃ τῆς τοῦ θεωρεῖν ἡδονῆς. λέγει δ' οὕτως·

1 τὴν αἰδῶ mssti. 2 Τοιὰν Πέλοψ corr. Valck. & Brunck. 3 Perperam λύγγα ms. *A*. λύγκα ms. *Ep*. 4 εἶθ' ἅλλεται vulgo. εἶθ' ἥδεται Toup. 5 μέτρων edd. 6 ὡς τέκτονος edd. 7 ἰσοῦντος Valck. ἰδόντος Tyrwh. & Br. 8 καταχαλύπτειν edd. & dein χοιμίζειν.

Similiter Ariſtoteles dixit, amatores nullam aliam corporis partem in amaſiis reſpicere niſi oculos: quippe in quibus habitet pudor & modeſtia. Sophocles vero alicubi de Pelopis pulcritudine loquentem faciens Hippodamiam, ait:

Talem in oculis illicem venatricem
amoris, fulgur quoddam oculorum habet.
Calet quidem ipſe, urit vero me,
ſic metiens oculum meum, quemadmodum fabri
ad amuſſin euntis recta fit norma.

17. Licymnius vero Chius, cum *Somnum* dixiſſet *amare Endymionem*, ait, nec claudere eum illi oculos, ſed ſopire amaſium apertis palpebris; quo conſtanter fruatur voluptate eius adſpiciendi. Verba poëtae haec ſunt:

d Ὕπνος δὲ χαίρων ὀμμάτων
αὐγαῖς, ἀναπεπταμένοις ὅσσοις
ἐκοίμιζεν κοῦρον. [1]

Oculorum praecipua gratia.

καὶ ἡ Σαπφὼ δὲ πρὸς τὸν ὑπερβαλλόντως θαυμαζόμενον τὴν μορφὴν, καὶ καλὸν εἶναι νομιζόμενον, φησί·

Στᾶθι κἄντα φίλος,
καὶ τὰν ἐπ' ὄσσοις [2]
ἀμπέτασον χάριν.

ὁ δ' Ἀνακρέων, τί φησίν;

Ὦ παῖ, παρθένιον βλέπων,
διζήμαί σε, σὺ δ' οὐκ ἀΐεις,
οὐκ εἰδὼς ὅτι τῆς ἐμῆς
ψυχῆς ἡνιοχεύεις.

Ὁ δὲ μεγαλοφωνότατος Πίνδαρος·

1 Temere κοῦρος ed. Caſ. 2. & 3. κόρον corr. Fior. & eiicit verba ἀναπεπταμ. ὄσσοις. 2 ἐπ' ὄσσ' corrigunt viri docti, & *omnia uno verſu* comprehendunt.

Somnus gaudens oculorum
ſplendore, apertis oculis
ſopivit puerum.

Similiter Sappho illum, qui ob formae ſpeciem in maxima omnium admiratione erat, eximieque pulcer habebatur, ſic compellat:

Stes coram, amice,
& oculorum
expande gratiam!

Iam Anacreon quid ait?

O puer! virgineo vultu,
quaero te; tu vero non audis,
neſciens nempe, te meae
animae tenere imperium.

Tum grandiſonus Pindarus:

Τὰς δὲ Θεοξένου (φησὶν) ἀκτῖνας ὄσσων μαρμα- e
ριζούσας [1]
δρακεὶς, ὃς μὴ πόθῳ κυμαίνεται,
ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται
μέλαιναν ψυχάν.

Ὁ δὲ τοῦ Κυθηρίου Φιλοξένου Κύκλωψ, ἐρῶν τῆς Γαλατείας, καὶ ἐπαινῶν αὐτῆς τὸ κάλλος, [2] προμαντευόμενος τὴν τύφλωσιν, πάντα μᾶλλον αὐτῆς ἐπαινεῖ ἢ [3] τῶν ὀφθαλμῶν μνημονεύει, λέγων ὧδε·

Ὦ καλλιπρόσωπε,
χρυσεοβόστρυχε [4] Γαλάτεια,
χαριτόφωνε, κάλλος [5] ἐρώτων.

τυφλὸς ὁ ἔπαινος, [6] καὶ κατ' οὐδὲν ὅμοιος τῷ Ἰβυ- f
κείῳ [7] ἐκείνῳ·

Εὐρύαλε, [8] γλυκέων [9] Χαρίτων

1 Rectius alibi μαρμαρίζουσας. 2 Forſ. ὡς προμαντ. 3 ἢ καὶ τῶν ὀφθ. edd. 4 χρυσιοβόστρυχε edd. 5 Θάλλος forſan, vel Θάλος. 6 τυφλὸς ἔπαινος edd. cum ms. *A*. 7 Ἰβυκίῳ iidem. 8 Forſ. Ὦ Εὐρύαλε. 9 γλαυκέων vulgo.

Theoxeni vero radios oculorum ſplendentes
quisquis cernens deſiderio non aeſtuat,
ex adamante aut ferro fabrefacta eſt
atra huius anima.

Philoxeni vero Cytherii Cyclops, Galateam amans, formamque eius laudans, (veluti) ominatus ſibi caecitatem, omnia magis in illa laudat, quam oculorum facit mentionem, ita dicens:

O pulcra-facie,
aureis cincinnis Galatea,
ſuavi voce, germen Amorum.

Caeca ea laus eſt, nihilque ſimilis Ibyceae illi laudationi:

Euryale, dulcium Gratiarum

Θάλος, [1] καλλικόμων [2] μελέδημα.
σὲ μὲν Κύπρις ἄ τ' ἀγανοβλέφαρος
Πειθὼ ῥοδέοισιν ἐν [3] ἄνθεσι θρέψαν. [4]

Φρύνιχός τε ἐπὶ τοῦ Τρωΐλου ἔφη· „λάμπειν ἐπὶ πορφυραῖς παρηΐσι [5] φῶς Ἔρωτος."

XVIII. Mentum radere dedecet virum.

Ὑμεῖς δὲ ξυρουμένους τὰ γένεια περιφέρετε τοὺς ἐρωμένους· τοῦ ξύρεσθαι τὸν πώγωνα κατ' Ἀλέξανδρον
a εὑρημένου, ὥς φησιν ὑμῶν ὁ Χρύσιππος ἐν τῷ τετάρτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς. οὐκ ἀκαίρως δέ, ὡς ἐμαυτὸν πείθω, μεμνήσομαι τῆς λέξεως· χαίρω γὰρ πάνυ τῷ ἀνδρὶ, διά τε τὴν πολυμαθίαν, καὶ τὴν τοῦ ἤθους ἐπιείκειαν. λέγει δὲ οὕτως [6] ὁ Φιλόσοφος· „Τὸ ξύρεσθαι τὸν πώγωνα κατ' Ἀλέξανδρον προῆκται, τῶν πρώτων οὐ χρωμένων αὐτῷ. καὶ γὰρ [7] Τιμόθεος ὁ αὐλητὴς πώγωνα μέγαν ἔχων ηὔλει· καὶ ἐν Ἀθήναις

1 Θάλλος edd. 2 καλλιπλοκάμων aut καὶ καλλικόμων corr. Fior. 3 Abeſt ἐν *Epit.* 4 Temere τρέψαν ed. Caſ. 2. & 3. 5 παρειῆσι h. l. edd. 6 οὗτος Ms. 7 καὶ γὰρ ὁ Τιμ. ὁ αὐλ. edd.

germen, pulcricomarum cura!
te quidem Cypris blandisque-palpebris-ſpecioſa
Suadela roſeos inter flores educarunt.

Phrynichus vero de Troilo dixit: *ſplendere ſuper purpureis illius genis lumen amoris.*

18. Vos autem raſo iam mento exoletos circumducitis amaſios: qui mos radendi barbam, Alexandri aetate ortum cepit, ut ait Chryſippus veſter quarto libro DE Honeſtate & Voluptate. Nec vero alienum erit, ut mihi quidem perſuadeo, ipſa etiam verba illius recitare: valde enim hoc viro delector, cum propter multiplicem doctrinam, tum ob ingenii lenitatem. Sic igitur ait Philoſophus: »Novaculâ radere barbam Alexandri aetate coeptum eſt; apud ſuperiores inuſitatus ille mos fuit. Nam & Timotheus tibicen promiſſam geſtans barbam tibiâ

διατηροῦσιν οὐ σφόδρα ἀρχαῖον τὸν πρῶτον προσκειράμενον [1] παρωνύμιον ἔχειν Κόρσην. διὸ καὶ Ἄλεξις ἔφη b
που·

Πιττοκοπούμενόν τιν' ἢ ξυρούμενον ὁρᾷς; [2]
τούτων [3] ἔχει τι θάτερον.
ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται,
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία·
ἢ πλουσιακόν τι [4] τούτῳ προσπίπτει [5] κακόν. 5
Τί γὰρ αἱ τρίχες λυποῦσιν ὑμᾶς, πρὸς θεῶν;
δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται,
εἰ μή τι ταύταις ἀντιπράττεσθ' ὑπονοεῖς; [6] c

Διογένης δέ, ἰδών τινα οὕτως ἔχοντα τὸ γένειον, ἔφησεν· „Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σὲ ἐποίησε, καὶ οὐ γυναῖκα;“ Ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παραπλησίως ἔχοντα, καὶ μεμυρισμένον, καὶ

1 προχειράμενον *Epit.* 2 Variis modis tentari possit *turbatus versus* cum seq. 3 τοῦτον ms. *A.* 4 Abest τι vulgo. πολιτικόν τι coni. Dalec. 5 προσπίπτειν edd. 6 Forſ. ἐπινοεῖς.

canebat: & Athenis meminerunt non admodum vetusti hominis, qui, cum primus barbam sibi radendam curasset, Κόρσης (quasi *Rasum* diceres) est cognominatus. Quare Alexis alicubi dixit:

Picatum aut derasum si quem videris,
is horum duorum habet alterum:
aut militans in animo mihi videtur habere
omnia facere quae barbae sint contraria:
aut accidit huic malum aliquod divitum proprium.
Quid enim, per Deos, molesti vobis habet barbae pilus,
ex quo quisque nostrûm vir esse cognoscitur,
nisi mediteris aliquid quod eo indignum sit?

Diogenes vero, conspecto quodam, cui nudatum sic mentum erat: *An naturam tu accusas*, inquit, *quod virum te generavit, non foeminam?* Alium idem contuitus equo vectum, qui pariter rasus erat, & unguentis delibutus, &

τούτοις ἀκολούθως ἠμφιεσμένον· Πρότερον μὲν, ἔφησε, ζητεῖν, τί ἐστιν ὁ ἱππόπορνος, νῦν δὲ εὑρηκέναι. Ἐν Ῥόδῳ δὲ νόμου ὄντος μὴ ξύρεσθαι, οὐδὲ ὁ ἐπιλήψόμενος οὐδείς ἐστιν, διὰ τὸ πάντας ξύρεσθαι. ἐν Βυζαντίῳ δὲ
d ζημίας ἐπικειμένης τῷ ἔχοντι κουρεῖ ξυρὸν, οὐδὲν ἧττον πάντες χρῶνται αὐτῷ." Καὶ ταῦτα μὲν ὁ θαυμάσιος εἴρηκε Χρύσιππος.

XIX. Zenonis disciplinam perverterunt recentiores Cynici.

Ὁ δὲ σοφὸς ἐκεῖνος Ζήνων, ὥς φησιν Ἀντίγονος ὁ Καρύστιος, προμαντευόμενος ὑμῶν (ὡς τὸ εἰκὸς) περὶ τοῦ βίου καὶ τῆς προσποιήτου ἐπιτηδεύσεως, ἔφη, ὡς „οἱ παρακούσαντες αὐτοῦ τῶν λόγων, καὶ μὴ συνέντες,[1] ἔσονται ῥυπαροὶ καὶ ἀνελεύθεροι· καθάπερ οἱ τῆς Ἀριστίππου παρενεχθέντες αἱρέσεως, ἄσωτοι καὶ θρασεῖς." Καὶ δὴ τοιοῦτοι ὑμῶν εἰσιν οἱ πλεῖστοι,
e συνεσπασμένοι, καὶ κακοπινεῖς, οὐ μόνον τοῖς ἤθεσιν, ἀλλὰ καὶ ἕξει. Βουλόμενοι γὰρ ἐνδύεσθαι τὴν[2] αὐτάρ-

1 συνιέντες edd. 2 αὐτὴν αὐτάρκειαν, καὶ τὴν εὐτ. εὔρ. edd.

ita ut tali homini convenit vestitus: *Adhuc*, ait, *quaesiveram quis esset qui diceretur ἱππόπορνος: nunc autem reperi.* Rhodi cum lex sit vetans *ne quis novaculâ radatur*, nullus est tamen qui violatae legis quemquam reum agat, quoniam raduntur omnes. Byzantii vero licet indicta sit mulcta tonsori, si novaculâ utatur, utuntur tamen omnes. « Et haec quidem dixit admirabilis vester Chrysippus.

19. At sapiens ille Zeno, ut ait Antigonus Carystius, futura animo praecipiens, de vestra (ut consentaneum) vita & simulata disciplina, dixit: » qui praecepta ipsius obiter audituri essent nec intellecturi, eos squalidos futuros & illiberales; quemadmodum qui ab Aristippi placitis aberrant, asoti evadunt & protervi. « Ac sunt sane tales vestrûm plerique, contracti, & sordidi, non solum animo, sed & exteriore habitu. Nam cum prae

κειαν καὶ τὴν εὐτέλειαν, εὑρίσκεσθε ἐπὶ ταῖς τῆς Φιλαργυρίας θύραις, ῥυπαρῶς ζῶντες, καὶ τριβωνάρια περιβαλλόμενοι μικρὰ, καὶ τῶν ἥλων ἐμπιπλάντες τὰ καττύματα, [1] καὶ κιναίδους καλοῦντες τοὺς ἢ μύρου προσβάλλοντας, [2] ἢ μικρῷ μαλακωτέραν ἠμφιεσμένους ἐσθῆτα. οὐ δεῖ οὖν οὕτως ἐσταλμένους περὶ ἀργύριον ἐπτοῆσθαι, καὶ ἐρωμένους περιάγεσθαι ξυρουμένους τὴν ὑπήνην καὶ τὸν ὄρρον, τοὺς ἀκολουθοῦντας ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν, νὴ Δία, λεπτῶν, ἀσίτων, σκυτίνων, κατὰ τὸν Ἀντιφάνην. f

XX. Laus Pulcritudinis.

Ἐπαινῶ δὲ καὶ αὐτὸ [3] τὸ κάλλος. καὶ γὰρ ἐν ταῖς Εὐανδρίαις τοὺς καλλίστους ἐγκρίνουσι, [4] καὶ τούτους [5] πρωτοφορεῖν [6] ἐπιτρέπουσιν. ἐν Ἤλιδι δὲ καὶ κρίσις γίνεται κάλλους, καὶ τῷ πρώτῳ τὰ τῆς [7] θεοῦ φέρειν τεύχη δίδοται, τῷ δὲ δευτέρῳ τὸν βοῦν ἄγειν, ὁ a

1 καὶ τῶν ἤχαν ἐμπίπλανται ἅτα, καττύματα edd. 2 προβάλλοντας corrigunt viri docti. 3 καὶ αὐτὸς forſ. 4 ἐκκρίνουσι edd. 5 τούτοις forſ. 6 πτορθοφορεῖν coni. Valeſ. 7 τὰ τῆς τοῦ θεοῦ vulgo. τὰ τοῦ θεοῦ corr. Caſaub. cum Dalec.

vobis feratis ſectari frugalitatem & tenuitatem vitae, deprehendimini ad avaritiae portas, ſordide viventes, brevia tritaque induti palliola, & clavis onerantes calceorum ſoleas, & cinaedum adpellantes ſi quis aut unguentum olet aut paulo molliore amictus eſt veſte. Quare ita inſtructos non decet ad argentum ſtupere, & amaſios circumducere barbam raſos & podicem, qui vos ſequantur in Lyceo *doctores* (*per Iovem*) *exiles, ieiunos, coriaceos:* ut ait Antiphanes.

20. Laudo vero & ego pulcritudinem. Nam & (Athenis in Panathenaeorum celebritate) ex epheborum gregibus ſeligunt pulcerrimos, & his primum locum inter eos tribuunt qui ſacra geſtant. Et in Elide quoque pulcritudinis habetur iudicium: ac primo quidem ferenda dantur vaſa Deae: [*ſive*, Dei:] proximus ab eo bo-

δὲ τρίτος τὰς θυηλὰς ἐπιτίθησιν. Ἡρακλείδης δὲ ὁ Λέμβος ἱστορεῖ, ὅτι κατὰ τὴν Σπάρτην θαυμάζεται μᾶλλον ὁ κάλλιστος, καὶ γυνὴ ἡ καλλίστη, καλλίστας γεννώσης τῆς Σπάρτης τὰς γυναῖκας. διὸ καὶ φασὶ περὶ [1] Ἀρχιδάμου τοῦ βασιλέως, γυναικὸς αὐτῷ καλῆς φαινομένης, ἑτέρας [2] δὲ αἰσχρᾶς [3] καὶ πλουσίας, ὡς ἀπέκλινεν ἐπὶ τὴν πλουσίαν, ζημιῶσαι τοὺς ἐφόρους αὐτὸν, ἐπιλέγοντας ὅτι βασιλίσκους ἀντὶ βασιλέων τοῖς Σπαρτιάταις [4] γεννᾷν προαιρεῖται. Εὐριπίδης τε ἔφη·

Archidamus rex Spartae.

b

Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

Καὶ οἱ παρ' Ὁμήρῳ δὲ δημογέροντες, θαυμάζοντες τῆς Ἑλένης τὸ κάλλος, φασίν·

Pulcritudinem admirantur omnes.

Οὐ νέμεσις, Τρῶας καὶ εὐκνήμιδας Ἀχαιοὺς
τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·
αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν.

1 περὶ *ignorant* mssti. 2 Temere ἑταίρας ed. Casaub. 1. & 2. 3 μικρᾶς Plut. 4 ταῖς Σπάρταις mssti.

vem victimam agit: tertius libamina imponit. Heraclides vero Lembus tradit, apud Lacedaemonios maxima in admiratione fuisse pulcerrimum virum & foeminam pulcerrimam, cum pulcerrimas omnium mulieres Sparta ferret. Quare etiam de Archidamo rege narrant, cum propositâ ei uxore pulcrâ, aliâ vero deformi & divite, ad divitem ille declinasset, mulctam ei irrogatam esse ab ephoris, dicentibus, *regulos illum, non reges, generare velle Spartanis.* Et Euripides ait:

Primum quidem species (sit) *rege digna.*

Et apud Homerum seniores e populo, admirantes Helenae formam, dicunt:

Non est indigne-ferendum, Troianos & bene-ocreatos Achivos
tali de mulicre longum tempus aerumnas pati:
mire immortalibus Deabus aspectu similis est.

Ἐκπέπληκται γοῦν καὶ αὐτὸς ὁ Πρίαμος ἐπὶ τῷ κάλλει τῆς γυναικὸς, καίτοι ἐν δεινοῖς ὑπάρχων. θαυμά- c
ζει γοῦν ἐπὶ κάλλει τὸν Ἀγαμέμνονα, τοιαῦτα ἐκ-
φωνῶν·

Καλὸν δ' οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖσιν,
οὐδ' οὕτω γεραρόν· βασιλῆϊ δὲ ἀνδρὶ ἔοικεν.

Καθίστων δὲ καὶ πολλοὶ τοὺς καλλίστους βασιλέας· ὡς μέχρι νῦν οἱ Ἀθάνατοι καλούμενοι Αἰθίοπες, ὥς φησι Βίων ἐν Αἰθιοπικοῖς. ὡς ἔοικε γὰρ, τὸ κάλλος βασιλείας οἰκεῖόν ἐστι. Θεαὶ περὶ κάλλους ἤρισαν πρὸς ἀλλήλας· καὶ διὰ κάλλος οἱ θεοὶ ἀνηρείψαντο Διὶ οἰνοχόον τὸν Γανυμήδη, d

κάλλεος εἵνεκα [1] οἷο, ἵν' ἀθανάτοισι μετείη.

Αἱ θεαὶ δὲ τίνας ἁρπάζουσιν; οὐ τοὺς καλλίστους; οἷς καὶ σύνεισιν· Ἠὼς μὲν, Κεφάλῳ καὶ Κλείτῳ καὶ Τιθωνῷ· Δημήτηρ, Ἰασίωνι· Ἀφροδίτη, Ἀγχίσῃ καὶ

1 οὕνεκα edd.

Movetur quidem & ipſe Priamus formâ mulieris, quamvis adverſis rebus conflictans: atque etiam Agamemnonis admirans pulcritudinem, haec verba effatur:

Tam pulcrum ego nondum vidi oculis,
nec ita venerabilem: viro regi ſimilis eſt.

Multae etiam gentes reges crearunt eos qui pulcerrimi eſſent: quemadmodum etiam nunc Aethiopes illi qui *Immortales* nominantur, ut ait Bion in Aethiopicis. Pulcritudo enim, ut videtur, convenit regiae dignitati. Deae de pulcritudine inter ſe contenderunt: & ob pulcritudinem *Dii rapuerunt Ganymedem, qui eſſet Iovi a poculis,*

ipſius ob pulcritudinem, ut immortalibus intereſſet.

Deae vero quosnam rapuerunt? nonne pulcerrimos? cum quibus etiam conſueſcunt: Aurora cum Cephalo & Clito & Tithono; Ceres cum Iaſione: Venus cum An-

Ἀδώνιδι. διὰ κάλλος δὲ καὶ ὁ μέγιστος τῶν θεῶν διὰ κεράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦται πολλάκις, ὥσπερ καὶ ἐπ' Αἰγίνῃ. Σωκράτης δ' ὁ φιλόσοφος, ὁ τῶν πάντων καταφρονῶν, τοῦ Ἀλκιβιάδου κάλλους οὐχ ἥττων ἐστίν; ὡς καὶ ὁ σεμνότατος Ἀριστοτέλης τοῦ Φασηλίτου μαθητοῦ. Ἡμεῖς δὲ οὐχὶ καὶ τῶν ἀψύχων τὰ κάλλιστα προκρίνομεν; Ἐπαινεῖται δὲ καὶ [1] τῶν Σπαρτιατῶν τὸ ἔθος τὸ γυμνοῦν τὰς παρθένους τοῖς ξένοις. ἐν Χίῳ δὲ τῇ νήσῳ καὶ βαδίζειν ἥδιστόν ἐστιν ἐπὶ τὰ γυμνάσια καὶ τοὺς δρόμους, καὶ ὁρᾶν προσπαλαίοντας τοὺς νέους ταῖς κόραις.

XXI. Cynulci invectiva in Myrtilum.

Καὶ ὁ Κύνουλκος· Ταύτῃ καὶ τολμᾷς σὺ λέγειν, οὐ ῥοδοδάκτυλος οὖσα, κατὰ τὸν Κρατῖνον, [2] ἀλλὰ βολίτινον ἔχων θάτερον σκέλος· ἐκείνου τοῦ ὁμωνύμου σοι ποιητοῦ τὴν μνήμην [3] Φορῶν, ὃς ἐν τοῖς κα-

1 Ἐπαινεῖται καὶ τῶν Σπαρτ. ms. *Ep.* προκρίνομεν, ἐπαινοῦντες τῶν Σπαρτ. edd. cum ms. *A.* 2 Καρκίνον ed. Ven. & Baſ. 3 κνήμην Ms. An τὸ λῆμα? an τὴν λήμην.

chiſe & Adonide. Propter pulcritudinem maximus Deorum per tectum intrat aurum factus; in taurum mutatur; aquilae formâ volat ſaepius, ſicut Aeginae cauſſâ. Socrates vero philoſophus, ille omnium contemtor, nonne Alcibiadis formae ſuccumbit? quemadmodum etiam graviſſimus Ariſtoteles diſcipuli Phaſelitae pulcritudini. Nos vero nonne in rebus etiam inanimatis eas praeferimus, quae caeteris pulcritudine praeſtant? Laudatur vero etiam Spartanorum mos nudandi virgines coram hoſpitibus. In inſula Chio vero iucundiſſimum eſt gymnaſia adire & circos, ibique luctantes ſpectare iuvenes cum puellis.

21. Tum Cynulcus: Et ſic tu, inquit, loqui audes? qui non quidem, ut illa apud Cratinum *roſeos digitos*, ſed (tamen) *alterum pedem aſininum habes*, & cognominis illius tui poëtae memoriam renovas, [*ſive*, animum ge-

πηλείοις καὶ τοῖς πανδοκείοις ἀεὶ διαιτᾶται, [1] καίτοι Ἰσοκράτους τοῦ ῥήτορος ἐν τῷ Ἀρεοπαγιτικῷ εἰρηκότος· „ἐν καπηλείῳ δὲ φαγεῖν ἢ πιεῖν οὐδεὶς οὐδ' ἂν οἰκέτης [2] ἐτόλμησε. σεμνύνεσθαι γὰρ ἐμελέτων, οὐ βωμολοχεύεσθαι.“ Ὑπερίδης [3] δ' ἐν τῷ κατὰ Πατροκλέους, εἰ γνήσιος ὁ λόγος, τοὺς Ἀρεοπαγίτας, φησὶν, ἀριστήσαντά τινα ἐν καπηλείῳ κωλύσαι ἀνιέναι εἰς Ἄρειον πάγον. σὺ δέ, ὦ Σοφιστὰ, ἐν τοῖς καπηλείοις συναναφύρῃ οὐ μετὰ ἑταίρων, ἀλλὰ μετὰ ἑταιρῶν, μαστροπευούσας περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων, καὶ περιφέρων αἰεὶ τοιαυτὶ βιβλία [4] Ἀριστοφάνους, καὶ Ἀπολλοδώρου, καὶ Ἀμμωνίου, καὶ Ἀντιφάνους, ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου, πάντων τούτων συγγεγραφότων περὶ τῶν Ἀθήνησιν ἑταιρίδων. ὦ τῆς καλῆς σου πολυμαθίας! ὡς κατ' οὐδὲν ἐμιμήσω Θεόμανδρον [5] τὸν Κυρηναῖον; ὃν φησι Θεόφραστος, ἐν τῷ Περὶ Εὐδαι- a

Scriptores de Meretricibus Athenienſibus.

1 διαιτᾷ legendum putavi. 2 οἰκέτης ἐπιεικὴς ed. Baſ. & Caſ. 3 Ὑπερείδης ed. Ven. & Baſ. cum ms. *A*. 4 βυβλία vulgo. 5 τὸν Θεομ. edd.

ris,] in cauponis & tabernis ſemper vitam agens; quamquam Iſocrates orator in Areopagitico dixit, *in caupona edere aut bibere ne ſervus quidem ſuſtinuiſſet: gravitati enim, non ſcurrilitati ſtudebant.* Hyperides vero, in oratione contra Patroclem, ſi modo genuina eſt, ait: *Areopagitas, ſi quis in caupona pranſus eſſet, hunc vetaſſe in Areopagum adſcendere.* Tu vero, Sophiſta, in cauponis verſaris, non cum amicis, ſed cum ſcortis, laenas circa te non paucas habens, ſemperque libros hos circumferens Ariſtophanis, & Apollodori, & Ammonii, & Antiphanis, atque etiam Gorgiae Athenienſis, qui omnes de Meretriculis Athenienſibus ſcripſerunt. O praeclaram tuam multiplicem eruditionem! Ut nihil imitatus es Theomandrum Cyrenaeum, quem Theophraſtus, in libro De Felicitate, ait circumiiſſe

μονίας, περιϊόντα ἐπαγγέλλεσθαι „διδάσκειν εὐτυ-
b χίαν.“ Ἐρωτοδιδάσκαλε, οὐδὲν ἄρα διαφέρεις Ἀμά-
σιος τοῦ Ἠλείου· ὃν Θεόφραστος, ἐν τῷ Ἐρωτικῷ,
περὶ τοὺς ἔρωτας δεινὸν γεγονέναι λέγει. οὐκ ἂν ἁμάρ-
τοι δέ τις σε καὶ πορνογράφον καλῶν, ὡς Ἀριστείδην
καὶ Παυσανίαν, ἔτι τε Νικοφάνη, τοὺς ζωγράφους.
μνημονεύει δὲ αὐτῶν, ὡς ταῦτα καλῶς γραφόντων,
Πολέμων ἐν τῷ Περὶ τῶν ἐν Σικυῶνι Πινάκων. ὦ τῆς
καλῆς πολυμαθίας, ἄνδρες φίλοι, τῆς τοῦ γραμματι-
κοῦ τοῦδε, ὃς οὐδ' ἐγκαλύπτεται, ἀλλ' ἀναφανδὸν
τὰ Εὐβούλου αἰεὶ ἐκ Κερκώπων [1] λέγει·
c Κόρινθον ἦλθον. ἡδέως ἐνταῦθά πως
λάχανόν τι τρώγων ὤκιμον, διεφθάρην·
κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

Καλός γε ὁ τῶν Κορινθίων σοφιστὴς, ὁ τοῖς μαθηταῖς
διηγούμενος, ὅτι Ὤκιμον ἑταίρας ὄνομα. Καὶ ἄλλα [2]

1 ἀεὶ Κερκώπων ed. Caſ. 2 Forſ. Ἀλλὰ καὶ πολλὰ &c. aut *intercidit nonnihil* ante iſta verba.

profitentem *docere ſe Felicitatem!* Immo tu, amorum doctor, nihil differs ab Amaſi Eleo: quem idem Theophraſtus, in Erotico, ait rerum amatoriarum adprime fuiſſe ſcientem. Nec vero peccaverit qui *pornographum* te nominaverit, quemadmodum Ariſtidem & Pauſaniam & Nicophanem pictores: quorum ut talia ſcite pingentium meminit Polemon, in libro De Tabulis quae Sicyone fuerunt. O praeclaram, viri amici, eruditionem grammatici huius; qui ne diſſimulate quidem, ſed aperte, illud ex Eubuli Cercopibus in ore ſemper gerit:

Corinthum veni. Ibi iucundiſſime equidem
olus aliquod manducans ocimum, perditus ſum;
& ibi nugas agens tunicam amiſi.

Praeclarus ſane eſt hic Corinthiorum ſophiſta, exponens diſcipulis, eſſe *Ocimum* meretricis nomen. * Atqui

Comoediae a meretricibus denominatae.

δὲ πολλὰ, ὦ ναιδὲς, [1] δράματα ἀπὸ ἑταιρῶν ἔσχε τὰς ἐπιγραφάς· Θάλαττα Διοκλέους, Φερεκράτους Κοριαννὼ, Εὐνίκου ἢ Φιλυλλίου Ἀντεια, Μενάνδρου δὲ Θαὶς καὶ Φάνιον, [2] Ἀλέξιδος Ὀπώρα, Εὐβούλου Κλεψύδρα. οὕτω δ' ἐκλήθη αὕτη ἡ ἑταῖρα, ἐπειδὴ πρὸς d κλεψύδραν συνουσίαζεν, ἕως κενωθῇ· ὡς Ἀσκληπιάδης εἴρηκεν, ὁ τοῦ Ἀρείου, ἐν τῷ Περὶ Δημητρίου τοῦ Φαληρέως συγγράμματι, τὸ κύριον αὐτῆς ὄνομα Φάσκων εἶναι Μητίχην.

XXII.

Meretrix, magnum malum.

Ἔστιν δ' ἑταίρα —
(ὡς Ἀντιφάνης Φησὶν ἐν Ἀγροίκῳ)
— τῷ τρέφοντι συμφορά·
εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα.
Διὸ καὶ θρηνῶν τις αὐτὸν [3] παράγεται ὑπὸ Τιμοκλέους, ἐν Νεαίρᾳ· e
— Ἀλλ' ἔγωγ' ὁ δυστυχὴς,

1 ὦν αιδ .... ed. Caſ. quod varie corrigere tentarunt viri docti. 2 Φάννιον edd. cum ms. *A*. Νάννιον corrigunt. 3 αὐτὸν edd.

multa alia dramata, o impudens, a meretricibus inſcriptos titulos habuerunt: Thalatta Dioclis, Pherecratis Corianno, Eunici aut Philyllii Antea, Menandri Thais & Phanium, Alexidis Opora, Eubuli Clepſydra. Nomen autem nacta erat iſta meretrix eo, quod ſui copiam faceret ad clepſydram, donec aqua ex illa exſtillaſſet: ut tradit Aſclepiades Arei, in libro De Demetrio Phalereo; proprium illius nomen Metichen fuiſſe ſcribens.

22. *Eſt* autem, ut Antiphanes in Ruſtico ait,

Meretrix alenti ſeſe gravis calamitas:
nam peſtem domi habens maximam, gaudet tamen.

Quare & ſe ipſum deplorans aliquis inducitur a Timocle in Neaera:

— *At equidem miſer,*

Φρύνης ἐρασθεὶς ἡνίκ' ἔτι τὴν κάπταριν
συνέλεγεν, οὔπω τ' [1] εἶχεν ὅσα περ νῦν ἔχει,
πάμπολλ' ἀναλίσκων ἐφ' ἑκάστῳ, τῆς θύρας [2]
ἀπεκλειόμην.

καὶ ἐν τῷ ἐπιγραφομένῳ δ' Ὀρεσταυτοκλείδης [3] ὁ αὐτὸς Τιμοκλῆς [4] φησί·

— Περὶ δὲ τὸν πανάθλιον
εὕδουσι γρᾶες, Νάννιον, Πλάγγων, Λύκα,
f Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη,
Χρυσὶς, Κοναλλὶς, [5] Ἱερόκλεια, Λοπάδιον.

Τούτων τῶν ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι, [6] λέγων·

— — Τυφλὸς ὁ πλοῦτος εἶναί μοι δοκεῖ,
ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται,
παρὰ δὲ Σινώπῃ, καὶ [7] Λύκᾳ, καὶ Ναννίῳ,

1 οὔ ποτ' edd. 2 ἐφεστηκὼς θύραις Iacobs. 3 Δορεὺς ταυτοκλείδης edd. 4 αὐτὸς Τιμοκλ. vulgo, absque ὁ. 5 Κοναλὶς Ms. 6 Alibi Κουρίδι. 7 Deeſt καὶ ed. Caſ. 2. 3.

qui Phrynen tum amavi cum adhuc capparin colligebat, nec dum ea quae nunc habet habebat, quique magnam impenſam quavis occaſione feci, foribus nunc excluſus ſum.

Porro in fabula quae Oreſtautoclides inſcribitur, idem Timocles ait:

— Circa hunc miſerrimum
dormiunt vetulae, Nannion, Plangon, Lyca,
Gnathaena, Phryne, Pythionica, Myrrhina,
Chryſis, Conallis, Hieroclea, Lopadion.

Quarum meretricum Amphis quoque meminit in Curide, ubi ait:

Caecus mihi Plutus eſſe videtur,
qui ad hanc quidem non ingreditur:
apud Sinopen vero & Lycam & Nannium,

ἑτέραις τε [1] τοιαύταισι παγίσι τοῦ βίου,
ἔνδον κάθητ' ἀπόπληκτος, οὐδ' ἐξέρχεται.

XXIII. Fucus, & similia meretricum artificia.

Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἱσο- a
στάσιον, τὴν ἑταιρικὴν παρασκευὴν, καὶ τὰς δι' ἐπι-
τεχνήσεως κομμώσεις τῶν ἑταιρῶν, οὕτως ἐκτίθεται·

Πρῶτα [2] μὲν γὰρ πρὸς [3] τὸ κέρδος καὶ τὸ συλᾶν
τοὺς πέλας
πάντα [4] τἄλλ' αὐταῖς πάρεργα [5] γίνεται· ῥάπτου-
σι δὲ
πᾶσιν ἐπιβουλάς. ἐπειδὰν δ' εὐπορήσωσί ποτε,
ἀνέλαβον καινὰς ἑταίρας, πρωτοπείρους τῆς τέχνης.
Εὐθὺς ἀναπλάττουσι ταύτας, ὥστε μήτε τοὺς τρό-
πους, 5
μήτε τὰς ὄψεις ὁμοίως διατελεῖν οὔσας ἔτι.
Τυγχάνει μικρά τις οὖσα; Φελλὸς ἐν ταῖς βαυκί- b
σιν [6]
ἐγκεκάττυται. Μακρά τις; διάβαθρον λεπτὸν Φορεῖ,

1 ἑταίραις τε mssti. 2 Πρῶτον vulgo. 3 Desunt duae voculae edd. 4 Deest πάντα edd. 5 περίεργα edd. 6 καυχίσιν edd.

aliasque tales vitae hominum laqueos,
intus sedet attonitus, nec inde egreditur.

23. Alexis vero, in dramate quod Isostasion inscribitur, meretricium adparatum, & artificia quibus ad cultum comptumque corporis utuntur meretrices, in hunc modum exponit:

Ut sibi quaestum concilient, ac despolient alterum,
prae hoc labore reliqua cuncta ducunt perfunctoria.
Omnibus struunt insidias. Postquam sic rem fecerunt,
alia sibi scortilla adsciscunt, artis tirones novas:
has refingunt ac reformant, ut nec mores antea
iam tutentur, nec sit idem vultus qui pridem fuit.
Si pusilla est aliqua, suber additur sculponeis.
Longa est alia? plantam tenui leviter vestit diabathro,

τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' [1] ἐξέρχεται·
τοῦτο τοῦ μήκους ἀφεῖλεν. Οὐκ ἔχει τις ἰσχία; ὑπενέδυσ' ἐρραμμένην αὐτήν· ὥστε τὴν εὐπυγίαν ἀναβοᾶν τοὺς εἰσιόντας. [2] Κοιλίαν ἀδρὰν [3] ἔχει; [4] τιτθίαις [5] ταύταισι τούτων, ὧν ἔχουσ' οἱ κωμικοὶ, ὀρθὰ προσθεῖσαι, [6] τοιαῦτα γοῦν αὐτῶν τῆς κοιλίας, [7]
c ὥσπερεὶ κοντοῖσι τούτοις, εἰς τὸ πρόσθ' [8] ἀπήγαγον. [9]
Τὰς ὀφρῦς πυρρὰς ἔχει τις; ζωγραφοῦσιν ἀσβόλῳ. συμβέβηκ' εἶναι μέλαιναν, κατέπλασε ψιμυθίῳ. [10]
λευκόχρως λίαν τις ἐστί; παιδέρωτ' ἐντρίβεται.
Καλὸν ἔχει τοῦ σώματός τι; ταυτὸ [11] γυμνὸν δείκνυται.

1 καταβάλλουσ' edd. 2 ἰδόντας vulgo. 3 Deeſt ἀδρὰν ed. Ven. & Baſ. 4 τις addit ed. Caſ. 5 στήθιες ed. Ven. & Baſ. cum Msto. τιτθείαις ed. Caſ. ταινίαις coni. Dalec. 6 προσθεῖσα ed. Florentina apud Clem. προστιθεῖσα ed. Sylb. Clem. 7 ταῦτα, τοὔνδυτον τῆς κοιλίας Sylb. apud Clem. τοὔξεχον τῆς κοιλίας Grot. 8 εἰς τ' ὄπισθ' Grot. 9 ἀπήγαγεν apud Clem. 10 ψιμυθίῳ edd. 11 τοῦτό apud Clem.

& capite in humeros reiecto publicam incedit viam: tantum abit proceritati. Si depygis altera eſt, fulmentatur aſſumentis, ut, qui euntem conſpicant, bene clunatam exclament omnes. Si cui venter prominet, faſciis, videre quales in comoediis licet, arrectaria inſuper addunt: & ſic, quod protuberat alvi exterius, id retrorſum redigunt tanquam trudibus. Quae rufum ſuperciliata eſt, pingitur fuligine: nigra ſi qua, de ceruſſa falſum candorem trahit: ad pallorem ſi qua albeſcit, haec acantho inungitur. Nudum habendum & promercale, ſi quid pulcrum in corpore eſt.

εὐφυεῖς ὀδόντας ἔσχεν; ἐξ ἀνάγκης δεῖ γελᾶν, 20
ἵνα θεωρῶσ'[1] οἱ παρόντες τὸ στόμ', ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ[2] τὴν ἡμέραν d
ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε,
ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
μυρρίνης ἔχουσα[3] λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν· 25
ὥστε τῷ χρόνῳ σέσηρεν,[4] ἄν τε βούλητ',[5] ἄν τε μή.
[σώματα καὶ][6] ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν
τεχνῶν.

XXIV. Διὸ συμβουλεύω σοι, Θετταλὲ ποικιλόδιφρε,
Lupanaria. τὰς ἐπὶ τῶν οἰκημάτων ἀσπάζεσθαι, καὶ μὴ καταναλίσκειν εἰς οὐδὲν δέον τὰ τῶν υἱῶν κέρματα. ὄντως γὰρ e
„ἄριστα χωλὸς οἰφεῖς“[7] τοῦ κρηπιδοποιοῦ πατρὸς
οὐ πολλά σε σωφρονίσαντος καὶ διδάξαντος „σκύτη
βλέπειν.“ ἢ οὐκ οἶδας, κατὰ τὴν Εὐβούλου Παννυ-

1 ἵνα θεωροῖεν vulgo. ἵν' ἀθροῖεν Iac. 2 διὰ τέλους mssti & ed. Ven. διατελοῦσι ed. Caſ. 3 ἔχουσι vulgo. 4 σεσηρέναι vulgo. 5 βούλωντ' edd. cum ms. *A*. 6 Abſunt vulgo duo verba. 7 οἰφᾶς edd.

Dentes nacta eſt elegantes, perneceſſe eſt rideat;
ut conſpiciant quotquot adſunt, quam ſit ore venuſtulo:
quod ſi riſum non amaſſit, deſidere intra domum
cogitur dies perpetuos, & qualia coquo adiacent
cum caprugna capita vendit, tali myrti fruſtulo
labia transtinere & ori facere intercapedinem;
ut, velit nolitve, rictum conſueat diducere.
Talibus ſutelis corpus atque vultum interpolant.

24. Quare tibi conſulo, Theſſale variâ-ſellâ-utens, illis mulieribus ſis contentus quae in lupanaribus proſtant, nec praeter rationem filiorum tuorum rem familiarem perdas. Vere enim tu *clauduś optime virum agis*: quum crepidarius pater tuus non admodum te ad ſapientiam continentiamque inſtituerit & *coria ſpectare* docuerit. Aut nonne noſti illas, quas Eubulus in Panny-

χίδα „Τὰς Φειδωλοὺς κερμάτων παλευτρίας, πώλους Κύπριδος ἐξησκημένας,

γυμνὰς ἐφεξῆς ἐπὶ κέρως [1] τεταγμένας,
ἐν λεπτονήτοις [2] ὑμέσιν ἐστῶσας, οἵας
Ἠριδανὸς ἀγνοῖς ὕδασι κηπεύει κόρας·
παρ' ὧν [3] βεβαίως ἀσφαλῶς τ' [4] ἔξεστί σοι
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν."

καὶ ἐν Ναννίῳ· (Εὐβούλου [5] τὸ δρᾶμα καὶ μὴ Φιλιππίδου·)

Ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρα,
πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος;
ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
γυμνὰς ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις [6] ὑμέσιν ἐστώσας, οἵας
Ἠριδανὸς ἀγνοῖς ὕδασι κηπεύει κόρας,

1 ἐπικαίρως ed. Baſ. & Caſaub. cum ms. *A.* & ſic mox iterum. ἐπικαίρους ms. *Ep.* 2 λεπτοπήνοις ms. *Ep.* in contextu, & λεπτονήτοις inter lineas. 3 παρὼν edd. cum ms. *A.* 4 Deeſt τ' edd. 5 Forſ. εἰ Εὐβ. 6 Ruruſus λεπτονήτοις edd.

chide dixit, *Parcas nummorum illices, eruditas* (ſive, *comptas*) *Cypridis iuvenculas,*

quae nudae longâ ſerie collocatae
ſtant, tenui-filo-textas membranas indutae;
quales Eridanus caſtis nutrit aquis puellas:
a quibus tuto ac ſine periculo licet tibi
pauculis nummis voluptatem emere.

& in Nannio: (Eubuli [ſi] id drama eſt, non Philippidae:)

Quisquis ſubſeſſor iuris alieni toros
furtivos ſequitur, nonne homo eſt miſerrimus?
cum detur illi ſolis inſpicere ad iubar
nudas, digeſtas tamquam in aciei ordinem,
ſtantes in nebulâ linteâ, quales Padus
lavat puellas amnis puri flumine;

μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν·
καὶ μὴ λαθραίαν κύπριν (αἰσχίστην νόσων [1] a
πασῶν) διώκειν, ὕβρεος, [2] οὐ πόθου χάριν.
Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου πέρι 10
στένω, ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο. [3]

Ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πεντάθλῳ τοῖς παραπλησίως σοι βιοῦσι, καὶ ἐσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν, ταυτὶ λέγων·

— Δεινὰ, δεινὰ, κοὐκ ἀναισχετὰ
ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι.
Ὅπου γὰρ οὐσῶν μειράκων μάλ' εὐπρεπῶν b
ἐπὶ τοῖσι πορνείοισιν, ἃς [4] ἔξεσθ' ὁρᾶν
εἰληθερούσας, στέρν' ἀπημφιεσμένας, [5] 5
γυμνὰς, ἐφεξῆς τ' [6] ἐπὶ κέρως [7] τεταγμένας·

1 ὅσων vulgo. 2 ὕβρεως vulgo. 3 ἣ ἐξεπέμψατο corr. Iacobs. deleto pronomine post στένω. 4 πορνίοισι μάλ' ἔξεσθ' edd. 5 στέρνα τ' ἠμφιεσμ. vulgo. 6 γυμνάς τ' ἐφεξ. Toup. 7 ἐπικαίρως vulgo.

& emere parvo pretio noctis gaudium:
non, quae res foeda eſt, furto Venerem quaerere,
protervitatis, haud amoris gratia.
Graeciae equidem miſerae vicem
doleo, nauarchum quae emiſit Cydiam.

Reprehendit etiam Xenarchus, in Quinquertio, eos qui tuo more vivunt, & ſumtuoſas illas meretrices ambiunt, & ingenuas matronas ſolicitant; cuius haec ſunt verba:

Indigna, indigna, & intolerabilia,
faciunt iuvenes hac in urbe.
Nam cum ſint puellae formoſae admodum
in lupanaribus, quas videre licet
in aprico ſtantes, revelato pectore,
nudas, continuâ longâ ſerie collocatas:

ὧν ἐστιν ἐκλεξάμενον ἥ τις ἥδεται,
λεπτῆ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
νέᾳ, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ·
μὴ κλίμακ' αἰτησάμενον εἰσβῆναι λάθρᾳ,
μηδὲ δι' ὀπῆς κάτωθεν ἐκδῦναι στέγης,
μήδ' ἐν ἀχύροισιν εἰσενεχθῆναι τέχνῃ. [1]
Αὗται βιάζονται γὰρ, εἰσέλκουσί τε,
τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
πατρίδια, τοὺς δ' ἀπφάρια, τοὺς νεωτέρους.
καὶ τῶνδ' ἑκάστην [2] ἐστὶν ἀδεῶς, εὐτελῶς,
μεθ' ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόπους·
τὰς δ' [3] οὔτ' ἰδεῖν ἔστ', οὐθ' ὁρῶντ' ἰδεῖν σαφῶς,
ἀεὶ δὲ τετρεμαίνοντα, καὶ φοβούμενον,
δεδιότα τ', [4] ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχονθ'.
ἃς [5] πῶς ποτ', ὦ δέσποινα ποντία [6] Κύπρι, [7]

1 τέχναις edd. 2 ἕκαστον vulgo. 3 ἃς δ' οὔτ' vulgo. 4 Deest τ' vulgo. 5 ἔχοντα πῶς, absque ἃς, edd. Ἔχειν & οἳ πῶς corrigunt viri docti. 6 πόντια malim. 7 Κύπρις edd.

quarum eligenti quamcumque libuerit,
tenuem, pinguem, rotundam, longam, rugosam,
iuvenem, senem, mediam, maturiorem:
non opus est scalam quaerenti furtim ingredi,
nec per foramen tecti domo rursus evadere,
nec involutum paleâ per dolum importari.
Hae enim vel invitum per vim etiam attrahunt;
seniores si qui sunt, hos paterculos
compellantes; si iuniores, fraterculos.
Et harum quâque frui nullo periculo viliquæ pretio
licet, interdiu, vesperi, quoquo libuerit modo.
Illas vero ne videre quidem, nec si videas, aperte adspicere
licet, nisi trepidanti semper, timentique,
& paventi in manu vitam habenti positam.
Quibuscum quonam tandem pacto, o Diva pontigena (sive, veneranda) Cypris,

βινεῖν δύνανται, τῶν Δρακοντείων νόμων d
ὁπόταν ἀναμνησθῶσι προσκινούμενοι; [1]

XXV. Καὶ Φιλήμων δ' ἐν Ἀδελφοῖς· [2] προσιστορῶν,
ὅτι πρῶτος Σόλων, διὰ τὴν τῶν νέων ἀκμὴν, ἔστη-
σεν ἐπὶ οἰκημάτων γύναια πριάμενος· καθὰ καὶ Νί-
κανδρος ὁ Κολοφώνιος ἱστορεῖ ἐν τρίτῳ [3] Κολοφωνια-
κῶν, φάσκων αὐτὸν καὶ Πανδήμου Ἀφροδίτης ἱερὸν
πρῶτον ἱδρύσασθαι ἀφ' ὧν ἠργυρίσαντο αἱ προστᾶσαι
τῶν οἰκημάτων. ἀλλ' ὅ γε Φιλήμων οὕτως φησί·

Σὺ [4] δ' εἰς ἅπαντας εὗρες ἀνθρώπους, Σόλων, e
σὲ γὰρ λέγουσιν τοῦτ' ἰδεῖν πρῶτον [βροτῶν,] [5]
δημοτικὸν, ὦ Ζεῦ, πρᾶγμα καὶ σωτήριον·
(καί μοι λέγειν τοῦτ' ἐστὶν ἁρμοστὸν, Σόλων·)
μεστὴν ὁρῶντα [6] τὴν πόλιν νεωτέρων, 5
τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν,

Venus vulgivaga a Solone conſecrata.

1 προσκυνούμενοι vulgo. 2 ἐν Δελφοῖς vulgo. 3 Alibi ἐν ἕκτῳ. 4 Εὖ corr. Grotius. 5 Deeſt vox vulgo. 6 ὁρῶντι vulgo: & ſuperiore verſu parentheſin non agnoſcunt.

rem habere poſſunt, Dracontiarum legum
ſi quando memoria ſubit coëuntes?

25. Similia dixit Philemon in fabula Adelphis, ſimul docens, primum *Solonem* propter iuvenum aetate vigentium libidinem inſtituiſſe, ut eſſent emtae mulierculae quae in lupanaribus proſtarent: quod etiam Nicander Colophonius tradit tertio libro Colophoniacorum, ubi *templum* quoque *Veneris vulvivagae* ab eodem primum exſtructum eſſe ait ex pecunia quam fecerunt mulieres lupanaribus praefectae. Philemonis autem verſus hi ſunt:

Cunctis hominibus bene pol! feciſti, Solon:
nam te commemorant eſſe auctorem principem
adeo popularis ac ſalutaris rei.
(Namque haec conveniens mihi, Solon, oratio eſt.)
In urbe iuvenes cum videres plurimos,
quibus deeſſet nil naturae partium,

ἁμαρτάνοντας τ' εἰς ὃ μὴ προσῆκον ἦν,
στῆσαι, πριάμενόν τοι, [1] γυναῖκας κατὰ τόπους
κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
Ἑστᾶσι γυμναί· μὴ ἐξαπατηθῇς· πάνθ' ὁρᾷ.
f οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων; ἔχεις
[ἐστυκότως] πῶς; ἡ θύρα 'στ' ἀνεῳγμένη. [2]
εἷς ὀβολός· εἰσπήδησον· οὐκ ἔστ' οὐδὲ εἷς
ἀκκισμός, οὐδὲ λῆρος, οὐδ' ὑφήρπασεν· [3]
ἀλλ' εὐθὺς ὡς βούλει σὺ, χ' ὃν [4] βούλει τρόπον.
Ἐξῆλθες; οἰμώζειν λέγ', ἀλλοτρία 'στί σοι. [5]

Καὶ Ἀσπασία δὲ ἡ Σωκρατικὴ ἐνεπορεύετο πλήθη καλῶν γυναικῶν, καὶ ἐπλήθυνεν ἀπὸ τῶν ταύτης ἑταιρίδων ἡ Ἑλλάς, ὡς καὶ ὁ χαρίεις Ἀριστοφάνης (ἐν

Aſpaſiae meretriculis impletur Graecia.

1 τι ed. Baſ. & Caſ. 2 Claudus vulgo verſus, πῶς ἡ θύρα ἔσται ἀνεῳγμένη. 3 ὑφαρπαγὴ corr. Grot. 4 βούλει συχνὸν vulgo. 5 ἀλλότρια τί σοι vulgo.

libidinantes in ea quae attingi nefas;
emtas mulieres certis ſtatuiſti in locis,
in hoc paratas publici ut iuris forent.
Nudae adſtant: ſpecta penitus, ne falli queas.
Res nonne bene habent, quisquis es tandem, tuae?
eſt unde apertas indipiſcaris fores.
[Sive: *Haud ſat bene te habes? tentigine laboras?*
aperta ianua eſt.]
Sat obolus: intra! Nulla detrectatio,
nugatio hîc nec ulla, nec ſubductio:
licet continuo cum libet & quantum libet.
[Sive: *licet ſtatim ac tu volueris, & quo modo libuerit.*]
Exiſti? iube eam flere: nihil ad te attinet.

Verum etiam *Aſpaſia*, Socratica illa, formoſarum mulierculârum multitudinem invexit, & meretriculis illius repleta Graecia eſt: quod etiam feſtivus Ariſtophanes

Ἀχαρνεῦσι)[1] παρασημαίνεται, λέγων τὸν Πελοποννη- a
σιακὸν πόλεμον ὅτι Περικλῆς διὰ τὸν Ἀσπασίας ἔρω-
τα, καὶ τὰς ἁρπασθείσας ἀπ' αὐτῆς θεραπαίνας ὑπὸ
Μεγαρέων, ἀνερρίπισε· [ὑπὸ Μεγαρέων τὸ δεινόν·][2]

Πόρνην δὲ Σιμαίθαν ἰάντες Μεγάραδε
νεανίαι κλέπτουσι μεθυσοκόταβοι.
εἶθ' οἱ Μεγαρῆς[3] ἀδύναις πεφυσιγγωμένοι
ἀντεξέκλεψαν Ἀσπασίας πόρνας δύω·
κἀκεῖθεν[4] ἀρχὴ τοῦ πολέμου κατερράγη 5
Ἕλλησι πᾶσιν, ἐκ τριῶν λαικαστριῶν. b

XXVI. Hieracis modi.

Τῶν οὖν μεγαλομίσθων ἑταιρῶν ἀποτρέπω σε, γραμματικώτατε· διότι

Τὰς μὲν (γὰρ)[5] ἄλλας ἐστὶν αὐλούσας ἰδεῖν
αὐλητρίδας πάσας Ἀπόλλωνος νόμον,

1 Absunt duo verba edd. & ms. *A*. 2 Inseruntur ista verba in ms. *A*. In edd. scribitur ἀνερρίπισε τὸ κατὰ Μεγαρέων ψήφισμα τὸ δεινόν: quae tenens Iacobs, delenda censet ista superiora, τὸν Πελοποννησιακὸν πόλεμον. 3 Μεγαρεῖς edd. 4 κἀντεῦθεν ed. Cas. 5 Abest vox vulgo.

(in Acharnensibus) subindicat, Peloponnesiacum bellum dicens a Pericle ob Aspasiae amorem, & ob subreptas ei a Megarensibus famulas esse suscitatum:

Meretricem Simaetham profecti Megara
adolescentes furantur cottabismo ebrii.
Inde Megarenses dolore & irâ turgidi,
vicissim subripuerunt Aspasiae scorta duo:
& hinc initium prorupit belli
universis Graecis, ab tres meretriculas.

26. Ergo ab iis meretricibus, quae ingentem mercedem exigunt, ut abstineas tibi consulo, vir literatissime: nam

Alias quidem tibicinas videas omnes
aut Apollinis canere modos,

Διὸς νόμον· [1] — — — —
αὗται δὲ μόνον αὐλοῦσιν Ἱέρακος νόμον·

Ἐπικράτης φησὶν ἐν Ἀντιλαΐδι. ἐν ᾧ δράματι καὶ περὶ τῆς πολυθρυλλήτου Λαΐδος τάδε λέγει·

Αὕτη δὲ Λαὶς ἀργός ἐστι καὶ πότις, Lais vetula.
τὸ καθ' ἡμέραν ὁρῶσα πίνειν καὶσθίειν
μόνον, πεπονθέναι δὲ ταὐτά μοι [2] δοκεῖ
c τοῖς ἀετοῖς· [3] οὗτοι γὰρ ὅταν ὦσι νέοι,
ἐκ τῶν ὀρῶν πρόβατ' ἐσθίουσι καὶ λαγὼς, 5
μετέωρ' ἀναρπάζοντες ἀπὸ τῆς ἰσχύος.
ὅταν δὲ γηράσκωσιν ἤδη, δὴ τότε [4]
ἐπὶ τοὺς νεὼς ἵζουσι πεινῶντες κακῶς·
κἄπειτα τοῦτ' εἶναι νομίζεται τέρας.
Καὶ Λαὶς ὀρθῶς γοῦν νομίζοιτ' ἂν τέρας. 10
αὕτη γὰρ ὁππότ' ἦν νεοττὸς καὶ νέα,

1 Deeſt editis iſtud initium verſus tertii cum verſu quarto. 2 ταὐτά μοι vulgo. 3 αἰετοῖς corr. Caſaub. 4 Vulgo τότε absque δή.

aut Iovis; — — —
hae vero nonniſi Hieracis modos canunt:

ut ait Epicrates in Antilaide. Quo in dramate etiam de famoſa illa Laide haec dicit:

Haec illa eſt Lais, otioſa, merobiba,
nil aliud curans quam quod comedat in diem
bibatque. Eique evênit aquilis quod ſolet.
Namque eae dum vernant annis in iuvenilibus,
lepores veſcuntur atque montivagas oves,
ſublime raptas impetu violentiae:
at ubi ſenectâ attritus interiit vigor,
eſurie enectae templum inſidunt vertices;
quod ſpectio auguralis portentum vocat.
Iure igitur ſummo Laidem portentum putes:
quae cum floreret membris praeviridantibus,

ὑπὸ τῶν στατήρων ἦν ἐπηγριωμένη·
εἶδες δ' ἂν [1] αὐτῆς Φαρνάβαζον θᾶττον ἄν.
ἐπεὶ δὲ δολιχὸν τοῖς ἔτεσιν ἤδη τρέχει, d
τὰς ἁρμονίας τε διαχαλᾷ τοῦ σώματος, 15
ἰδεῖν μὲν αὐτὴν ῥᾴδιον ἐστι καὶ πτύσαι· [2]
ἐξέρχεταί τε πανταχόσ' ἤδη πιομένη,
δέχεται δὲ καὶ στατῆρα καὶ τριώβολον,
προσίεται δὲ καὶ γέροντα κἀὶ νέον·
οὕτω δὲ τιθασὸς γέγονεν, [3] ὥστ', ὦ φίλτατε, [4] 20
τ' ἀργύριον ἐκ τῆς χειρὸς ἤδη λαμβάνει.

Μνημονεύει δὲ τῆς Λαΐδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ, καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει διὰ τούτων·

Α. Τὴν ἐκ Κορίνθου Λαΐδ' οἶσθα; Β. Πῶς γὰρ οὐ; e
τὴν ἡμετέρειον. [5] Α. Ἦν ἐκείνη τις Φίλη

1 εἶδες ἂν edd. 2 πτίσαι forſ. 3 τιθασσὸς γέγον' edd. 4 φίλτατα ms. *A.* 5 τὴν ἡμέρειον Ms. τὴν ἡμέρειον edd. τὴν Ἱμεραίαν coni. Caſ. Poteras etiam τὴν Ὑκκαραίαν coniectare.

ferociebat nimiâ argenti copiâ:
vidiſſes ipſum Pharnabazum facilius.
At poſtquam extrema aetatis curriculâ attigit,
& ſe reſolvit corporis compactio,
facile illam aſpicias atque aſpectam deſpuas.
Quovis locorum ad compotandum curſitat:
nec iam ſtaterem deſpicit, nec triobolum:
iuvenibus non excuſat: admittit ſenes:
atque adeo manſues facta eſt, o cariſſime,
argentum ut ipſa capiat e dantis manu.

Meminit vero Laidis etiam Anaxandrides in Gerontomania, (i. e. in fabulâ *Senum-ſtultitiâ;*) ubi alia ſimul ſcorta recenſet, his verbis:

A. *Corinthiam meminiſti Laidem?* B. *Quidni?*
illam noſtratium. A. *Erat ei amica quaedam,*

Ἄνθεια. [1] Β. Καὶ τοῦτ' ἡμέτερον ἦν παίγνιον.
Α. Νὴ τὸν Δί', ἤνθει τότε Λαγίσκη· ἦν τότε [2]
καὶ Θεολύτη μάλ' εὐπρόσωπος, καὶ καλὴ
ὑπέφαιν' ἐσομένη· ἦν [3] δ' Ὤκιμον λαμπρὸν πάνυ.

XXVII. Myrtilum provocat Cynulcus.

Ταῦτά σοι παραινεῖν ἔχω, ἑταῖρε Μυρτίλε. καὶ, κατὰ τὴν Φιλεταίρου Κυνηγίδα,

f Παῦσαι, γέρων ὤν, τοὺς τρόπους. οὐκ οἶσθ', ὅτι
οὐκ ἐστὶν ἥδιστον θανεῖν [4] βινοῦνθ' ἅμα;
ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμίσιον. [5]
ἢ ἥδιστόν ἐστί σοι, ὡς ἐν Μαραθωνίαις φησὶ Τιμοκλῆς;
Ὅσον τὸ μεταξὺ, [6] μετὰ κορίσκης, ἢ μετὰ
χαμαιτύπης, τὴν νύκτα κοιμᾶσθαι. βαβαί!
ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες!

1 Ἄντεια edd. 2 ἦν δὲ τότε vulgo. Λαγίσκιον· τότε corr. Iac. 3 ἐσομένη. ἦν δ' edd. ἐσομένη δ' absque ἦν Ms. 4 ἀποθανεῖν vulgo: quod tenentes alii, *deletâ negatione* initio versus, legunt ἥδιστόν ἐστιν. 5 Φορμίσιον edd. 6 Θεῶν μεταξὺ ed. Caſ. θεὸν τὸ μεταξὺ ed. Ven. & Baſ. cum membr. Ὅσον μεταξὺ corr. Iacobs.

Anthea. B. *Et haec noſtra fuit amaſia.*
A. *Per Iovem! florebat tunc Lagiſca: erat tunc*
& Theolyta egregiâ formâ, & pulcerrima
promittebat fore: erat item Ocymum perquam nitida.

27. Haec te monitum volui, amice Myrtile. Et, quod eſt apud Philetaerum in Venatrice:

Senex cum ſis, pone mores illos. Nonne noſti,
non eſſe ſuaviſſimum, emori coëuntem?
quemadmodum mortuum eſſe aiunt Phormiſium.

Aut eſt-ne tibi illud ſuaviſſimum, quod in Marathoniis Timocles ait?

Quantum intereſt, cum puella potius, quam cum
proſtibulo, noctu concumbere! Papae!
Illa carnis ſoliditas, color, halitus, boni Dii!

τὸ μὴ σΦόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δ' ἔτι
ἀγωνιάσαι, καὶ ῥαπισθῆναί τε [1] καὶ 5 a
πληγὰς λαβεῖν ἀπαλαῖσι χερσίν· ἡδύ γε,
νὴ τὸν Δία τὸν μέγιστον. —

Ἔτι πολλὰ τοῦ Κυνούλκου θέλοντος λέγειν, καὶ τοῦ Μάγνου ἐπιῤῥαπίσαι βουληθέντος αὐτὸν εἰς τιμὴν τοῦ Μυρτίλου, φθάσας ὁ Μυρτίλος, διήχθρευε γὰρ τῷ Σύρῳ, ἔφη·

— Οὐχ ὧδ' ἐμόγησαν
ἐλπίδες, ὥστ' ἐχθρῶν συμμαχίας καλέσαι·

φησὶν ὁ Καλλίμαχος. οὐ γὰρ αὐτάρκεις ἡμεῖς ἀμύνασθαι, ὦ Κύνουλκε;

Ὡς σκαιὸς εἶ, καὶ ἄγροικος, αἰσχροεπῶν, — —
ἐπαρίστερ' [2] ἐν τῷ στόματι τὴν γλῶτταν φορεῖς· b

κατὰ τὴν Ἐφίππου Φιλύραν. δοκεῖς γάρ μοι ἐκείνων εἷς εἶναι,

1 ῥαπισθῆναί γε vulgo. 2 ἐπαρίστερος edd.

tum quod non in promtu ſtatim ſunt omnia, ſed opus eſt adhuc
decertare, & conviciis peti, atque etiam
verbera accipere mollibus a manibus: ſuave profecto,
per Iovem maximum! —

Adhuc plura dicturum Cynulcum caſtigare parabat Magnus, ulciſcendi Myrtili gratiâ; cum ipſe Myrtilus antevertens (infenſus enim Syro erat) ait:

— At non ita extenuata ſpes noſtra eſt,
inimicum ut in auxilium vocare neceſſe ſit:

verbis Callimachi utor. Nonne enim ſatis nobis ipſis ad te propulſandum virium eſt, Cynulce?

Ut ruſticus es & ſtupidus, ut foedum loquens!
nimirum in ore laevam linguam poſſides.

quod in Philyra Ephippus ait. Videris enim mihi horum unus eſſe,

— οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι·
ὡς τὶς ἔφη τῶν παρῳδῶν.

XXVIII.

Ambiguitas vocabuli ἑταίρα.

Ἐγὼ γὰρ, ὦ ἄνδρες σύσσιτοι, οὐ κατὰ τὰς Μεταγένους Αὔρας, ἢ τὸν Ἀριστα γόρου Μαμμάκυθον,

— ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας,
ὡραίας πρότερον· νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα
ἀνδρῶν Φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

c Ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι, τουτέστι [2] τῶν Φιλίαν ἄδολον συντηρεῖν δυναμένων· ἃς οὐ Κύνουλκος τολμᾷ λοιδορεῖν, μόνας τε [3] τῶν ἄλλων γυναικῶν τῷ τῆς Φιλίας ὀνόματι προσηγορευμένας, ἢ ἀπὸ τῆς παρ' Ἀθηναίοις καλουμένης Ἑταίρας τῆς Ἀφροδίτης. περὶ ἧς φησιν ὁ [4] Ἀθηναῖος Ἀπολλόδωρος ἐν τοῖς Περὶ Θεῶν οὕτως· „Ἑταίραν δὲ τὴν Ἀφροδίτην,

Venus Hetaera.

1 Μαμήκουθον edd. 2 Abeſt vox edd. 3 Forſ. μόνας γε. 4 Deeſt articulus edd.

Quos literas Muſae docuere ſiniſtras:
ut dixit aliquis ex Parodis.

28. Ego vero, viri convivae, non, ut eſt in Metagenis Auris, aut in Ariſtagorae Mammacytho,

— *vobis ſaltatrices dixi hetaeras*
formoſas prius; nec nunc vobis loquor
nuper puberes tibicinas, quae citiſſime
virorum onerariorum ob mercedem genua ſubmiſerunt. (ſive, *mercede datâ genua debilitarunt.*)

Sed de his verba feci, quae vere *hetaerae* ſunt; id eſt, quae *amicitiam* non doloſam conſervare poſſunt, quas ne Cynulcus quidem maledictis traducere auſit: quae ſolae prae caeteris mulieribus ab *amicitia* nomen invenerunt, aut ab illa quae apud Athenienſes *Hetaera Venus* adpellatur. De qua Apollodorus in libro de Diis ait: »*He-*

τὴν τοὺς ἑταίρους καὶ τὰς ἑταίρας συνάγουσαν· τοῦτο δ' ἐστὶ φίλας." Καλοῦσι γοῦν [1] καὶ αἱ ἐλεύθεραι γυναῖκες ἔτι καὶ νῦν, καὶ αἱ παρθένοι, τὰς συνήθεις καὶ d φίλας, ἑταίρας. ὡς ἡ Σαπφώ·

Τάδε νῦν ἑταίραις ταῖς ἐμαῖς τερπνὰ καλῶς ἀείσω. καὶ ἔτι·

Λατὼ καὶ Νιόβα μάλα μὲν φίλαι ἦσαν ἑταῖραι.

Καλοῦσι δὲ καὶ τὰς μισθαρνούσας, ἑταίρας· καὶ τὸ ἐπὶ συνουσίαις μισθαρνεῖν, ἑταιρεῖν· οὐκ ἔτι πρὸς τὸ ἔτυμον ἀναφέροντες, ἀλλὰ πρὸς τὸ εὐσχημονέστερον, καθὸ καὶ Μένανδρος, ἐν Παρακαταθήκῃ, ἀπὸ τῶν ἑταιρῶν τοὺς ἑταίρους διαστέλλων, φησί·

Πεποιήκατ' ἔργον οὐχ ἑταίρων, [νὴ Δία· e
μᾶλλον δ' ἑταιρῶν.] [2] Ταὐτὰ δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

1 Fortaſſe etiam haec cum ſequentibus verba ſunt Apollodori.
2 Deſunt vulgo, quae hîc uncis incluſa.

taeran Aphroditen; quae ſodales & *hetaeras* coniungit, id eſt, *amicas.* « Sane etiam nunc & ingenuae matronae & virgines ſuas familiares & amicas *hetaeras* vocant. Ut (olim) Sappho:

Haec meis hetaeris [i.e. *familiaribus*] *iucunda pulcre canam.*

rurſusque alibi:

Latona & Niobe admodum amicae fuerunt hetaerae.

Vocant vero etiam *meritorias mulieres, hetaeras:* & ἑταιρεῖν, *corpore quaeſtum facere:* non iam originem nominis ſpectantes, ſed honeſtiorem formam. Quemadmodum etiam Menander, in Depoſito, ab *hetaeris mulieribus hetaeros* distinguens, ait:

Quod feciſtis, non ἑταίρων (*amicorum*) *eſt opus, ſed* ἑταιρῶν. (*amicarum, meretricum.*) *Vocum affines literae ambiguam faciunt nominis ſententiam.*

[ſive, *nomen efficiunt non admodum honeſtum.*]

Περὶ δὲ τῶν ἑταιρῶν Ἔφιππος [1] ἐν Ἐμπολῇ τάδε φησίν· XXIX.

Hetaerae blandae, modeſtae, & vere amicae.

Ἔπειτα γ' εἰσιόντ', ἐὰν λυπούμενος
τύχῃ τις ἡμῶν, ἐκολάκευσεν, ἢ κατε- [2]
φίλησεν, οὐχὶ συμπιέσασα τὸ στόμα,
ὥσπερ πολέμιον, [3] ἀλλὰ τοῖσι στρουθίοις
f χαυνοῦσ' ὁμοίως· ἦσε, παρεμυθήσατο, 5
ἐποίησέ θ' ἱλαρὸν, εὐθέως τ' [4] ἀφεῖλε πᾶν
αὐτοῦ τὸ λυποῦν, [5] κἀπέδειξεν ἵλεων.

Εὔβουλος δ' ἐν Καμπυλίωνι, κοσμίαν ἑταίραν παράγων, φησίν·

— Ὡς δ' ἐδείπνει κοσμίως!
οὐχ ὥσπερ ἄλλαι, τῶν πράσων ποιούμεναι
τολύπας, ἔσαττον τὰς γνάθους, καὶ τῶν κρεῶν
a ἀπέβρυκον αἰσχρῶς· ἀλλ' ἑκάστου μικρὸν ἂν

1 Εὔσχημος vulgo h. l. 2 Forſ. ἦκα τε, & dein ἐφίλησεν. Alibi ἐκολάκευσεν ἡδέως, & dein ἔφιλησεν. 3 Alibi πολέμιος. Corruptum fortaſſe utrobique vocabulum. 4 Deeſt τ' edd. 5 λοιπὸν vulgo h. l.

29. De meretricibus vero Ephippus, in Capturâ, haec ait:

Tum vero intrantem ſi quem moeſtitudine
tentatum cernat, eum demulcet molliter,
& oſculatur, non os rigidum comprimens
hoſtilem in morem, ſed hians, & paſſerculos
imitata, oblectat, invenit ſolatia,
atque his remediis triſtitatis nubilum
dispellens hilarem ſubito ac placidum facit.

Eubulus vero in Campylione, modeſtam inducens meretricem, dicit:

— *Haec vero quantâ coenabat modeſtiâ!*
non itidem ut illae, totis quae porri globis
buccas tumentes farciunt, & turpiter
deglutiunt carnes: modicum ſed de ſingulis

ἀπεγεύεθ', [1] ὥσπερ παρθένος Μιλησία.

Ἀντιφάνης, Ὑδρᾳ· [2]

— Οὗτος δ', ὃν λέγω,
ἐκ γειτόνων αὐτῷ κατοικούσης τινὸς,
ἰδὼν, ἑταίρας εἰς ἔρωτ' ἀφίκετο,
ἀστῆς, ἐρήμου δ' ἐπιτρόπου καὶ συγγενῶν,
ἦθος τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης,
ὄντως ἑταίρας. αἱ μὲν [3] ἄλλαι τοὔνομα
βλάπτουσι τοῖς τρόποισιν, ὄντως ὂν καλόν.

Ἀναξίλας, Νεοττίδι· b

— Α. Ἐὰν δέ τις μέτρια λέγουσ' ἀεὶ, [4]
τοῖς δεομένοις τινῶν ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρίας ἑταῖρα τοὔνομα
προσηγορεύθη. καὶ σὺ νῦν οὐχ, ὡς λέγεις,
πόρνης, ἑταίρας δ' εἰς ἔρωτα τυγχάνεις

1 Mendosus vulgo locus. 2 Rectius fortasse alibi Ὑδρίᾳ.
3 αἱ γὰρ malebam. 4 λέγουσα vulgo, absque ἀεί.

gustabat, instar virginis Milesiae.

Antiphanes, in Hydrâ: [*sive*, in Hydriâ:]

— *Is, quem coepi dicere,*
habitantem eodem mulierem viciniae
simulatque aspexit, venit in amorem illico.
Civis erat, proximitatis tutelaeque egens,
sed mores aureos ad virtutem possidens,
amica vere. Nam pleraeque mulieres
honestum infamant nomen foedis moribus.

Anaxilas, Neottide:

A. *Si qua modestis semper utens sermonibus,*
gratam indigentibus quoque operam praestitit:
amice quod sic ageret, eo Amicae sibi
accepit nomen. Et tu, quantum praedicas,
nunc incidisti in amicae, non meretriculae,

ἐληλυθώς· ἆρ' ὡς ἀληθῶς ἐστι γοῦν
ἁπλῆ τις; Β. Ἀστεῖα μὲν οὖν, νὴ τὸν Δία.

Ὁ δὲ ὑμέτερος [1] φιλοσοφομειρακίσκος [2] τοιοῦτος, οἷον Ἄλεξις ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει· XXX. Catamiti.

c Διὰ ταῦθ' ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων
ἑκάστοτ' ἐπιδειπνεῖ μεθ' ἡμῶν· τοῦτο δ' ἦν,
ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

Καλῶς δὲ περὶ τῶν τοιούτων Ἔφιππος ἐν Σαπφοῖ φησίν·

— Ὅταν γὰρ ὢν νέος [3]
ἀλλότριον ἐσελθὼν [4] ὄψον ἐσθίειν μάθῃ,
ἀσύμβολόν τε χεῖρα προσβάλῃ βορᾷ,
διδόναι νόμιζ' αὐτὸν σὺ [5] τῆς νυκτὸς λόγον.

Τὰ αὐτὰ εἴρηκε καὶ Αἰσχίνης ὁ ῥήτωρ ἐν τῷ κατὰ Τιμάρχου.

1 ἡμέτερος edd. 2 σοφὸς φιλομειρακίσκος corr. viri docti. 3 νέος ὢν edd. & ὢν initio vers. sq. ponunt. 4 εἰσελθὼν vulgo. ἐλθὼν Grot. 5 αὐτόν σοι vulgo.

amorem. Est-ne ergo vere aperta & fraudium
expers? B. *Venusta certe est: ita me Di iuvent!*

30. Vester vero adolescentulus-philosophus talis est, qualem Alexis sive Antiphanes in fabulâ Somno inducit:

Eapropter catamitus hic nec porrum
nobiscum coenat umquam: nempe hoc est,
ne amatorem quidquam offendat osculans.

De quo genere scite etiam Ephippus in fabulâ Sappho dixit:

— *Cum quis in florente aetatulâ*
alienum ingressus didicit edere obsonium,
& admovere dapibus immunem manum;
hunc arbitrare noctem hospiti condicere.

Eadem Aeschines quoque orator dixit in Oratione contra Timarchum.

XXXI. Περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι d
τάδε φησίν·

Hetaeridea, festus dies.

Οὐκ ἐτὸς Ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Οἶδα δὲ καὶ ἑορτὴν τὴν Ἑταιρίδεια, [1] ἀγομένην ἐν Μαγνησίᾳ, οὐ διὰ τὰς ἑταίρας, ἀλλὰ δι' ἑτέραν αἰτίαν· ἧς μνημονεύει Ἡγήσανδρος ἐν Ὑπομνήμασι, γράφων ὧδε· „Τὴν τῶν Ἑταιριδείων [2] ἑορτὴν συντελοῦσι Μάγνητες. ἱστοροῦσι δέ, πρῶτον Ἰάσονα, τὸν Αἴσονος, συναγαγόντα τοὺς Ἀργοναύτας, Ἑταιρείῳ Διὶ θῦσαι, καὶ τὴν ἑορτὴν Ἑταιρίδεια προσαγορεύσαι. θύουσι δὲ καὶ οἱ Μακεδόνων βασιλεῖς τὰ Ἑταιρίδεια." e

Veneris Meretricis templum.

Πόρνης δὲ Ἀφροδίτης ἱερόν ἐστι παρὰ Ἀβυδηνοῖς, ὡς φησι Πάμφιλος· „Κατεχομένης γὰρ τῆς πόλεως δουλείᾳ, τοὺς φρουροὺς τοὺς ἐν αὐτῇ ποτε θύ-

1 Ἑταιρείδια ms. *Ep.* rectius fortasse. 2 ἑταιρίδων h. l. ed. Ven. & Bas. cum ms. *A.* Ἑταιριδίων ed. Cas. 1. & 2.

31. De *hetaeris* vero etiam Philetaerus in Venatrice haec ait:

Non frustra Amicae (Ἑταίρας) *templum passim cernimus; at templum Uxoris nusquam in totâ Graeciâ est.*

Memini vero etiam festos quosdam dies celebrari Magnesiae, quos *Hetaeridea* (sive *Hetaeridia*) vocant, non ab hetaeris meretricibus, sed aliam ob caussam; quam exponit Hegesander in Commentariis, ita scribens: »*Hetaeridia* festa celebrant Magnetes. Narrant autem, primum Iasonem, Aesonis filium, collectis Argonautis, *Iovi Hetaereo* (id est, *Sodalitio*, vel *Amicitiae praesidi*) sacra feciisse, illumque festum diem *Hetaeridia* nominasse. Celebrant vero etiam Macedoniae reges Hetaeridia.« *Meretricis* vero *Veneris* templum est apud Abydenos, ut Pamphilus ait. »Cum enim servitute, inquit, premeretur Abydus, custodes urbis aliquando (ut narrat Clean-

σαντας, [1] ὡς ἱστορεῖ Κλεάνθης ἐν τοῖς Μυθικοῖς, καὶ μεθυσθέντας, ἑταίρας πλείονας προσλαβεῖν· ὧν μίαν, κατακοιμηθέντας αὐτοὺς ἰδοῦσαν, ἀνελομένην τὰς κλεῖς, καὶ τὸ τεῖχος ὑπερβᾶσαν, ἀπαγγεῖλαι τοῖς Ἀβυδη-
f νοῖς. τοὺς δ' αὐτίκα μεθ' ὅπλων ἀφικομένους, ἀνελεῖν μὲν τοὺς φύλακας, κρατήσαντας δὲ τῶν τειχῶν, καὶ γενομένους ἐγκρατεῖς τῆς ἐλευθερίας, χαριστήρια τῇ πόρνῃ ἀποδιδόντας, Ἀφροδίτης Πόρνης ναὸν ἱδρύσασθαι." Ἄλεξις δ' ὁ Σάμιος, ἐν δευτέρῳ Ὡρων [2] Σαμιακῶν· „Τὴν ἐν Σάμῳ Ἀφροδίτην, ἣν οἱ μὲν ἐν Καλάμοις καλοῦσιν, οἱ δὲ ἐν Ἕλει, Ἀττικαὶ [3] (φησὶν) ἑταῖραι ἱδρύσαντο αἱ συνακολουθήσασαι Περικλεῖ, ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς
a ὥρας." Εὐάλκης δὲ ἐν τοῖς Ἐφεσιακοῖς, καὶ ἐν Ἐφέσῳ, φησὶν, ἱερὰ [4] ἱδρύσθαι [5] ἑταίρᾳ Ἀφροδίτῃ. Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν· „Γύγης, φησὶν, ὁ Λυ-

1 θύσαντες vulgo. 2 Ὅρων vulgo. 3 οἱ δὲ ἐν Ἐλειατικαῖς edd.
4 ἱερὸν ms. *Ep.* 5 ἱδρύσασθαι edd.

thes in Mythicis) peracto sacrificio vino madidos, meretrices complures adsciviſſe. Earum unam, somno sopitos conspicatam, raptis clavibus murum transscendiſſe, & Abydenis rem renunciaſſe. Illos igitur protinus adveniſſe armatos, & occisis custodibus muro potitos, restaurata patriae libertate, gratias ut meretrici redderent, *Veneri Meretrici* templum statuiſſe. « Alexis vero Samius, libro secundo Annalium Samiacorum, haec scribit: » *Venerem* quae Sami consecrata est, quam alii *in Arundinibus*, alii *in Palude* vocant, dedicarunt meretrices Atticae, quae Periclem secutae, cum Samum oppugnaret, ingentem ex prostitutâ formâ quaestum fecerant. « Eualces vero in Ephesiacis ait, Ephesi quoque templa dedicata [*sive*, templum dedicatum] esse *Hetaerae Aphroditae*. Clearchus primo libro Eroticorum haec scribit: » *Gy-*

Gyges amasiae monumentum erigit.

δῶν βασιλεὺς, οὐ μόνον περὶ ζῶσαν τὴν ἐρωμένην περιβόητος [1] γέγονεν, ἐγχειρίσας [2] αὐτόν τε καὶ τὴν ἀρχὴν ἐκείνῃ πᾶσαν· ἀλλὰ καὶ τελευτησάσης, συναγαγὼν τοὺς ἐκ τῆς χώρας Λυδοὺς πάντας, ἔχωσε μὲν Λυδίας [3] τὸ νῦν ἔτι καλούμενον τῆς ἑταίρας μνῆμα, εἰς ὕψος ἄρας, ὥστε περιοδεύοντος αὐτοῦ τὴν ἐντὸς τοῦ Τμώλου χώραν, οὗ ἂν ἐπιστραφεὶς τύχοι, καθορᾶν b τὸ μνῆμα, καὶ πᾶσι τοῖς τὴν Λυδίαν οἰκοῦσιν ἄποπτον [4] εἶναι." Δημοσθένης δ' ὁ ῥήτωρ, ἐν τῷ κατὰ Νεαίρας λόγῳ, εἰ γνήσιος, ὃν Ἀπολλόδωρος εἴρηκε, φησί· „Τὰς μὲν ἑταίρας ἡδονῆς ἕνεκα ἔχομεν, τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν παλλακείας, [5] τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως, καὶ τῶν ἔνδον φύλακα πιστὴν ἔχειν."

Meretrix: concubina: uxor.

XXXII. Καταλέξω δέ σοι, Κύνουλκε, Ἰωνικήν τινα ῥῆσιν,

1 Suspectum vocab. ni interciderunt nonnulla. 2 ἐγχειρήσας edd. 3 Ignorat *Epit.* duas voces μὲν Λυδίας, sub quibus fortasse unum nomen proprium latet. 4 ἔποπτον edd. 5 θεραπείας τοῦ σάματος apud Demosth.

ges, Lydorum rex, non modo dum viveret amasia, miro illius amore tenebatur, cui & sese & universum regnum tradiderat: sed & cum e vivis illa discessisset, congregatis omnibus Lydiae incolis tumulum ei exstruxit, qui ad hunc diem *Hetaerae Lydiae monumentum* appellatur, eâ altitudine, ut, quemcumque tractum terrae intra Tmolum peragraret, quocumque se verteret, monumentum illud in oculis haberet, essetque illud in conspectu omnium Lydiam incolentium.« *Demosthenes* vero orator, in Oratione contra Neaeram, si germana est, quam Apollodorus dixit, ait: *Hetaeras* (Meretrices) *habemus, voluptatis caussâ: pellices vero, quotidiani concubinatus: uxores, procreandorum legitimorum liberorum caussâ, & quae fideli custodiâ rem domesticam tueantur.*

32. Commemorabo vero tibi, Cynulce, Ionicum quem-

ἐκτείνας κατὰ τὸν Αἰσχύλον, [1] περὶ ἑταιρῶν· ἀρξάμε- Corinthiae
c νος ἀπὸ τῆς καλῆς Κορίνθου, ἐπειδή μοι τὴν αὐτόθι σο- meretrices
φιστείαν ὠνείδισας. Νόμιμόν ἐστιν ἀρχαῖον ἐν Κορίν- sacris adhi-
ϑῳ, ὡς καὶ Χαμαιλέων ὁ Ἡρακλεώτης ἱστορεῖ ἐν τῷ bentur.
Περὶ Πινδάρου, ὅταν ἡ πόλις εὔχηται περὶ μεγάλων
τῇ Ἀφροδίτῃ, συμπαραλαμβάνεσθαι πρὸς τὴν ἱκε-
τείαν τὰς ἑταίρας ὡς πλείστας, καὶ ταύτας προσεύ-
χεσθαι τῇ ϑεῷ, καὶ ὕστερον ἐπὶ τοῖς ἱεροῖς παρεῖναι.
Καὶ ὅτε δὴ [2] ἐπὶ τὴν Ἑλλάδα τὴν στρατείαν ἦγεν ὁ
Πέρσης, ὡς καὶ Θεόπομπος ἱστορεῖ, καὶ Τίμαιος ἐν
d τῇ ἑβδόμῃ, αἱ Κορίνθιαι ἑταῖραι εὔξαντο [3] ὑπὲρ τῆς
τῶν Ἑλλήνων σωτηρίας, εἰς τὸν τῆς Ἀφροδίτης ἐλθοῦ-
σαι νεών. διὸ καὶ Σιμωνίδης, ἀναθέντων τῶν Κορινθίων Simonidis
πίνακα τῇ ϑεῷ, τὸν ἔτι καὶ νῦν διαμένοντα, καὶ τὰς epigramma.
ἑταίρας ἰδίᾳ γραψάντων τὰς τότε ποιησαμένας τὴν

1 Αἰσχύλου vulgo: quod si verum est, excidit nomen. 2 Abest δὴ edd. 3 κὔξαντο edd.

dam sermonem, *in longum admodum extendens*, ut ait Aeschylus, de Meretricibus: initiumque capiam a pulcra Corintho, quoniam mihi exprobrasti quod literas ibi docuerim. Vetus institutum est Corinthi, (ut Chamaeleon docet in libro de Pindaro) ut, si quando de re quadam maioris momenti Veneri supplicat civitas, meretrices etiam quam plurimae ad illam supplicationem adhibeantur, utque hae simul Deam precentur & vota faciant, ac deinde sacris etiam intersint. Itaque etiam quo tempore Graeciam cum exercitu invasit Persa, ut & Theopompus narrat, & Timaeus septimo libro, Corinthiae meretrices pro salute Graecorum vota fecerunt, in Veneris templum convenientes. Quare etiam Simonides, cum tabulam Deae dedicassent Corinthiae, quae etiam nunc supereſt, in qua sigillatim etiam pictae sunt meretrices, quae tunc in supplicationis partem vene-

ἱκετείαν, καὶ ὕστερον παρούσας, συνέθηκε τόδε τὸ ἐπίγραμμα·

Αἵδ' ὑπὲρ Ἑλλάνων [1] τε καὶ εὐθυμάχων [2] πολιητᾶν
ἔσταθεν εὔχεσθαι Κύπριδι δαιμονίᾳ.
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο [3] δῖ' Ἀφροδίτα e
Πέρσαις [4] Ἑλλάνων ἀκρόπολιν προδόμεν.

Καὶ οἱ ἰδιῶται δὲ κατεύχονται τῇ θεῷ, τελεσθέντων περὶ ὧν ἂν ποιῶνται τὴν δέησιν, ἀπάξειν αὐτῇ τακτὰς ἑταίρας. [5]

XXXIII. Pindari Oda & Scolion.

Ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν, Ξενοφῶν ὁ Κορίνθιος, ἐξιὼν εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα, καὶ αὐτὸς ἀπάξειν [6] ἑταίρας εὔξατο τῇ θεῷ νικήσας. Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς f αὐτὸν ἐγκώμιον, οὗ ἡ ἀρχή·

1 Ἑλλήνων vulgo h. l. 2 ἰθυμάχων apud Plut. 3 ἐμήδετο apud eundem. 4 Rectius alii Μήδοις. 5 καὶ τὰς ἑταίρας ms. *A.* καὶ ταῖς ἑταίραις ms. *Epit.* τακτὰς vero ignorat uterque. 6 ἀπάξειν v'. ἑταίρας coniectabam.

rant, & deinde ſacris interfuerant, hocce Epigramma compoſuit:

Hae pro Graecis fortibusque civibus
ſteterant, Divam precantes Cyprin.
Nec enim ſagittariis alma Aphrodite voluit
Perſis Graecorum arcem prodere.

Sed & privati ſubinde vovent Deae, ſi voti compotes fuerint facti, certum aliquem meretricum numerum ei adducturos.

33. Tale igitur inſtitutum quum reſpectu illius Deae obtineret, Xenophon etiam Corinthius, quum Olympiam ad certamen proficiſceretur, votum fecit, ſi victoriam eſſet reportaturus, ſe [quinquaginta] meretrices Deae oblaturum. In quem Pindarus primum quidem ſcripſit encomium, quod ab illis verbis incipit,

„Τρισολυμπιονίκαν ἐπαινέων οἶκον."
ὕστερον δὲ καὶ σκολιὸν, τὸ παρὰ τὴν θυσίαν ᾄσθέν· ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ ΞενοΦῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν. διόπερ ἔφη·

Ὦ Κύπρου δέσποινα,
τεὸν δεῦτε ἐς ἄλσος
a Φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον
ΞενοΦῶν τελείαις ἐπήγαγ' εὐχωλαῖς ἰανθείς.

ἤρξατο δ' οὕτως τοῦ μέλους· [1]

Πολύξειναι [2] νεάνιδες, ἀμΦίπολοι
Πειθοῦς [3] ἐν ἀΦνειῷ Κορίνθῳ,
διά τε τὰς χεῖρας [4] λιβάνου ξανθὰ δάκρυά τε
ἡμῖν πολλάκις ματέρας [5] ἐρώτων
οὐρανίαν ἱπτάμεναι νοήματι, [6]

1 τέλους vulgo. 2 Πολύξενοι ſcribit Schneid. 3 πείθους vulgo. 4 Corrupti loci nulla nobis occurrebat medicina. 5 ἐς ματέρα ſuſpicabar. 6 Rectius fuerit νοάματι.

Ter-Olympiae-victricem laudans domum:

deinde vero etiam *ſcolion* carmen compoſuit, quod in ſacrificii feſtivitate decantatum eſt: in cuius exordio ſtatim compellavit meretrices, quae cum rediiſſet Xenophon, ſacrificio illius Veneri oblato interfuerunt. Itaque ait:

O Cypri domina,
tuum, agite, in lucum
alumnarum puellarum gregem centipedem
Xenophon adduxit, completis votis laetus.

Carminis autem hoc fecerat initium:

Hoſpitales iuvenculae, comites
Suadelae, in opulenta Corintho;
cum flavis thuris lacrymis
ſaepe ad matrem amorum
coeleſtem volantes animo,

ποττὰν Ἀφροδίταν ὑμῖν [1] ἄνωθεν ἀπαγορίας
ἔπορεν, [2] ὦ παῖδες,
ἐρατεινᾶις εὐναῖς μαλθακώρας [3]
ἀπὸ καρπὸν δρέπεσθαι,
σὺν δὲ ἀνάγκᾳ [4] πάγκαλον.

Ἀρξάμενος δ' οὕτως, ἐξῆς φησίν·

Ἀλλὰ θαυμάζω τί με λεξοῦντι [5] b
ὁμοῦ δεσπόται, τοιάνδε [6]
μελίφρονος ἀρχὰν εὑράμενον σκολιοῦ,
ξυνάορον ξυναῖς γυναιξί.

δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας διαλεγόμενος, ἠγωνία ποῖόν τι φανήσεται τοῖς Κορινθίοις τὸ πρᾶγμα. πιστεύων δέ, ὡς ἔοικεν, αὐτὸς αὑτῷ, πεποίηκεν εὐθέως·

Ἐδιδάξαμεν χρυσὸν κιθάρᾳ [7] βασάνῳ.

1 ἡμῖν vel ἀμῖν coniectabam, & dein παραγορίας. 2 Forſ. ἐπόρετ', ὦ παῖδες. 3 μαλθακωτέρας ed. Caſ. 2. & 3. μαλθακὸν ὥρας coniectabam cum Schneid. 4 ἀνάγκαι edd. 5 λέξαντι edd. 6 τοιόνδε vulgo. 7 καθαρᾷ corrigunt viri docti.

ad Aphroditen, nobis deſuper ſolamenta
adfertis, o puellae,
amabilibus in lectis mollem pulcritudinis
fructum decerpere,
tam neceſſarium, quam pulcerrimum.

Poſtquam vero ſic coepit, deinde ait:

At miror, de me quid ſimul dicturi
ſint domini, tale cum invenerim
melliflui carminis exordium,
publicarum mulierum ſodalis.

Perſpicuum eſt, poëtam, cum meretrices compellare coepiſſet, veritum eſſe quid ea de re ſenſuri eſſent Corinthii. Verumtamen ſibi, ut videtur, ipſe confiſus, ſtatim hunc verſum ſubiicit:

Docuimus aurum citharâ probatum.

Ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι αἱ ἑταῖραι, Ἄλεξις ἐν Φιλούσῃ φησίν·

Ἀφροδίσι᾽ ἦγε ταῖς ἑταίραις ἡ πόλις,
ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις.
Ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἐστὶν νόμος τε τὰς ἑταίρας ἐνθάδε
μεθ᾽ ἡμῶν.

XXXIV. Famosa meretrix Spartana.

Ἐν δὲ Λακεδαίμονι, ὡς φησι Πολέμων ὁ Περιηγητὴς ἐν τῷ Περὶ τῶν ἐν Λακεδαίμονι Ἀναθημάτων, εἰκών ἐστι τῆς διαβοήτου ἑταίρας Κοττίνας, ἣν φησι καὶ βοῦν ἀναθεῖναι χαλκῆν, γράφων οὕτως· „Καὶ τὸ Κοττίνας δὲ τῆς ἑταίρας εἰκόνιον, ἧς διὰ τὴν ἐπιφάνειαν οἴκημά τι λέγεται καὶ νῦν, ἐγγυτάτω τῆς Κολώνης ἵνα τὸ Διονύσιόν ἐστιν, ἐπιφανὲς καὶ πολλοῖς ἐγνωσμένον τῶν ἐν τῇ πόλει. ἀνάθημα δ᾽ αὐτῆς ἐστιν

Propria vero etiam Aphrodisia Corinthi celebrasse meretrices, docet Alexis, in Amante-foeminâ, ubi ait:

Aphrodisia tunc meretricibus celebrabat civitas:
diversum id festum est ab eo quod agunt ingenuae.
Per illos autem dies mos & ius est,
ut comissentur meretrices hîc
nobiscum.

34. Lacedaemone vero, ut ait Polemo Periegetes in libro de Donariis quae Lacedaemone conspiciuntur, imago est famosae meretricis *Cottinae*, a qua etiam bovem aeneam dedicatam esse ait. Verba Polemonis haec sunt: »Atque etiam Cottinae meretricis imaguncula; cuius ob celebritatem ad hunc usque diem ganea quaedam ab eâdem nomen habet, proxima Colonae ubi Bacchi templum est, insignis illa & multis Spartam incolentibus satis cognita. Est autem donarium illius super Chal-

ὑπὲρ τὸ τῆς Χαλκιοίκου, βοΐδιόν τι χαλκοῦν, καὶ [1] τὸ
Alcibiades. προειρημένον εἰκόνιον. " Ἀλκιβιάδης δ' ὁ καλὸς, ἐφ'
οὗ τις τῶν κωμικῶν ἔφη,

Ἀλκιβιάδην τὸν ἁβρὸν, [2] ὦ γῆ καὶ θεοὶ,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν·

ὑπὸ τῆς Ἄγιδος ἀγαπώμενος γυναικὸς, ἐπὶ τὰς τῶν
ἑταιρίδων θύρας ἐκώμαζεν, ἀπολιπὼν τὰς Λακαίνας
καὶ τὰς Ἀττικάς. Μεδοντίδος [3] γοῦν τῆς Ἀβυδηνῆς ἐξ
ἀκοῆς ἐρασθεὶς ἔστερξε, καὶ πλεύσας εἰς Ἑλλήσποντον σὺν Ἀξιόχῳ, ὃς ἦν αὐτοῦ τῆς ὥρας ἐραστὴς, ὡς
φησι Λυσίας ὁ ῥήτωρ ἐν τῷ κατ' αὐτοῦ λόγῳ, καὶ
ταύτης ἐκοινώνησεν αὐτῷ. καὶ ἑτέρας δὲ δύο ἑταίρας
ἐπήγετο ἀεὶ ὁ Ἀλκιβιάδης, Δαμασάνδραν τῆς Λαΐδος τῆς νεωτέρας μητέρα, καὶ Θεοδότην· ὑφ' ἧς καὶ
ἀποθανὼν ἐκηδεύθη ἐν Μελίσσῃ κώμῃ τῆς Φρυγίας,
ἐπιβουλευθεὶς ὑπὸ Φαρναβάζου. εἴδομεν δὲ καὶ ἡμεῖς f

1 Deeſt καὶ edd. 2 καλὸν edd. 3 Forſ. Μεδοντιάδος.

cioecae Minervae, bucula aurea, & praedicta imaguncula. « Pulcer vero *Alcibiades*, in quem Comicorum aliquis dixit,

Alcibiadem delicatum illum, proh Tellus & Dii,
quem moechum Sparta deprehendere cupit:

ab Agidis uxore amatus, ad meretricum fores comiſſatum abiit, relictis & Lacaenis & Atticis mulieribus. Medontidis quidem [*ſive*, Medontiadis] Abydenae amore de auditu captus, charam eam habuit: & in Hellespontum profectus cum Axiocho, qui pulcritudinis ipſius amator erat, ut ait Lyſias in Oratione adverſus eum habitâ, huius etiam illum participem fecit. Sed & alias duas meretrices conſtanter ſecum duxit Alcibiades, Damaſandram, iunioris Laidis matrem, & Theodotam; a qua etiam poſt mortem ſepultus eſt Meliſſae, Phrygiae vico, inſidiis Pharnabazi oppreſſus. Et vidimus nos mo-

τὸ ἐν Μελίσσῃ τοῦ Ἀλκιβιάδου μνῆμα, ἐκ Συνάδων [1] εἰς Μητρόπολιν ἀφικνούμενοι· ἐν ᾧ κατ' ἔτος θύεται βοῦς, διακελευσαμένου τοῦτο τοῦ πάντα ἀρίστου Ἀδριανοῦ βασιλέως· ὃς καὶ ἀνέστησεν ἐπὶ τῷ μνήματι Παρίου λίθου εἰκόνα τὸν Ἀλκιβιάδην.

XXXV. Zariadres & Odatis ſeſe amant ex ſpecie per ſomnum oblata.

a Οὐ χρὴ δὲ θαυμάζειν εἰ ἐξ ἀκοῆς τινες ἐράσθησάν τινων, ὁπότε Χάρης ὁ Μιτυληναῖος ἐν τῷ δεκάτῳ τῶν Ἱστοριῶν τῶν περὶ Ἀλέξανδρον [2] φησὶν, ὀνείρατι θεασαμένους τινὰς οὓς μὴ πρότερον εἶδον, ἐρασθῆναι αὐτῶν· γράφει δὲ οὕτως· „Ὑστάσπῃ νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης, [ἄμφω καλοί·] [3] περὶ ὧν λέγουσιν οἱ ἐπιχώριοι, ὅτι ἐξ Ἀφροδίτης καὶ Ἀδώνιδος ἐγεννήθησαν. ἐκυρίευσε δὲ ὁ μὲν Ὑστάσπης Μηδίας, καὶ τῆς ὑποκάτω χώρας· ὁ δὲ Ζαριάδρης τῶν ὑπεράνω Κα-

1 Rectius fuerit Συννάδων. 2 περὶ Ἀλεξάνδρου ed. Caſ. 3 Ignorat duas voces ms. *A*.

numentum Alcibiadi Meliſſae poſitum, cum Synadis Metropolin proficiſceremur; ad quod monumentum quotannis bos ſacrificatur, iuſſu optimi Imperatoris Hadriani, qui etiam ſuper ipſo tumulo ſtatuam Alcibiadis e Pario marmore poni iuſſit.

35. Nec vero mirari oportet ſi qui de auditu in amorem quarumdam inciderunt; quandoquidem Chares Mitylenaeus decimo libro Hiſtoriarum de Rebus Alexandri narrat, fuiſſe etiam qui in amorem inciderint eorum quos nonniſi per ſomnum vidiſſent, numquam autem oculis conſpectos. Scribit autem ita: »Hyſtaſpi frater erat natu minor *Zariadres:* ambo formoſi erant, quos perhibent indigenae ex Venere & Adonide natos eſſe. Dominus autem erat Hyſtaſpes Mediae & ſubiectae regionis; Zariadres vero eorum tractuum qui ſunt ſupra Caſpias Portas [*ſive*, tractuum Caſpiis Portis ſub-

„σπίων [1] πυλῶν μέχρι τοῦ Ταναΐδος. Τῶν δὲ ἐπεκείνα b
τοῦ Ταναΐδος Ὁμάρτῃ βασιλεῖ Μαραθῶν [2] θυγάτηρ ἦν, ὄνομα Ὀδάτις· περὶ ἧς ἐν ταῖς ἱστορίαις γέγραπται, ὡς ἄρα [3] κατὰ τὸν ὕπνον ἰδοῦσα τὸν Ζαριάδρην ἐρασθείη, τὸ δ' αὐτὸ τοῦτο κἀκείνῳ πάθος συμπεσεῖν πρὸς αὐτήν. διετέλουν γοῦν ἀλλήλων ἐπιθυμοῦντες διὰ τὴν κατὰ τὸν ὕπνον φαντασίαν. ἦν δὲ ἡ Ὀδάτις καλλίστη τῶν κατὰ τὴν Ἀσίαν γυναικῶν, καὶ ὁ Ζαριάδρης δὲ ἦν καλός. Πέμποντος οὖν τοῦ Ζαριάδρου πρὸς τὸν Ὁμάρτην, καὶ φιλοτιμουμένου γῆμαι τὴν c
ἄνθρωπον, οὐ συνετίθετο ὁ Ὁμάρτης, διὰ τὸ εἶναι ἀῤῥένων παίδων ἔρημος· ἤθελε γὰρ αὐτὴν δοῦναι ἑνὶ τῶν περὶ αὐτὸν οἰκείων. Καὶ μετ' οὐ πολὺν χρόνον ὁ Ὁμάρτης συναγαγὼν τοὺς ἐκ τῆς βασιλείας δυνάστας καὶ φίλους καὶ συγγενεῖς, ἐποιεῖτο τοὺς γάμους, οὐ προειπὼν ὅτῳ μέλλοι διδόναι τὴν θυγατέρα. ἀκμαζούσης

1 τῶν ὑποχάτω Καση. ms. *Ep.* 2 Μαιωτῶν aut Σαρματῶν coni. Holſt. 3 ὡς καὶ ἄρα edd.

»iectorum] usque ad Tanaim. Fuit autem Marathorum regi Omartae trans Tanaim filia, nomine *Odatis:* de qua ſcriptum eſt in Hiſtoriis, ex oblata ipſi per ſomnum ſpecie *Zariadris*, amore illius fuiſſe captam, atque idem prorſus accidiſſe Zariadri reſpectu Odatis. Ex illa igitur ſpecie per ſomnum oblata mutuo deſiderio ambo conſtanter ducebantur. Erat autem *Odatis* pulcerrima omnium Aſiae foeminarum: & *Zariadres* quoque formoſus ſane erat. Qui cum ab Omarte per legatos impenſe operoſeque petiiſſet, ut illam ſibi daret uxorem, non conſenſit ille; quia mascula prole carens, alicui e ſuis familiaribus aut cognatis collocatam illam cupiebat. Igitur haud multo poſt convocatis ex omni regno ſuo dynaſtis & amicis & cognatis, convivium nuptiale inſtituit, non praedicens cui eam vellet in matrimonium collocare.

„οὖν τῆς μέθης, εἰσκαλέσας τὴν Ὀδάτιν ὁ πατὴρ εἰς τὸ συμπόσιον, εἶπεν ἀκουόντων τῶν συνδείπνων· „Ἡμεῖς, ὦ θύγατερ Ὀδάτι, [1] νῦν ποιούμεθα τοὺς σοὺς γάμους. d περιβλέψασα οὖν καὶ θεωρήσασα πάντας, λαβοῦσα χρυσῆν φιάλην καὶ πληρώσασα δὸς ᾧ θέλεις γαμηθῆναι· τούτου γὰρ κεκλήσῃ γυνή.“ Κἀκείνη περιβλέψασα πάντας, ἀπῆει δακρύουσα, ποθοῦσα τὸν Ζαριάδρην ἰδεῖν· ἐπεστάλκει γὰρ αὐτῷ, ὅτι μέλλουσιν οἱ γάμοι συντελεῖσθαι. Ὁ δὲ, στρατοπεδεύων ἐπὶ τοῦ Τανάϊδος, καὶ διαλαθὼν τὴν στρατοπεδείαν διέβη μετὰ μόνου τοῦ ἁρματηλάτου, καὶ νυκτὸς ὁρμήσας ἐπὶ τοῦ ἅρματος διῆλθε διὰ τῆς πόλεως, διώξας περὶ τοὺς e ὀκτακοσίους σταδίους. πλησίον δὲ τῆς κώμης γενόμενος ἐν ᾗ τοὺς γάμους συνετέλουν, καὶ καταλιπὼν ἔν τινι τόπῳ αὐτῷ ἅρματι τὸν ἁρματηλάτην, προῆγεν ἐνδεδυκὼς στολὴν Σκυθικήν. καὶ παρελθὼν εἰς τὴν αὐλὴν, καὶ ἰδὼν τὴν Ὀδάτιν ἑστηκυῖαν πρὸ τοῦ κυλι-

1 Ὀδάτις edd.

»Dein quum ferverent pocula, *Odatin* in coenaculum vocatam coram convivis omnibus ſic adlocutus eſt: *Nos, o filia Odati, tuas nunc celebramus nuptias. Igitur circumſpice & intuere ſingulos, ac dein auream capiens phialam infunde vinum, & ei trade cui nubere volueris: illius enim uxor nominaberis.* Et illa, omnes circum intuita, abiit lacrymabunda, deſiderans ſcilicet Zariadren videre: nam per nuncios ipſa ei ſignificaverat, celebratum iri nuptias. Ille vero caſtra ad Tanaim metatus, clam omnibus qui in caſtris erant transiecerat flumen uno aurigâ comite, & citato itinere noctu per urbem transvectus eſt, circiter octingentis ſtadiis continuo curſu confectis. Cum vero prope vicum veniſſet in quo celebrabantur nuptiae, relicto in certo quodam loco auriga cum curru, Scythicam ſtolam indutus perrexit. Tum atrium ingreſſus, & Odatidem conſpicatus

„κείου, [1] καὶ δακρύουσαν, κιρνῶσάν τε βραδέως τὴν φιάλην, εἶπε πλησίον στὰς παρ' αὐτήν· „Ὦ Ὀδάτι, πάρειμι δή σοι, καθάπερ ἠξίωσας, ἐγὼ Ζαριάδρης." ἡ δὲ κατανοήσασα ξένον ἄνδρα καὶ καλὸν, καὶ ὅμοιον τῷ κατὰ τὸν ὕπνον ἑωραμένῳ, περιχαρὴς γενομένη, δίδωσιν αὐτῷ τὴν φιάλην· καὶ ὃς ἁρπάσας αὐτὴν ἀπή- f
γαγεν ἐπὶ τὸ ἅρμα, καὶ ἔφυγεν ἔχων τὴν Ὀδάτιν. οἱ δὲ παῖδες καὶ αἱ θεράπαιναι, συνειδυῖαι τὸν ἔρωτα, κατεσιώπησαν· καὶ κελεύοντος τοῦ πατρὸς καλεῖν, οὐκ ἔφησαν εἰδέναι ὅπου πεπόρευται. Μνημονεύεται δὲ ὁ ἔρως οὗτος παρὰ τοῖς τὴν Ἀσίαν οἰκοῦσι βαρβάροις, καὶ περισσῶς ἐστι ζηλωτὸς, καὶ τὸν μῦθον τοῦτον ζω- γραφοῦσιν ἐν τοῖς ἱεροῖς καὶ τοῖς βασιλείοις, [2] ἔτι δὲ ταῖς ἰδιωτικαῖς οἰκίαις· καὶ ταῖς ἑαυτῶν θυγατράσιν οἱ πολλοὶ τῶν δυναστῶν ὄνομα τίθενται Ὀδάτιν."

XXXVI. Τὸ ὅμοιον ἱστορεῖ γενέσθαι καὶ Ἀριστοτέλης ἐν τῇ a

1 κυλικίου ms. *A*. 2 καὶ βασιλείοις edd.

»ante abacum ſtantem lacrymabundam & cunctanter miſcentem pateram, prope illam conſiſtens dixit: *Odati! en tibi adſum, quemadmodum mandaſti, ego Zariadres.* Illa vero conſpecto viro peregrino & formoſo, ei ſimili quem per ſomnum viderat, gaudio elata, pateram ei tradit: & ille raptam *Odatin* ad currum abduxit, & cum ea aufugit. Famuli vero & ancillae, amoris conſciae, conticuere: & iubente patre vocari filiam, aiebant *neſcire ſe quorſum iviſſet.* Celebratur igitur iſte mutuus amor apud barbaros Aſiam incolentes, & ſingulariter mirantur eum omnes, & fabulam hanc pictam exhibent in templis, in regiis, & privatorum in aedibus: atque etiam plerique dynaſtae uni e filiabus ſuis nomen imponere conſueverunt *Odatin.* «

36. Similem hiſtoriam narrat Ariſtoteles in Maſſilien-

Μασσαλιωτῶν Πολιτείᾳ, γράφων οὕτως· „Φωκαεῖς οἱ ἐν Ἰωνίᾳ, ἐμπορίᾳ [1] χρώμενοι, ἔκτισαν Μασσαλίαν. Εὔξενος δ' ὁ Φωκαεὺς Νάνῳ [2] τῷ βασιλεῖ, τοῦτο δ' ἦν αὐτῷ ὄνομα, ἦν ξένος. οὗτος ὁ Νάνος ἐπιτελῶν γάμους τῆς θυγατρὸς, κατὰ τύχην παραγενόμενον τὸν Εὔξεναν παρεκάλεσεν ἐπὶ τὴν θοίνην. Ὁ δὲ γάμος ἐγίγνετο [3] τόνδε τὸν τρόπον. ἔδει μετὰ τὸ δεῖπνον εἰσελθοῦσαν τὴν παῖδα, [4] φιάλην κεκερασμένην [5] ᾧ b βούλοιτο δοῦναι τῶν παρόντων μνηστήρων· ᾧ δὲ δοίη, τοῦτον εἶναι νυμφίον. [6] ἡ δὲ παῖς εἰσελθοῦσα δίδωσιν, εἴτε ἀπὸ τύχης, εἴτε καὶ δι' ἄλλην τινὰ αἰτίαν, τῷ Εὐξένῳ· ὄνομα δὲ ἦν παιδὶ Πέττα. τούτου δὲ συμπεσόντος, καὶ τοῦ πατρὸς ἀξιοῦντος (ὡς κατὰ θεὸν γενομένης τῆς δόσεως) ἔχειν αὐτὴν, ἔλαβεν ὁ Εὔξενος γυναῖκα, καὶ συνῴκει, μεταθέμενος τοὔνομα Ἀριστοξένην. καὶ ἔστι γένος ἐν Μασσαλίᾳ ἀπὸ τῆς ἀνθρώπου Massilienſes nuptiae.

1 ἐμπορεία Ms. 2 Νάννῳ ms. *Ep.* 3 ἐγίνετο edd. 4 Temere μὲν παῖδα ed. Caſ. 5 κεκραμένην edd. 6 εἶναι νῦν Ms. & caret νυμφίον.

ſium Republicâ, ita ſcribens: » Phocaeenſes Ioniae, mercaturam facientes, Maſſiliam condidere. Euxenus autem Phocaeenſis hoſpitio utebatur *Nani:* nomen id regi erat. Hic Nanus cum nuptias celebraret filiae ſuae, *Euxenum*, qui tunc forte Maſſiliam advenerat, ad epulum vocavit. Agebantur autem nuptiae tali modo. Poſt coenam oportebat virginem in coenaculum intrare, & vini pateram cui vellet ex praeſentibus procis tradere: cui autem tradidiſſet, is ſponſus erat. Ingreſſa igitur virgo, pateram ſive caſu, ſive alia de cauſſa, tradidit Euxeno: nomen virgini *Petta* erat. Ita cum accidiſſet, pater, ratus volente Deo huic pateram eſſe traditam, aequum cenſuit, ut Euxeno collocaretur filia: isque eam duxit uxorem, & mutato nomine *Ariſtoxenam* adpellavit. Et ſupereſt ad hunc diem Maſſiliae familia ab eâdem ori-

μέχρι νῦν Πρωτιάδαι καλούμενον· Πρῶτις γὰρ ἐγένετο υἱὸς Εὐξένου καὶ τῆς [1] Ἀριστοξένης."

XXXVII. Themistocles, filius meretricis.

Θεμιστοκλῆς τε,[2] ὥς φησιν Ἰδομενεύς, οὐχ ἅρμα ζευξάμενος ἑταίρων πληθούσης ἀγορᾶς εἰσήλασεν εἰς τὸ ἄστυ; ἦσαν δὲ αὗται Λαμία καὶ Σκιώνη καὶ Σατύρα καὶ Νάννιον. οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν γεγενημένος, ὄνομα Ἀβροτόνου; ὡς Ἀμφικράτης [3] ἱστορεῖ ἐν τῷ Περὶ Ἐνδόξων Ἀνδρῶν συγγράμματι. c

Ἀβρότονον Θρῇσσα γυνὴ γένος· [4] ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησιν φασὶ [5] Θεμιστοκλέα.

Νεάνθης δ' ὁ Κυζικηνός, ἐν τῇ τρίτῃ καὶ τετάρτῃ τῶν Ἑλληνικῶν Ἱστοριῶν, Εὐτέρπης αὐτὸν εἶναί φησιν υἱόν. d

Cyri iunioris concubinae.

Κῦρος δὲ ὁ ἐπὶ τὸν ἀδελφὸν ἐπιστρατεύσας, οὐχὶ ἑταίραν οὖσαν τὴν Φωκαΐδα, τὴν σοφωτάτην καὶ [6] καλ-

1 Deest artic. edd. 2 Θεμιστοκλῆς δὲ utique legendum videtur. 3 Ἀμφικτύων ms. *Ep.* 4 Rectius πέλον Anthol. 5 φημὶ Plut. & Anthol. 6 Deest καὶ Ms. & ed. Ven. & Bas.

ginem ducens, qui *Protiadae* nominantur: fuit enim Protis filius Euxeni & huius Aristoxenae. «

37. *Themistocles* vero, ut ait Idomeneus, nonne iunctis quadrigis meretricum pleno foro in urbem invectus est? Erant autem illae Lamia & Scione & Satyra & Nannium. Nonne & ipse Themistocles ex meretrice natus erat, cui nomen Abrotonum? ut tradit Amphicrates in libro de Viris Illustribus.

Abrotonum Thressa mulier genere; sed peperisse
magnum Graecis aiunt Themistoclem.

Neanthes vero Cyzicenus, tertio & quarto libro Historiarum Graecarum, Euterpes filium fuisse ait. *Cyrus* vero, is qui adversus fratrem expeditionem suscepit, nonne meretricem Phocaeensem illam, quae & sapien-

λίστην γενομένην; [1] εἶχε συστρατευομένην; ἣν Ζηνοφάνης [2] φησὶ πρότερον Μιλτὼ καλουμένην, Ἀσπασίαν μετονομασθῆναι. συνηκολούθει δὲ αὐτῷ καὶ ἡ Μιλησία παλλακίς. Ὁ δὲ μέγας Ἀλέξανδρος οὐ Θαΐδα εἶχε μεθ' ἑαυτοῦ τὴν Ἀττικὴν ἑταίραν; περὶ ἧς φησι Κλείταρχος ὡς αἰτίας γενομένης τοῦ ἐμπρησθῆναι τὰ ἐν Περσεπόλει βασίλεια. αὕτη δὲ ἡ Θαὶς καὶ μετὰ τὸν Ἀλεξάνδρου θάνατον, καὶ Πτολεμαίῳ ἐγαμήθη τῷ πρώτῳ βασιλεύσαντι Αἰγύπτου, καὶ ἐγέννησεν αὐτῷ τέκνον Λεοντίσκον καὶ Λάγον, θυγατέρα δὲ Εἰρήνην, ἣν ἔγημεν Εὔνοστος, ὁ Σόλων τῶν ἐν Κύπρῳ βασιλεύς. Καὶ ὁ δεύτερος δὲ τῆς Αἰγύπτου βασιλεὺς, Φιλάδελφος δ' ἐπίκλην, ὡς ἱστορεῖ ὁ Εὐεργέτης Πτολεμαῖος ἐν τῷ τρίτῳ τῶν Ὑπομνημάτων, πλείστας ἔσχεν ἐρωμένας· Διδύμην μὲν, μίαν τῶν ἐπιχωρίων γυναικῶν, μάλ' εὐπρεπεστάτην τὴν ὄψιν, καὶ Βιλιστίχην· ἔτι δὲ Ἀγαθόκλειαν· καὶ Στρατονίκην, ἧς

Thais, concubina Alexandri.

Ptolemaeus Philadelphus pluribus usus concubinis.

1 Forſ. λεγομένην. 2 An Ξενοφάνης? An Ξενοφῶν?

tiſſima fuit & formoſiſſima, expeditionis comitem habuit? quam Zenophanes [*ſive*, Xenophon] ait prius Milto fuiſſe nominatam, deinde vero mutato nomine Aſpaſiam. Comitataque eumdem eſt etiam Mileſia concubina. *Alexander* vero *Magnus* nonne *Thaidem* ſecum habuit, Atticam meretricem? quam Clitarchus ait auctorem regi fuiſſe incendendae regiae Perſepoleos. Eadem vero Thais, poſt mortem Alexandri, etiam Ptolemaeo nupſit, primo Aegypti regi, eique filium peperit Leontiſcum, & Lagum; itemque filiam Irenen, quam uxorem duxit Eunoſtus, Solorum rex Cypri oppidi. Iam ſecundus Aegypti rex, Philadelphus cognomine, ut tradit Ptolemaeus Evergetes tertio Commentariorum, plurimas habuit amaſias: primum Didymen, unam ex indigenis mulieribus, eximiâ formâ, tum Biliſtichen: porro vero Agathocleam,

τὸ μέγα μνημεῖον ὑπῆρχεν ἐπὶ τῇ πρὸς Ἐλευσίνι θαλάσσῃ· καὶ Μύρτιον, καὶ ἄλλας δὲ πλείστας· ἐπιῤῥεπέστερος ὢν πρὸς ἀΦροδίσια. Πολύβιος δ' ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἱστοριῶν, Κλεινοῦς, Φησὶ, τῆς οἰνοχοούσης αὐτῷ, εἰκόνας πολλὰς ἀνακεῖσθαι κατὰ τὴν Ἀλεξάνδρειαν, μονοχίτωνας καὶ ῥυτὸν ἐχούσας ἐν ταῖς χερσίν. „Αἱ δὲ κάλλισται τῶν οἰκιῶν, Φησὶν, οὐ Μυρτίου καὶ Μνησίδος καὶ Ποθεινῆς προσαγορεύονται; καίτοι Μνησὶς μὲν ἦν αὐλητρὶς καὶ Ποθεινὴ, Μύρτιον δὲ μία τῶν ἀποδεδειγμένων καὶ κοινῶν δεικτηριάδων." [1] Τοῦ δὲ Φιλοπάτορος βασιλέως Πτολεμαίου οὐκ Ἀγαθόκλεια ἡ ἑταίρα ἐκράτει; ἡ καὶ πᾶσαν ἀνα- a
τρέψασα τὴν βασιλείαν. Εὔμαχος δὲ ὁ Νεαπολίτης,
Hieronymus rex Syracuſ. ἐν τῇ δευτέρᾳ τῶν Περὶ Ἀννίβαν Ἱστοριῶν, Ἱερώνυμον, [2] Φησὶ, τὸν τυραννήσαντα Συρακουσίων, ἀγα-

1 δικτηριάδων Ms. δειχσαριάδων ed. Ven. & Baſ. 2 *Hieronem* nominat Epit.

& Stratonicen, cuius fuit ingens illud monumentum ad mare prope Eleuſin: item Myrtium, & alias plurimas: erat enim ad Venerem inprimis proclivis. Polybius vero decimo quarto libro Hiſtoriarum ait, *Cleinûs*, quae pincernae officio apud regem fungebatur, plures ſtatuas poſitas eſſe Alexandriae, ſimplici tunicâ indutas, & cornu copiae manu tenentes. »Splendidiſſimae autem domus, ait, nonne Myrtii aut Mneſidis aut Potheines nomine adpellantur? quamquam tibicina fuit Mneſis, itemque Potheina; Myrtium vero, unum ex publicis vulgatiſſimisque proſtibulis.« Ptolemaeus vero Philopator rex nonne Agathocleae paruit meretrici, quae etiam univerſum eius regnum evertit? Eumachus vero Neapolitanus, ſecundo libro Hiſtoriarum Annibalis, *Hieronymum*, ait, Syracuſanorum tyrannum, uxorem duxiſſe ex mu-

γέσθαι γυναῖκα τῶν ἐπ' οἰκήματος προεστηκυιῶν, Πειθὼ ὄνομα, καὶ ἀποδείξαι βασιλίδα.

XXXVIII. Timotheus ex meretrice natus.

Τιμόθεος δ' ὁ στρατηγήσας Ἀθηναίων ἐπιφανῶς, ἑταίρας ἦν υἱὸς, Θράττης τὸ γένος, σεμνῆς δ' ἄλλως τοὺς τρόπους. μεταβάλλουσαι γὰρ αἱ τοιαῦται εἰς τὸ σῶφρον, τῶν ἐπὶ τούτῳ σεμνυνομένων εἰσὶ βελτίους. ὁ δὲ Τιμόθεος καὶ σκωπτόμενός ποτε ὅτι τοιαύτης εἴη μητρός· „Καὶ χάριν γε αὐτῇ, φησὶν, οἶδα, ὅτι δι' αὐτὴν Κόνωνος εἰμὶ υἱός." Philetaerus, rex Pergami.

Φιλέταιρον δὲ, τὸν Περγάμου καὶ τῆς Καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας, Βόας αὐλητρίδος ἑταίρας, τὸ γένος ἀπὸ Παφλαγονίας, υἱὸν φησι γενέσθαι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν. Aristophon sua lege captus.

Ἀριστοφῶν δὲ ὁ ῥήτωρ τὸν νόμον εἰσενέγκων ἐπ' Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται, νόθον εἶναι, αὐτὸς ἀπεδείχθη ὑπὸ Καλλιά-

lieribus quae in cella meretricia proſtabant, nomine Peitho, eamque reginam renunciaſſe.

38. *Timotheus* vero, qui magna cum gloria dux exercituum fuit Athenienſium, meretricis filius erat, Threſſae genere, caeterum vero honeſtis moribus. Nam ubi ad morum modeſtiam ſe convertunt huius conditionis foeminae, meliores ſunt eis quae ſua virtute ſe efferunt. Idem Timotheus, cum aliquando irrideretur quod tali natus eſſet matre: *Immo vero*, inquit, *gratiam ei habeo, quod per eam Cononis ſum filius.* Item *Philetaerum*, Pergami & Novae huius, quae vocatur, provinciae regem, filium fuiſſe Boae meretricis & tibicinae, genere Paphlagoniae, Caryſtius ſcribit in Commentariis Hiſtoricis. *Ariſtophon* vero orator, qui legem rogaverat praetore Euclide, ut *quisquis non ex cive Attica natus eſſet, ſpurius haberetur*, ipſe convictus eſt a Calliade comico fi-

δου τοῦ κωμικοῦ ἐκ Χορηγίδος [1] τῆς ἑταίρας παιδοποιησάμενος, ὡς ὁ αὐτὸς [2] ἱστορεῖ Καρύστιος ἐν τρίτῳ Ὑπομνημάτων. Δημήτριος δ' ὁ Πολιορκητὴς οὐ δαιμονίως ἄρα Λαμίας τῆς αὐλητρίδος, ἐξ ἧς ἔσχε καὶ θυγατέρα Φίλαν; Demetrius Poliorcetes.

Τὴν δὲ Λαμίαν, Πολέμων φησὶν ἐν τῷ Περὶ τῆς ἐν Σικυῶνι Ποικίλης Στοᾶς, θυγατέρα μὲν εἶναι Κλεάνορος Ἀθηναίου, κατασκευάσαι δὲ Σικυωνίοις τὴν προκειμένην στοάν. Ἦρα δὲ καὶ Λεαίνης, καὶ αὐτῆς ἑταίρας Ἀττικῆς, ὁ Δημήτρος, καὶ ἄλλων δὲ πλειόνων. d

XXXIX. Lamiae meretricis dicta, ex Machonis Chriis.

Μάχων δὲ ὁ κωμῳδιοποιὸς ἐν ταῖς ἐπιγραφομέναις Χρείαις φησὶν οὕτως·

Ὑπερβολῇ [3] δὲ τῆς λεαίνης σχήματι
περαινομένης εὖ, παρά τε τῷ Δημητρίῳ
εὐημερούσης, φασὶ [4] καὶ τὴν Λαμίαν
τὸν βασιλέ' εὐμελῶς κελητίσαι ὑπὲρ,

1 Χορίδος ed. Ven. & Baſ. Χωρίδος ed. Caſ. & Χλωρίδος coni. Caſ. 2 ὡς αὐτὸς, absque ὁ, edd. 3 ὑπερβαλῇ edd. 4 φησὶ vulgo.

lios generaſſe ex Choregide meretrice, ut tradit idem Caryſtius tertio libro Commentariorum. *Demetrius* vero *Poliorcetes* nonne perditiſſime amavit *Lamiam* tibicinam, ex qua etiam filiam habuit Philam? Lamiam vero Polemon ait, in libro de Poecile Porticu quae Sicyone eſt, filiam fuiſſe Cleanoris Athenienſis, & aedificandam Sicyoniis curaſſe illam porticum. Amavit vero Demetrius etiam Leaenam, quae & ipſa meretrix Attica fuit, & alias item complures.

39. Machon vero comicus poëta, in *Chriis* quae inſcribuntur, haec ſcripſit:

Quum ſingularem voluptatem praeſtaret leaenae ſchemate
inita, eoque nomine apud Demetrium
valde gratioſa eſſet; aiunt Lamiam etiam
ſuavi regem modulo aliquando conſcendiſſe,

ἐπαινεθῆναί θ'. ἡ δὲ τοῦτ' ἀπεκρίθη·

„ Πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κράτει."

ἦν δὲ ἡ Λαμία σφόδρα εὔθικτος καὶ ἀστικὴ [1] πρὸς
e τὰς ἀποκρίσεις, καθάπερ καὶ Γνάθαινα περὶ ἧς ἐροῦμεν. πάλιν δὲ περὶ τῆς Λαμίας ὁ Μάχων οὕτω γράφει·

Δημήτριός ποθ' ὁ βασιλεὺς γένη μύρων
Λαμίᾳ παρὰ πότον παντοδαπῶν ἐπεδείκνυτο.
ἡ Λαμία δ' ἦν αὐλητρὶς, ἧ σφόδ' ἡδέως
ἔχειν φασὶ [2] κνισθῆναί τε [3] τὸν Δημήτριον.
ἀποδοκιμάζουσης δὲ [4] πάντα, καὶ πάνυ 5
κατεγχλιδώσης τῷ βασιλεῖ, νάρδου τινὰ
f διένευσ' ἐνεγκεῖν εὐχερῆ, [5] τῇ χειρί τε
τ' αἰδοῖ' [6] ἀποτρίψας, καὶ θιγὼν τοῖς δακτύλοις·
„ Τουτί γε Λαμία, φησὶν, ὀσφράνθητι, καὶ

1 Ἀττικὴ vulgo. 2 ἔχειν φησὶ vulgo. 3 κνησθῆναί τε Ms. 4 ἀποδοκ. τε edd. 5 Deest vox editis. κ' ἐγχέειν ſupplendum cenſuerat Caſaub. πολυτελῆ Iacobs. 6 π' αἰδοῖον vulgo.

laudatamque ab eo, hoc verbum reſpondiſſe:
» *Ad haec leaenam quoque, ſi volupe eſt, tene.* «

Erat vero dicax admodum *Lamia* & ad reſpondendum faceta, quemadmodum etiam Gnathaena, de qua deinceps dicemus. Rurſus vero de *Lamia* haec ſcribit Machon:

Demetrius rex aliquando Lamiae inter pocula unguentorum multifaria genera oſtentabat.
Tibicina autem Lamia erat, quâ ſingulariter delectatum aiunt Demetrium, amore illius urentem.
At illa cum aſpernaretur omnia, atque adeo inſolentius ſe gereret adverſus regem; nardum aliquod leve adferri ille ſigno dato iuſſit, ſuaque manu pudenda fricans, & tangens digitis:
» *Hoc ſaltem, inquit, olfacito, Lamia,*

„ εἶσει,[1] παρὰ τ' ἄλλα διαφορὰν ὅσην ἔχει." κείνη[2] δὲ γελάσασ' · „Ἀλλὰ τοῦτ', ἔφη, τάλαν, „ νόμιζε δοκεῖν[3] μοι σαπρότατον πάντων πολύ." Δημήτριος δ' εἶπ'[4] · „Ἀλλὰ μήν, νὴ τοὺς θεούς, „ ἀπὸ βαλάνου τοῦτ' ἔστι, Λάμια, βασιλικῆς."

XL. Variorum regum concubinae.

Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου, ἐν ταῖς Περὶ τὸν Φιλοπάτορα Ἱστορίαις, βασιλέων ἐρωμένας ἀναγράφων, φησίν· „Φιλίππου τοῦ Μακεδόνος αὐξήσαντος Φιλίνναν τὴν ὀρχηστρίδα, ἐξ ἧς καὶ γεννῆσαι Ἀριδαῖον[5] τὸν μετὰ Ἀλέξανδρον βασιλεύσαντα· Δημητρίου δὲ τοῦ Πολιορκητοῦ, μετὰ τὰς προειρημένας, Μανίαν· Ἀντιγόνου δὲ Δημώ, ἐξ ἧς Ἀλκυονέα γενηθῆναι· Σελεύκου δὲ τοῦ νεωτέρου Μύσταν καὶ Νύσαν." Ἡρακλείδης δὲ ὁ Λέμβος, ἐν τῇ ἕκτῃ[6] καὶ τριακοστῇ τῶν Ἱστοριῶν, Δημὼ φησὶν ἐρωμένην γενέσθαι τοῦ Δη-

a

1 εἶσῃ edd. 2 ἐκείνη ed. Ven. & Baſ. cum Ms. 3 δοκεῖ νομίζειν edd. δοκεῖ absque νομίζειν ms. *Ep.* νομίζειν δοκεῖ ms. *A.* 4 δ' εἶπεν edd. cum msstis. Δημήτριος εἶπε δ'· Ἀλλὰ Iacobs. 5 Ἀρριδαῖον h. l. mssti. 6 τρίτῃ καὶ τριακ. edd.

» *& ſenties quantum praeſtet aliis omnibus.* «
Tum illa ridens: » *At hoc, o miſer, inquit,*
» *ſcito mihi omnium videri longe putidiſſimum.* «
Cui Demetrius: » *Attamen, ait, per Deos,*
» *e glande, Lamia, regia hoc eſt.* «

40. Ptolemaeus Ageſarchi filius, in Rerum ad Philopatorem pertinentium Hiſtoria, regum amaſias recenſens, haec ſcribit: »Philippus Macedo *Philinnam* ſaltatricem in dignitatem evexit, ex qua etiam Aridaeum genuit, qui poſt Alexandrum regnavit: Demetrius vero Poliorcetes, poſt praedictas, *Maniam:* Antigonus *Demo*, e qua natus eſt Alcyoneus: Seleucus vero iunior *Myſtam* & *Nyſam.*« Heraclides vero Lembus ſexto & trigeſimo Hiſtoriarum libro ait, amaſiam fuiſſe *Demo*

b μητρίου· ἢ ἐπιμανῆναι καὶ [1] τὸν πατέρα αὐτοῦ Ἀντίγονον, καὶ ἀποκτεῖναι Ὀξύθεμιν, ὡς καὶ πολλὰ συνεξαμαρτάνοντα τῷ Δημητρίῳ, καὶ ὅτι ἀπέκτεινε τὰς τῆς Δημοῦς θεραπαίνας στρεβλῶν.

XLI. *Maniae meretrici unde nomen.*

Περὶ δὲ τοῦ εἰρημένου τῆς Μανίας ὀνόματος ὁ Μάχων τάδε φησίν·

Ἴσως δ' ἂν ἀπορήσαι τις [2] εὐλόγως θ' ἅμα,
τῶν νῦν ἀκροατῶν, εἴ τις [3] Ἀττικὴ γυνὴ
προσηγορεύετ' ἢ ἐνομίσθη Μανία.
αἰσχρὸν γὰρ, ὄνομα Φρυγικὸν γυναῖκ' ἔχειν,
c καὶ ταῦθ', ἑταίραν ἐκ μέσης τῆς Ἑλλάδος. 5
ἢ τὴν Ἀθηναίων τί κωλύσαι [4] πόλιν,
ὑφ' ἧς ἅπαντες εἰσιν ἐπηνωρθωμένοι; [5]
Τὸ μὲν οὖν ὑπάρχον εὐθέως ἐκ παιδίου
αὐτῇ, Μέλιττ' ἦν ὄνομα. τῷ μὲν μεγέθει [οὖν] [6]

1 Deeſt καὶ edd. 2 ἀπορήσῃ τις ms. *Ep.* 3 ἤ τις edd. 4 μὴ κωλύσαι ms. *Ep.* τί κολάσαι ἂν coni. Caſ. 5 ἐπηνορθωμ. ms. *A.* 6 Deeſt vulgo οὖν.

Demetrii; cuius amore inſaniſſe etiam patrem ipſius Antigonum, & Oxythemidem occidiſſe, ut qui multa cum Demetrio peccaſſet, & Demonis ancillas tormentis necaſſet.

41. De praedicto *Maniae* nomine idem Macho haec ait:

Fortaſſe dubitaverit quispiam, nec id quidem immerito, ex his qui haec nunc audient, quo pacto mulier Attica adpellata fuerit aut habita Mania.
Eſt enim turpe mulieri, Phrygium habere nomen, praeſertim quae hetaera ſit mediâ ex Graeciâ.
Aut Athenienſium civitatem quid in ordinem coëgerit, a qua alii omnes corrigi ſolent?
Nomen ergo huic a teneris impoſitum, Melitta erat. Quae quum ſaturâ quidem

τῶν τότε γυναικῶν βραχύ τι καταδεεστέρα· 10
φωνῇ δ' ὁμιλίᾳ τε κεχορηγημένη,
πάνυ δ' εὐπρόσωπος οὖσα καὶ καταπληκτικὴ,
πολλοὺς ἐραστὰς καὶ πολίτας καὶ ξένους
ἔχουσ'· ὅπου περὶ [τῆς] γυναικός τις λόγος d
γένοιτο, μανίαν τὴν Μέλιτταν ὡς καλὴν 15
ἔφασκον εἶναι. καὶ προσεξειργάζετο
αὐτῇ [1] τὸ πλεῖον. ἡνίκ' ἂν σκώψειε γάρ,
ῥημάτιον εὐθὺ τοῦτο μανίαν ἀνεβόα·
αὐτή θ' ὅτ' ἐπαινοίη τίν', ἢ ψέγοι πάλιν,
ἐπ' ἀμφοτέρων προσέκειτο μανία τῶν λόγων. 20
Διὸ τῆς μανίας ἐπίῤῥημ' [2] ἐκτείνας δοκεῖ
καλέσαι τις αὐτὴν τῶν ἐραστῶν Μανίαν·
μᾶλλόν [τε] τὸ [3] πάρεργον ἐπεκράτησ' ἢ τοὔνομα. e
Δοκεῖ δὲ λιθιᾶν, ὡς ἔοιχ', ἡ Μανία·

1 αὐτὴ forſ. 2 Forſ. ἐπίθετον. 3 μᾶλλον τὸ vulgo.

aliis ſuae aetatis mulieribus nonnihil concederet,
voce vero & ſermonis facultate eximiâ eſſet praedita,
ſuâque pulcritudine omnes percelleret,
multosque amatores cives & exteros
haberet; quoties de illa ſermo incideret,
clamabant omnes: »Inſanum, (μανία) quam pulcra
»Melitta eſt!« Plurimumque ipſa etiam
contulit. Quoties enim iocaretur,
ſtatim & ipſa vocem illam μανία (Inſanum!) iactare
ſolebat:
& ſive laudaret aliquem, ſive vituperaret,
utrique ſermoni inſanum illud (μανία) inculcabatur.
Itaque vocem μανία, ſic interiici ſolitam, producens aliquis
ex amatoribus, videtur eam ipſam Maniam adpellaſſe:
& magis obtinuit acceſſorium hoc nomen, quam id quod
proprium fuerat.
Videtur autem calculo laboraſſe, ut quidem perhibent, Mania:

Γνάθαινά τ' εἰς τὰ στρώμαθ' ὅτι προίεται,
ἐνομοθετήθη [1] τοῦτό πως ὑπὸ [2] Διφίλου.
μετὰ ταῦτα δ' ἡ Γνάθαινα πρὸς τὴν Μανίαν
ἐλοιδορεῖτο, καὶ λέγει· „Τί τοῦτο; παῖ·
„εἰ δὲ λίθον εἶχες;" ὑπολαβοῦσ' ἡ Μανία·
„Ἔδωκ' ἂν, ἵν' ἔχῃς, φῄσ', ἀποψᾶσθαι, τάλαν."

Ὅτι δ' ἦν καὶ ἀστεία τις ἀποκρίνασθαι, τάδε f περὶ αὐτῆς Μάχων ἀναγράφει· XLII. Maniae faceta dicta.

Τῆς Μανίας ἦρα Λεοντίσκος ποτὲ
ὁ παγκρατιαστής, καὶ συνεῖχ' αὐτὴν μόνος
γαμετῆς τρόπον γυναικός. ὑπὸ δ' Ἀντήνορος
μοιχευομένην αἰσθόμενος [3] αὐτὴν ὕστερον,
σφόδρ' ἠγανάκτησ'. ἡ δέ· „Μηθέν, [4] φησί, σοι,
„ψυχή, μελέτω· μαθεῖν γὰρ αἰσθέσθαί θ' ἅμα
„ὀλυμπιονικῶν νυκτὸς ἀθλητῶν δυεῖν [5]

1 ἐνομοθέτητο edd. 2 τοῦτ' ὑπὸ edd. 3 αἰσθανόμενος edd. 4 μηδὲν edd. 5 δυοῖν edd.

Gnathaenam vero ſolitam in ſtragulas ventrem exonerare, hoc veluti lege ſtatutum eſt a Diphilo. Deinde Gnathaena aliquando Maniae convicians cum diceret: » Quid hoc, puella, quid » ſi lapidem haberes? « reſpondens ait Mania: » Tibi darem, miſera, quo clunes tergeres. «

42. Fuiſſe vero etiam facetam in reſpondendo, his verſibus declarat Machon:

Maniam amabat Leontiſcus olim pancratiaſta, illamque ſolus tenuit legitimae uxoris loco. Deinde vero ut compreſſam intellexit ab Antenore, indignabatur valde. At illa: » Ne graviter, inquit, » feras, mea anima: diſcere enim experirique, » Olympiae victorum athletarum duorum

„πληγὴν, [1] τί δύναταί ποτ', ἤθελον." a

Αἰτουμένην, λέγουσι, τὴν πυγήν ποτε
ὑπὸ τοῦ βασιλέως Μανίαν Δημητρίου,
ἀνταξιῶσαι δωρεὰν καὐτόν τινα.
δόντος δ' [2] ἐπιστρέψασα μετὰ μικρὸν, λέγει·
„Ἀγαμέμνονος παῖ, νῦν ἐκεῖν' ἔξεστί σοι,
„[παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ' ἀεί."] [3]

Εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος
καὶ παρεπιδημήσας Ἀθήνησίν ποτε,
τὴν Μανίαν μετεπέμψαθ', ὅσον ἤτησε δούς.
εἰς τὸν δὲ πότον [4] ἦν συμπαρειλημμένως τινας b
ἐκ τῆς πόλεως τῶν ἐπιγελῶν εἰθισμένων
ἅπαντα τοῖς τρέφουσιν [5] αἰεὶ [6] πρὸς χάριν·
βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ' ἅμα,
τῆς Μανίας ἄριστα παιζούσης σφόδρα,

1 Forſ. πληγὴν μιᾶς, τί δὴ δύναται. 2 Deeſt δ' edd. 3 Poſtremum verſum *ignorant mssti*: nec ita male. 4 Deeſt vulgo vocab. πότον. 5 ἅπαντά τοι στρέφουσιν edd. 6 ἀεὶ edd.

» *unâ nocte ictus quid valerent, volui.* «

Maniam, narrant, cum clunes eius
aliquando popoſciſſet rex Demetrius,
viciſſim & ab illo petiiſſe praemium.
Quod ille cum dediſſet, mox converſa ait:
» *Agamemnonis fili, nunc haec licet tibi*
» *praeſentia adſpicere, quae cupiiſti iamdudum.* «

Peregrinus quidam, transfuga eſſe creditus,
Athenas forte cum veniſſet, Maniam
accivit ad ſe, quantum depopoſcerat
argenti numerans. Forte ad coenam adſumſerat
urbanos aliquot cives, quos ſcurras vocant,
ridere ſolitos in alentis gratiam.
Ibi tum venuſtum facere ſe ac lepidum volens,
cum Mania, ut erat ſolers, ſcite luderet,

ἀνισταμένης τε πολλάκις εἰς δασύποδα· [1]
αὐτὴν ἐπικροῦσαι βουλόμενος· „Πρὸς τῶν θεῶν,
„μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτε
c „ἐν τοῖς ὄρεσι τάχιστα θηρίων [2] τρέχειν;“
ἡ Μανία δ'· [3] „Αὐτόμολος, ὦ βέλτιστ'· “ ἔφη.
Μετὰ ταῦτα δ' ὡς εἰσῆλθε πάλιν ἡ Μανία,
τὸν αὐτόμολον ἔσκωπτε, ῥίψασπίν τ' ἔφη
αὐτὸν γεγονέναι, προσβολῆς οὔσης ποτέ.
ὁ δὲ στρατιώτης, ὑπό τι [δὴ] [4] σκυθρωπάσας,
ἀπέπεμψε ταύτην, διαλιποῦσ' ἡ ἑταίρα δέ· [5]
„Μηθὲν παρὰ τοῦτο, φησὶ, λυποῦ, φίλτατε·
„οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα,
d „μὰ τὴν Ἀφροδίτην, ἀλλ' ὁ σοὶ χρήσας τότε.“

Ἐν συμποσίῳ δ', ὥς φασι, παρὰ τῇ Μανίᾳ
παρεδέξατ' αὐτὴν [6] τῶν πονηρῶν τις πάνυ.

1 An πρὸς δασύποδα ἢ ὡς δασύπ. ms. *Ep.* 2 θηρίον edd. & ms. *A.* 3 Deeſt rurſus δ' edd. 4 Abeſt δὴ vulgo. 5 διαλιποῦσα δ' ἡ ἑταίρα vulgo. 6 παρελέξατ' αὐτῇ corr. Iac.

& ſimul ad leporem ſaepius conſurgeret,
eam ferire dicto cupiens: »Dicite,
»quaeſo, adoleſcentes, inquit, quae vobis fera
»viſa eſt per montes curſitare celerrime?«
Tum Mania: »Id quod quaeris dicam; transfuga.«
Et (aliâs) rurſus cum introiiſſet Mania,
ridere coepit transfugam, & parmam obiecit
amiſſam, cum acies praelio conſligerent.
At miles vultu nonnihil iram praeferens,
dimiſit illam; quae cum diſcederet:
»Amice, ne iſtud, inquit, tam graviter feras;
»nam tunc, cum fugeres, non amiſti tu quidem
»parmam, ſed is qui tibi eam commodaverat.«

Convivio, ut narrant, apud Maniam
excepit ipſam homo ſceleſtus admodum.

κἄθ' ὡς [1] ἐπηρώτησε· „Πότερ' ἄνω θέλεις
„ἐλθοῦσ' ἅμα βαλεῖν, ἢ κάτω;" γελάσασ' „Ἄ-
νω, [2]
„βέλτιστε, φησίν. ὑπό τι γὰρ δέδοικά σε,
„μὴ προσπεσούσης [3] τ' οὐμπλόκιόν μου [4] ἐκτράγῃς."[5]

XLIII. Gnathaenae apophthegmata.

Καὶ ἄλλων δὲ ἑταιρῶν ἀπομνημονεύματα ὁ Μάχων συνήγαγεν· ὧν οὐκ ἄκαιρόν ἐστι κατὰ τὸ ἑξῆς μνημονεῦσαι. Γναθαίνης μὲν οὕτως·

Παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτέ·
„Ψυχρόν γ', ἔφη, τ' ἀγγεῖον, ὦ Γνάθαιν', ἔχεις." [6]
„Τῶν σῶν γὰρ, εἶπεν, ἐπιμελῶς, ὦ Δίφιλε,
„εἰς αὐτό γ' αἰεὶ δραμάτων ἐμβάλλομεν."

Πρὸς τὴν Γνάθαιναν Δίφιλος κληθεὶς ποτὲ
ἐπὶ δεῖπνον, ὡς λέγουσι, τοῖς Ἀφροδισίοις·
τιμώμενος μάλιστα τῶν ἐρωμένων,

1 καθὼς vulgo. καὶ τὼς Iac. 2 γελάσασα δὲ edd. & verſ. ſeq. ἄνω μὲν οὖν γέ φησίν. 3 μή μου προπεσούσης edd. μή μου προσπεσ. Ms. 4 τὸ ἐκπλιόκιον ed. Ven. & Baſ. τό τ' οὐμπλόκιον ed. Caſ. 5 ἐντράγῃς fortaſſe. 6 Deeſt editis hic verſus cum tribus ſequentibus.

Dein ubi interrogavit: »Vis-ne ſuperne,
»an inferne congredi?« ridens illa: »Superne,
»o optime, ait: ſubvereor enim,
»ne decumbenti ornatum capitis mihi devores.«

43. Sed & aliarum meretricum ſcite dicta idem Machon collegit: quae hîc ordine commemorare non fuerit ab hoc loco alienum. *Gnathaenae* igitur haec refert:

Apud Gnathaenam potans aliquando Diphilus:
»Gelidum, ait, admodum, Gnathaena, vas habes.«
Et illa: »Nil mirum, inquit; ſedulo quippe
»tuorum dramatum aliquod in illud coniicimus.«

Ad Gnathaenam Diphilus vocatus aliquando
ad coenam ſacro Veneris, ut narrant, die:
(prae caeteris maxime amatoribus honoratus,

λήθῃ θ' [1] ὑπ' αὐτῆς ἐκτενῶς ἀγαπώμενος·
παρῆν ἔχων δύο Χῖα, Θασία τέτταρα,
μύρον, στεφάνους, τραγήματ', ἔριφον, ταινίας,
ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ', αὐλητρίδα.
f Καὶ τῶν ἐραστῶν Συριακοῦ τινος ξένου,
πέμψαντος αὐτῇ χιόνα, σαπέρδην θ' ἕνα·
αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ,
φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον,
μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη·
τὸ μὲν τάριχος εἶπε ταχέως [2] ἀποφέρειν
πρὸς τοὺς σπανίζειν ὁμολογουμένους ἁλῶν,
τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάβρα·
a τῷ παιδί τ' ἐπέταξ', ἐγχέανθ' ὅσον δέκα
κυάθους προσενεγκεῖν Διφίλῳ ποτήριον.
Ὑπερηδέως δὲ τὴν κύλικ' ἐκπιὼν ἄφνω,
καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος·

1 λήθη δ' ὑπ' edd. λήθη ὑπ' Ms. ὡς δῆθ' Grot. 2 ταχέως τ' ἀπ. edd.

quippe quem clam & ipsa impensius amaret:)
unguenta attulerat, amphoras Chii duas,
bis totidem Thasii, bellaria, redimicula,
hoedum, coronas, & coquum, & tibicinam.
Interea cum peregrinus amator Syriacus
saperdam unam misisset & pariter nivem:
valde praemetuens ne quis id rescisceret,
in primis verita Diphilum, ne comicis
traducta ludis olim supplicium daret;
deferri iussit salsamentum protinus
ad eos qui egere se profiterentur salis,
nivem vero clanculum in merum coniici.
Tum puerum iussit cyathos decem fere
in poculum infusos afferre Diphilo.
Qui cum cupidissime siccasset poculum,
perculsus tanto frigoris miraculo:

Gnathaenae

„Νὴ τὴν Ἀθηνᾶν καὶ θεοὺς, ψυχρόν γ', ἔφη,
„Γνάθαιν', ἔχεις τὸν λάκκον ὁμολογουμένως." 25
Ἡ δ' εἶπε· „Τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
„εἰς αὐτὸν αἰεὶ τοὺς προλόγους ἐμβάλλομεν."

Μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων,
μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο.
Περιλαμβάνουσα δ' αὐτὸν, ὡς ἀνώμαλον 30 b
τὸ νῶτον [1] εἶχε παντελῶς· „Τάλαν, τάλαν
„ἄνερ, πόθεν ἔχεις ταῦτ', ἔφη, τὰ τραύματα;"
Κἀκεῖνος αὐτῇ συντόμως ἀπεκρίνατο,
ὅτι παῖς ποτ' ὢν ἐνήλατ' εἰς πυράν ποτε, [2]
παίζων μετά τινων ἡλικιωτῶν ἐμπεσών. [3] 35
„Ναὶ τὴν Φίλην Δήμητρα, δικαίως τε γὰρ,
„ἄνθρωπε, φησὶν, ἐξεδάρης ἀπόλαστος ὤν."

Παρὰ Δεξιθέᾳ δειπνοῦσα τῇ ἑταίρᾳ ποτὲ

1 τὸν νῶτον edd. 2 ἐνήλατ', εἰς τε πυρὰν τότε corr. Grotius, vs. sq. ἐνέπεσεν tenens. 3 ἐνέπεσεν vulgo.

» *Ita me, inquit, Pallas amet & quicquid eſt Deûm,*
» *Gnathaena, gelidus admodum eſt puteus tibi.* «
At illa: » *Quidni? namque in eum nos ſedulo*
» *Prologos tuarum fabularum immittimus.* «

Exſtructus altis verbero vibicibus
cubabat forte cum Gnathaena in lectulo.
Illa ubi perſenſit mediis in complexibus
male complanati tergi extuberantiam:
» *Miſer, unde haec, inquit, accepiſti vulnera?* «
Reſpondit ille mirum quam compendio,
parvum ludentem ſaltu ſe cum aequalibus,
prolapſum in ignem reſupinato corpore.
Gnathaena arridens: » *Tam protervus cum fores,*
» *ecaſtor! vapulaſti non immerito.* «

Apud Dexitheam forte coenatum iverat

Γνάθαινα, τοῦψον ἀποτιθείσης πᾶν σχεδὸν apophthegmata.
c τῆς Δεξιθέας τῇ μητρί· „Νὴ τὴν Ἄρτεμιν, 40
„εἰ, φησὶν, ἤδειν, [1] ἡ Γνάθαινα, τοῦτ' ἐγὼ,
„τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοὶ, γύναι."

Ἐπεὶ προέβη τοῖς ἔτεσιν ἡ Γνάθαινα, καὶ
ἤδη τελέως ἦν ὁμολογουμένως σορὸς,
εἰς τὴν ἀγορὰν λέγουσιν αὐτὴν ἐξίναι, [2] 45
καὶ τοῦψον ἐφορᾶν, καὶ πολυπραγμονεῖν πόσου
πωλεῖθ' ἕκαστον. εἶτ' ἰδοῦσα κατὰ τύχην
ἑστῶτα κρεωπώλην τιν' ἀστεῖον πάνυ,
d τῇ θ' ἡλικίᾳ σφόδρα νέον· „Ὦ πρὸς τῶν θεῶν,
„μειράκιον, ὁ καλὸς, φησὶ, πῶς ἵστης; φράσον."
Ὁ δὲ μειδιάσας· „Κύβδ', ἔφη, τριωβόλου." 51
„Τίς δ' ὁ ἐπιτρέψων ἐστί σοι, φησὶν, τάλαν,
„ὅντα γ' ἐν Ἀθήναις Καρικοῖς χρῆσθαι σταθμοῖς;"

1 ἤδει edd. 2 Perperam ἐξιέναι ed. Caſ. 2. & 3. ἐξεῖναι ms. *A*.

Gnathaena. Matri cum ſuae ſeponeret
Dexithea ferme quicquid erat obſonii,
ibi tum Gnathaena: »Ecaſtor, ſi id ſciſſem antea,
»matri tuae, inquit, condixiſſem, non tibi.«

Aetate iam provectior quum Gnathaena eſſet,
& manifeſte iam feretro proxima;
in forum eam aiunt ſolitam egredi,
& obſonia inſpexiſſe, quaeſiſſeque quanti
veniret quodque. Ibi tum conſpicata forte
ſtantem lanium quemdam venuſtum admodum,
ac valde iuvenem: »Heus tu, per Deos,
adoleſcens, inquit, formoſe! dic, πῶς ἵστης?«
Et iuvenis: »Κύβδα, inquit, tribus obolis.«
»At quis tibi concedet, reponit illa, miſer, ut
»mediis in Athenis menſurâ utaris Caricâ?«

Gnathaenae

Στρατοκλῆς δ' ἐρίφους προῖκ' ἐδίδου τοῖς γνωρίμοις
λοπάδας συνάλμους τε, ξυναρτύειν [1] δοκῶν,
καὶ δίψαν [2] ὑπολειπόμενοι [3] εἰς τὴν αὔριον.
ἐπιξυνάπτειν βουλομένοις [4] τὸν ἑωθινὸν, [5]
μακρὰς δὲ πράττειν εἰς τὰ λοιπὰ ξυμβολάς.
Γνάθαινα δ' αὐτῆς εἶπε πρὸς ἐραστήν τινα,
στραγγευόμενον [6] ὁρῶσα περὶ τὰς συμβολάς·
„ Στρατοκλῆς ἐπ' ἐρίφοις, φησὶ, χειμῶνας ποιεῖ."

Ἰδοῦσ' ἔφηβον ἡ Γνάθαιν' ἰσχνὸν πάνυ,
καὶ μέλανα, λεπτόν θ' ὡς ἔοικεν ὑπερβολῇ,
καὶ λιπαρὸν, [7] ἔτι δὲ τῶν ἐφήβων βραχύτερον,
ἔσκωπτεν εἰς Ἄδωνιν. ἀναγώγως δέ πως
τοῦ μειρακίσκου καὶ τυραννικώτερον
αὐτῇ συναντήσαντος, ἐμβλέψασα τῇ

1 συναρτύειν & dein ἐπισυνάπτειν ms. *A*. 2 διψᾶν ms. *A*. 3 δ' inserunt edd. ὑπολειπόμενά τιν' coni. Cas. An ὑπολειπομένους? 4 βουλόμενος corrigit Cas. 5 An πότον ἑωθινόν. 6 στρατευόμενον vulgo. 7 An καὶ ἀλίπαρον? an λαπαρόν.

Stratocles hoedos gratis dedit familiaribus
& patinas valde salsas, bene conditas volens eas videri.
Hoc voluit, ut magna usque in crastinum sitis eos premeret,
& ad alterum mane compotationem educerent;
unde ingentes symbolas ab illis exigere posset.
Igitur Gnathaena ad suorum amatorum quemdam,
quem vidit aegre conferentem symbolas:
» *Stratocles, inquit, post hoedos tempestates excitat.*«

Ephebum conspicata Gnathaena macilentum admodum,
& nigrum, & supra modum ut aiunt tenuem,
& oleo nitentem, [sive, & squalidum,] adhaec breviorem aequalibus,
» *Adonin*« *per iocum compellavit. Cui cum rustice*
adolescentulus insolentiusque
respondisset, intuita illa

θυγατρὶ μετ' αὐτῆς [1] συμπορευομένη, λέγει·
„Δικαιότερον ἦν, ὦ τέκνον, νὴ τὼ θεώ."

apophthegmata.

Λέγουσι Ποντικόν τι μειρακύλλιον,
ἀναπαυόμενον μετὰ τῆς Γναθαίνης, ἀξιοῦν
πρωΐ γενόμενον, [2] ὥστε τὴν πυγὴν ἅπαξ
αὐτῷ παρασχεῖν· τήνδε τοῦτ' εἰπεῖν· „Τάλαν,
„ἔπειτα τὴν πυγήν με νῦν αἰτεῖς, ὅτε
a „τὰς ὗς ἐπὶ νομὴν καιρός ἐστιν ἐξάγειν;"

XLIV. Gnathaenium, eiusque dicta.

Καὶ Γναθαινίου τῆσδέ γε, [3] τῆς θυγατριδῆς [4]
αὐτῆς τάδε ἀναγράφει·
Εἰς τὰς Ἀθήνας παρεπιδημήσας ξένος
σατράπης πάνυ γέρων ὤν, ἐνενήκοντ' ὡς ἐτῶν, [5]
Κρονίοις ἀπιοῦσαν εἶδε τὴν Γναθαίνιον
μετὰ τῆς Γναθαίνης ἐξ Ἀφροδισίου τινός.
τό τ' εἶδος αὐτῆς τοὺς ῥυθμούς τε καταμαθὼν,

1 μετὰ ταύτης vulgo. 2 Forſ. γενομένου. 3 Forſ. Καὶ Γναθαινίου δὲ, τῆς θυγ. 4 Θυγατριδοῦς edd. 5 Vulgo γέρων ὡς ἐνενήκοντ' ἐτῶν.

filiam, quae eam comitabatur, dixit:
» Meritum hoc erat, o filia, per Divas! «

Ponticum aiunt adoleſcentulum
cum Gnathaena cubantem, rogaſſe
illam cum iam illuceſceret, clunes ut ei ſemel
praeberet. Cui illa reſpondiſſe fertur:
» Nunc tu a me, miſer, clunes poſtulas,
» cum educendi ad paſtum porcos tempus eſt? «

44. Porro de *Gnathaenio*, nepte huius, haecce refert:
Athenis cum verſaretur hoſpes
ſatrapa quidam ſenex admodum, nonaginta fere annorum,
vidit ille Saturnalibus Gnathaenium exeuntem
cum Gnathaena ex aede quadam Veneri dicata.
Qui cum illius formam animadvertiſſet elegantiamque,

Gnathaenium,

ἐπυνθάνετο, μίσθωμα πράσσεται πόσον
τῆς νυκτός; Ἡ Γνάθαινα δ', εἰς τὴν πορφύραν b
καὶ τὰ δόρατ' ἀποβλέψασα, δραχμὰς χιλίας
ἔταξ'. ὁ δ' ἄφνω καιρίμην [1] πληγεὶς· „Παπαί!
„ζωγρεῖς, γύναι, φησὶν, ἕνεκα τοῦ στρατιωτικοῦ.
„μνᾶς πραξαμένη δὲ πέντε τὰς σπονδὰς ποιοῦ, 11
„καὶ στρῶσον ἡμῖν ἔνδον.“ Ἡ δ' ἐπιδέξιον
βουλόμενον εἶναι τὸν σατράπην ἀπεδέξατο,
εἶπεν δέ· [2] „Δὸς [ἐμοὶ] [3] ὅσον ἐπιθυμεῖς, [ὦ] πάτερ· c
„οἶδα γὰρ ἀκριβῶς καὶ πέποιθα τοῦθ' ὅτι [4] 15
„εἰς νύκτ' ἀποδώσεις τῷ θυγατρίῳ μου διπλοῦν.“

Ἐν ταῖς Ἀθήναις χαλκοτύπος σφόδρ' εὐφυὴς,
καταλελυκυίας τῆς Γναθαινίου σχεδὸν,
οὐκ ἔτι θ' ἑταιρεῖν ὑπομενούσης, διὰ τὸ πῶς [5]
τὸν Ἀνδρόνικον ἡδέως αὐτῆς ἔχειν 20

1 κιρίμην Ms. 2 εἶπέν τε malebam. 3 Desunt vulgo voces, ἐμοὶ & ὦ. 4 πέπειθ' ὅτι edd. absque τοῦθ'. 5 Forſ. πρὸς & dein ἡδέως αὐτὴν ἔχειν.

quaeſivit qua mercede polliceretur operam
unius noctis. Gnathaena, in purpuram
& haſtas coniectis oculis, drachmas mille pretium
dixit. Tum ille, certiſſimo percuſſus ictu: » Papae,
» pro capto, ait, hoſte me habes militarem ob adparatum:
» at quinque acceptis minis pacem fac mecum,
» & ſterne intus lectum. « Illa haud abſurdum
ſibi viſum ſatrapam recipit intus,
aitque: » Da nobis quod volueris, pater:
» ſatis quippe novi perſuaſumque habeo,
» te noctu duplum filiolae meae daturum. «

Athenis faber quidam aerarius habilis admodum,
quum artem fere iam deſiſſet Gnathaenium,
nec meretriciam amplius vellet facere,
Andronici amore delectata

τὸν ὑποκριτήν· τότε δ' ὄντος ἐν ἀποδημίᾳ, eiusque dicta.
d ἐξ οὗ γεγονὸς ἦν ἄῤῥεν αὐτῷ παιδίον·
οὐχ ὑπομένουσαν τὴν Γναθαίνιον λαβεῖν
μίσθωμα, λιπαρῶν δὲ καὶ προσκείμενος,
πολὺ δαπανήσας, ἔσχεν αὐτὴν, χρυσίον.
Ἀνάγωγος δ' ὢν [1] δὴ, καὶ βάναυσος παντελῶς,
ἐν σκυτοτομίῳ τινι μετά τινων καθήμενος,
κατεσχόλαζε τῆς Γναθαινίου λέγων,
ἑτέρῳ τρόπῳ μὲν [2] συγγενέσθαι μηδενὶ,
ἑξῆς καθιππάσαι δ' ἐπ' αὐτῆς [3] πεντάκις.
e Μετὰ ταῦτ' ἀκούσας Ἀνδρόνικος τὸ γεγονὸς
ἐκ τῆς Κορίνθου προσφάτως ἀφιγμένος,
πικρῶς δὲ λοιδορούμενος, [4] —
παρὰ τὸν πότον ταῦτ' ἔλεγε τῇ Γναθαινίῳ,
αὐτὸν μὲν ἀξιοῦντα μὴ τετευχέναι

1 ἀνάγ. ὢν absque δ' edd. 2 μὲν μὴ συγγ. Ms. 3 ὑπ' αὐτῆς vulgo. 4 Desunt ista editis.

histrionis; (cum ille tunc peregre esset profectus,
postquam ei natus fuerat puellus;)
respuentem quodvis pretium
Gnathaenium obsecrans, & acrius instans,
tandem ingente auri impensâ nactus est.
At rudior quum esset moribusque illiberalibus,
in coriariâ quadam officinâ cum nonnullis assidens,
de Gnathaenio narrare coepit, dicens,
nullo alio modo cum ea se congressum,
sed quinquies deinceps eam inequitasse.
Posthaec re cognitâ Andronicus
Corintho nuper rediens,
acerbe eam vituperans,
inter pocula dixit Gnathaenio,
se quamlibet orantem numquam impetrasse

Gnathaenium.

τούτου παρ' αὐτῆς μηδέποτε τοῦ σχήματος,
ἐν τῷδε δ' ἑτέρους ἐντρυφᾶν μαστιγίας.
Ἔπειτ' ἐνειπεῖν φασι τὴν Γναθαίνιον·
„Περιλαμβάνειν γὰρ οὐκ ἐδόκει μαζὸν τάλαν
„ἄνθρωπον ἄχρι τοῦ στόματος ἠσβολωμένον· 40 f
„διὰ τοῦθ' ὑπέμεινα, πολὺ λαβοῦσα χρυσίον,
„ἐφιλοσόφησά θ', ἵν' ἄκρον ὡς μάλιστα καὶ
„ἐλάχιστον αὐτοῦ περιλάβω τοῦ σώματος."

Ἔπειτα, φασὶ, τῆς Γναθαινίου ποτε
τὸν Ἀνδρόνικον οὐ θελούσης παρὰ πότον 45
φιλεῖν, καθάπερ ταῖς πρότερον ἡμέραις ἀεὶ, a
ὀργιζομένης δὲ διὰ τὸ μηδὲν λαμβάνειν·
„Ἔπειτα [1] πῶς οὐχὶ ὁρᾷς [2] Γνάθαιν', ἔφη,
„ὑπερηφάνως μοι τὴν θυγατέρα χρωμένην;"
Ἡ γραῦς δ' ἀγανακτήσασα· „Τάλαν, [3] ἔφη, τέ-
κνον; 50

1 Ἔπειθε edd. 2 οὐχ ὁρᾷς edd. 3 Τάλαιν' edd.

istud ab illâ schema,
quo alii abunde fruiti sint furciferi.
Tum ei sic respondisse Gnathaenium ferunt:
» *At nolueram equidem mammas ut complecteretur*
» *homo miser, ad os usque fuligine tinctus.*
» *Quare magnâ acceptâ auri vi sustinui,*
» *callide id excogitans, ut extremam maxime*
» *& minimam corporis partem hominis complecterer.* «

Tum aliquando, narrant, cum Gnathaenium
nollet Andronicum inter pocula
osculari, quod superioribus semper diebus fecerat;
succensens quippe quod tum ipsi nil dedisset:
» *Nunc annon vides, dixisse illum, Gnathaena,*
» *quam superbe tua mecum agat filia?* «
Et indignata mulier: » *Misera, inquit, filia,*

„ περίλαβε, φησὶ, καὶ φίλησον, εἰ θέλει.“ [1] eiusque dicta.
Ἡ δ' εἶπε· „ Μῆτερ, πῶς, ἔφη, μέλλω φιλεῖν
„ τὸν μηθὲν ὠφέλημα τῶν ὑπὸ [2] τὰς στέγας,
„ τὸ κοινὸν Ἄργος δωρεὰν θέλοντ' ἔχειν.“

b Παννυχίδος οὔσης ποθ', ἡ Γναθαίνιον 55
εἰς Πειραιᾶ κατέβαινε πρὸς ξένον τινὰ
ἔμπορον ἐραστὴν, εὐτελῶς ἐπ' ἀστράβης,
τὰ πάντ' ἔχουσ' ὀνάρια μετ' αὐτῆς τρία,
καὶ τρεῖς θεραπαίνας καὶ νέαν τηθὴν μίαν.
Ἔπειτα δ' αὐταῖς [3] ἐπί τινος στενῆς ὁδοῦ 60
κακὸς παλαιστὴς ἐνέτυχέν τις τῶν ἀεὶ
ἐν τοῖς ἀγῶσιν ἐπιμελῶς ἡττωμένων.
ὃς οὐ δυνάμενος τότε παρελθεῖν ῥᾳδίως,
ἀλλὰ στενοχωρῶν, εἶπεν· „Ὦ τρισάθλιε
c „ ὀνηλάτ', εἰ μὴ θᾶττον ἐκστήσῃ ποτὲ 65

1 εἰ θέλεις Ms. *si vis; quaeso.* 2 ὠφ. τὸν ὑπὸ Ms. 3 Ἐπειτ' ἐν αὐταῖς vulgo.

» *amplectens illum osculare, quoniam sic cupit.*«
At illa: » *Mater, inquit, quo pacto hunc osculer,*
» *qui nihil commodi adferens his qui sub tecto sunt,*
» *commune Argos gratis vult habere?*«

Gnathaenium aliquando nundinarum in celebritate
in Piraeeum descendit ad peregrinum quempiam
mercatorem amatorem, tenuiter mulo vecta,
tres omnino asellos secum habens,
& tres ancillas cum una nutrice iuvene.
Deinde his in viae angustia quadam
occurrit malus aliquis luctator, horum unus qui
sedulo dant operam ut in certaminibus vincantur omnibus.
Qui cum non posset praeterire facile,
sed in angusto haereret, ait: » *Heus, miserrime*
» *agaso, ni cures ocyus ut cedant mihi*

„ἐκ τῆς ὁδοῦ, τὰ γύναια ταυτὶ καταβαλῶ
„σὺν τοῖς ὀναρίοις, φησὶ, καὶ ταῖς ἀστράβαις.“
Γναθαίνιον δ' εἶπ'· „Ὦ τάλαν, μὴ δῆτ', ἄνερ·
„οὐδέποτε γὰρ τοῦτ' ἐστί σοι πεπραγμένον.“

XLV. Lais & Euripides.

Ἐξῆς δὲ καὶ ταῦτ' ἀναγράφει·
Λαΐδα λέγουσι τὴν Κορινθίαν ποτὲ
Εὐριπίδην ἰδοῦσαν ἐν κήπῳ τινὶ
πινακίδα καὶ γραφεῖον ἐξηρτημένον
ἔχοντ'· „Ἀπόκριναί, φησὶν, ὦ ποιητά μοι,
„τί βουλόμενος ἔγραψας ἐν τραγῳδίᾳ, 5 d
„Ἔρρ' αἰσχροποιέ;“ Καταπλαγεὶς δ' Εὐριπίδης [1]
τὴν τόλμαν αὐτῆς· „Καὶ γὰρ, ἔφη, τίς μοι δοκεῖς [2]
„σύ γ' αἰσχροποιός.“ Ἡ δὲ γελάσασ' ἀπεκρίθη·
„Τί δ' αἰσχρὸν, εἰ μὴ τοῖσι χρωμένοις δοκεῖ;“

1 δ' ὁ Εὐριπ. mssti. 2 σὺ γὰρ ἔφη τις εἶναι αἰσχρ. ms. *A.* & car. δοκεῖς. σὺ γὰρ εἶναί τις ἔφη δοκεῖς αἰσχρ. edd.

„*de viâ hae mulieres, proſternam eas*
„*ipſis cum aſellis mulisque.*“
Tum Gnathaenium: „*O miſer, ait, noli (quaeſo) facere,*
„*nec enim umquam antehac a te hoc factum eſt.*“

45. Deinde haec recenſet idem Machon:
Laidem aiunt Corinthiam aliquando,
cum vidiſſet Euripidem in horto quodam
tabellas habentem ſtylumque adpenſum:
„*Reſponde mihi, dixiſſe, o poëta,*
„*quid ſpectaris cum in tragoediâ ſcriberes,*
„Abi in malam rem, turpia perpetrans!“ — *Cuius audaciam*
miratus Euripides ait: „*Tu nempe ipſa videris eſſe*
„*turpia perpetrans.*“ *At illa ridens reſpondit:*
„*Quid vero turpe eſt, niſi ei, qui id perpetrat, ita videatur?*“

Ἡ Γλυκέριον λαβοῦσα παρ' ἐραστοῦ τινος 10 Glycerium.
Κορίνθιον παράπηχυ καινὸν λήδιον, [1]
ἔδωκεν εἰς γναφεῖον· εἶτ' ἐπεὶ τέλος
ἔδοξ' ἔχειν, πέμψασα τὴν θεραπαινίδα
τὸ μισθάριον ἔχουσαν, ἐκέλευ' ἀποφέρειν
e ἱμάτιον. ὁ γναφεὺς δ' εἶπεν· „Ἂν γ' ἐλαδίου 15
„τεταρτημόριά μοι, φησὶ, προσενέγκῃς τρία,
„κόμισαι. τὸ κωλύον γάρ ἐστι τοῦτό γε." [2]
Ἡ δ' ὡς ἀπήγγειλεν· „Τάλαιν', εἶπε, κακῶν," [3]
ἡ Γλυκέριον· „μέλλει γὰρ, ὥσπερ μαινίδας
„ἀποτηγανίζειν, φησὶ, μου [4] τὸ λῆδιον." 20

Ὁ τοῦ Σοφοκλέους Δημοφῶν ἐρώμενος Sophocles & Nico.
τὴν Αἶγα Νικὼ, πρεσβυτέραν οὖσαν, ποτὲ cogn. *Capra.*
νέος ὢν ἔτ' αὐτὸς εἶχεν. ἐπεκαλεῖτο δ' Αἴξ,
f ὅτι τὸν μέγαν [δὴ] κατέφαγεν [5] ἐραστήν ποτε

1 λῆδιον edd. & sic deinde. 2 τοῦτο μὲν δὲ ὡς ἀπηγγ. Ms. τοῦτό γε. ἡ δ' ἀπηγγ. vulgo. 3 κακὸν edd. 4 φησί μοι edd. 5 τὸν μέγαν κατέφαγ' ἐραστ. vulgo.

Glycerium poſtquam accepiſſet ab amatore quodam
Corinthiam novam purpureis manicis pallam,
tradidit fulloni. Deinde, ubi ſatis curatam
a fullone credidit, miſit ancillam
cum mercede, reportare iubens
veſtem. At fullo ait: »Olei ſi mihi
»tres quadrantes adtuleris, tum veſtem
»auferes: nam hoc ſolum in mora eſt.«
Quod ut illa herae renunciat: »O me miſerrimam!«
ait Glycerium: »vult enim ſicut maenidas,
»vorare pallam meam ſartagine frixam.«

Demophon, Sophoclis amaſius,
Nico cognomine Capram, annoſam iamiam, habuit
aliquando, iuvenis cum ipſe eſſet. Cognomen illud ei erat,
quoniam magnum amatorem olim devoraverat

Θαλλὸν παρεγενήθη γὰρ εἰς τὴν Ἀττικὴν
ὠνησόμενος χελιδονείας [1] ἰσχάδας,
Ὑμήττιόν τε Φορτιούμενος μέλι.
Λέγεται δ' ἐκείνην τὴν γυναῖκ' ἐσχηκέναι
πυγὴν πάνυ καλὴν, ἣν ποτ' [2] ἠξίου λαβεῖν
ὁ Δημοφῶν. ἡ δ' εἶπε γελάσασ' „Εὖ, ἵνα
„Σοφοκλεῖ παρ' ἐμοῦ δῷς, φησὶ, λαβὼν, ὦ φίλ-
τατε.“ [3]

Callisto, eiusque mater Cornix.

Καλλιστόος [4] δὲ τῆς Ὑὸς καλουμένης
πρὸς τὴν ἑαυτῆς λοιδορουμένης ποτὲ
μητέρα, Κορώνη δ' ἐπεκαλεῖτο τοὔνομα,
διέλυεν ἡ Γνάθαινα. ἐρωτηθεῖσα δὲ,
τί διαΦέρονται; „Τί γὰρ, ἔΦησεν, ἄλλο, πλὴν
„ἀλλ' ἡ κορώνη [5] ἑτέρᾳ ἐκείνη μέμΦεται.“

Hippe ap. Ptolem.

Ἵππην λέγουσιν, τὴν ἑταῖραν, Θεόδοτον

1 χελιδονίας Ms. ὠνησ. μέλι Χελιδονίας τ' ἰσχ. edd. 2 Forſ. ἣν τ' ὁ τ'. 3 Vulgo Σοφ. δῷς φησὶ παρ' ἐμοῦ λαβὼν φίλτατε. 4 Καλλι-στοῦς vulgo. 5 ἄλλη κορώνη θ' ἑτέρ' vulgo. ἄλλ' ἡ κορώνη χ' ἑτέρ' corr. Caſ.

Thallum, cum in Atticam ille adpuliſſet,
hirundinarias emturus caricas,
& mel hymettium navi avectturus.
Fertur autem habuiſſe mulier illa
clunes pulcros admodum, quos ei tunc popoſcit
Demophon. Tum illa ridens: »Probe, ait; nempe,
»ut a me acceptos des Sophoclî, cariſſime.«

Aliquando Calliſto, Sus cognomine,
probris iurgiisque cum ſuâ rixabatur
matre, cui Cornix cognomen erat.
Litem eam Gnathaena diremit. Quae interrogata, quid
illud eſſet diſſidii? »Quid aliud, inquit, niſi
»quod cum Cornice altera illa expoſtulat?«

Hippen aiunt meretricem habuiſſe

ἔχειν ἑραστὴν, τὸν ἐπὶ τοῦ χόρτου ποτὲ [1]
γενόμενον. αὕτη δ' ὀψὲ τῆς ὥρας ποτὲ
b εἰσῆλθεν ἐπὶ κώθωνα πρὸς τὸν βασιλέα
Πτολεμαῖον· εἰώθει δὲ συμπίνειν ἀεὶ
αὐτῷ. λέγει δ' οὖν, ὑστεροῦσα παρὰ πολύ·
„Πτολεμαῖε, διψῶ, φησὶ, παππία,[2] σφόδρα·
„ἀλλ' ἐγχεέτω μοι τέτταρας [3] κοτύλας ἔπειτ'
„εἰς τὴν μεγάλην." ἔπειτα δ' ὁ βασιλεὺς [4] λέγει·
„Εἰς τὴν λεκάνην μὲν οὖν. δοκεῖς γάρ μοι πολὺν,
„Ἵππη, πάνυ χόρτον, φησὶ, καταβεβρωκέναι."

Φρύνην ἐπείρα Μοίριχος τὴν Θεσπικήν· Phryne.
c κἄπειτα αἰτήσασαν [5] αὐτὸν μνᾶν μίαν,
ὁ Μοίριχος· „Μέγ', εἶπεν. οὐ πρώην δύο
„χρυσοῦς [6] λαβοῦσα παρεγένου ξένῳ τινί;"
„Περίμενε τοίνυν καὶ σὺ, φησὶν, ἕως ἂν οὖ [7]

1 τότε forsan. 2 παπία vulgo. 3 ἐγχέτω μοι τὶς τέτταρας edd. 4 ἔπειθ' ὁ βασιλεὺς vulgo. 5 κἄπειτα αἰτήσασα ed. Casaub. Forsan. κἄπειτα δ' αἰτησάση. 6 χρυσοῦς edd. & Ms. 7 ἕως ἂν οὗ edd. ἕως ἂν. αὖ corr. Iac.

amatorem Theodotum, regiis foeni horreis tunc praefectum. Illa aliquando multâ vesperâ in compotationem venit ad regem Ptolemaeum: compotare enim semper cum illo consueverat. Igitur sero admodum cum venisset; »*Ptolemaee, inquit, sitio, patercule, admodum:* »*proinde infundat mihi pincerna quatuor cotulas* »*maiorem in calicem.*« *Tunc rex ait:* »*Immo in pelvim: videris enim mihi, Hippe,* »*magnam foeni vim devoraſſe.*«

Phrynen ſollicitabat Moerichus Theſpicam: quae cum ab illo minam unam poſceret; »*Multum ſane:*« *inquit Moerichus.* »*Nonne nuper duobus* »*aureis acceptis cum peregrino quodam concubuiſti?*« *Tum illa:* »*Exſpecta ergo & tu, inquit, usque dum*

„βινητιάσω· καὶ τοσοῦτον λήψομαι.“

Nico. Νικὼ λέγεται τὴν Αἴγα, Πύθωνός τινος αὐτήν ποτ' ἀπολιπόντος, Εὔαρδιν δὲ τὴν παχεῖαν ἀναλαβόντος, εἶτ' ἐς ὕστερον [1] μεταπεμπομένου ποθ', ὡς ἔοικ', αὐτὴν, λέγειν πρὸς τὸν μετιόντα παῖδα· „Νῦν [2] Πύθων, ἔφη, „ἐπεί γε τῶν ὑῶν διάμεστος ἐγένετο, „ἔπειτ' ἐπ' αἶγ' [3] οἷός ἐστιν ἀνακάμπτειν πάλιν;“ 55 60 d

XLVI. Magna multitudo Atticarum meretricum.

Μέχρι μὲν [4] τούτων μνημονεύω τῶν ὑπὸ τοῦ Μάχωνος εἰρημένων. Αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτον πλῆθος ἤνεγκαν ἑταιρῶν, περὶ ὧν ἐπεξελεύσομαι ὅσον γε δύναμαι, ὅσον ὄχλον εὐανδροῦσα πόλις οὐκ ἔσχεν. ἀνέγραψε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος ἑκατὸν καὶ τριακονταπέντε· Ἀπολλόδωρος δὲ τούτων πλείους, ὁ Γοργίας δ' ἔτι πλέονας, [5] παραλειφθῆναι φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετὰ

1 εἶθ' ὕστερον ms. *Ep.* εἶτ' ἐν ὕστερον ms. *A.* 2 Deest νῦν msstis. 3 ἐπὶ τὴν αἶγ' edd. 4 οὖν inserunt edd. 5 δὲ πλέονας vulgo.

» *pruritus me inceſſerit: & tantumdem capiam.* «

Nico Capram, aiunt, cum Pytho quidam
eam aliquando deſeruiſſet, & Euardin
craſſam adſciviſſet, deinde vero rurſus
acciret eamdem, dixiſſe
puero qui illam convenit: » Nunc Python, ait,
» *poſtquam ſuillâ nempe repletus eſt,*
» *ad capram vult reverti?* «

46. Hactenus ea commemoravimus quae a *Machone* tradita ſunt. Elegantes enim noſtrae Athenae tantam multitudinem tulerunt meretricum, de quibus quoad fieri poterit differam, quantam fortibus viris clara civitas nulla habuit. Recenſuit quidem Ariſtophanes Byzantius centum & triginta quinque: Apollodorus vero maiorem numerum, & adhuc maiorem Gorgias; qui dicunt ab Ari-

e ἑταιρῶν πλειόνων καὶ τάσδε· τὴν Πάροινον ἐπικληθεί-
σαν, καὶ Λαμπυρίδα, καὶ Εὐφροσύνην· αὕτη δὲ ἦν
γναφέως θυγάτηρ. ἄγραφοι δ' εἰσὶν αὐτῷ,[1] Μεγί-
στη, Ἀγαλλὶς, Θαυμάριον, Θεόκλεια· αὕτη δ' ἐπε-
καλεῖτο Κορώνη· Ληναιτόκυστος, Ἄστρα, Γνάθαινα,
καὶ ταύτης θυγατριδῆ Γναθαίνιον· καὶ Σιγὴ, καὶ
Συναρὶς ἡ Λύχνος ἐπικαλουμένη, καὶ Εὔκλεια, καὶ
Γρυμαῖα,[2] καὶ Θρυαλλὶς,[3] ἔτι Χίμαιρα, καὶ Λαμ-
πάς. Τῆς δὲ Γναθαίνης ἦρα δεινῶς, ὡς καὶ πρότερον
εἴρηται, Δίφιλος ὁ κωμῳδιοποιὸς, ὡς καὶ Λυγκεὺς ὁ Diphilus comicus, e theatro elatus.
f Σάμιος ἐν τοῖς Ἀπομνημονεύμασιν ἱστορεῖ. ἐν ἀγῶνι
οὖν ποτε αὐτὸν ἀσχημονήσαντα σφόδρα, ἀρθῆναι ἐκ
τοῦ θεάτρου συνέβη, καὶ οὐδὲν ἧττον ἐλθεῖν πρὸς τὴν
Γνάθαιναν. κελεύοντος οὖν τοῦ Διφίλου ὑπονίψαι τοὺς
πόδας αὐτοῦ τὴν Γνάθαιναν, ἡ δὲ „Τί γὰρ, εἶπεν, οὐκ
ἠρμένος ἥκεις;“ σφόδρα δ' ἦν εὔθικτος πρὸς τὰς ἀπο-

1 Malebam αὐτῷ καὶ Μεγ. &c. 2 Γραμμαῖα edd. 3 Θρυλλὶς ms. *Ep.*

ſtophane omiſſas eſſe cum alias multas, tum hasce: Paroinam (id eſt, *Vinoſam*) quae cognominata eſt, & Lampyridem, & Euphroſynen, fullonis filiam. Silentio vero etiam ab illo praeteritae ſunt: Megiſta, Agallis, Thaumarion, Theoclea, quae *Cornix* cognominata eſt, Lenaetocyſtus, Aſtra, Gnathaena, & huius neptis Gnathaenium: tum Siga, & Synoris cognomine *Lychnus*, & Euclea, & Grymaea, & Thryallis; denique Chimaera, & Lampas. Gnathaenam autem impenſe amavit (quemadmodum iam ante dictum eſt) Diphilus comicus, quod & Lynceus Samius tradit in Commentariis. Igitur quum in fabulae cuiusdam actione partes ſuas Diphilus male admodum egiſſet, ob eamque cauſſam e theatro ſublimis elatus exactusque fuiſſet, nihilo minus Gnathaenam convenit. Quam cum iuſſiſſet pedes ſibi lavare: *Quid ergo?* reſpondit illa; *nonne ſublimis elatus huc veniſti?* Nam ad re-

Literarum ſtudia colebant meretrices.

κρίσεις ἡ Γνάθαινα. Καὶ ἄλλαι δὲ ἑταῖραι μέγα ἐφρόνουν ἐφ' ἑαυταῖς, [1] παιδείας [2] ἀντεχόμεναι, καὶ τοῖς μαθήμασι χρόνον ἀπομερίζουσαι· διόπερ καὶ εὔθικτοι πρὸς τὰς ἀπαντήσεις [3] ἦσαν. Κατηγοροῦντος γοῦν πο- a

Stilpo & Glycera.

τε Στίλπωνος Γλυκέρας παρὰ πότον, ὡς διαφθειρούσης τοὺς νέους, ὥς φησι Σάτυρος ἐν τοῖς Βίοις, ὑποτυχοῦσα ἡ Γλυκέρα· „Τὴν αὐτὴν, ἔφη, ἔχομεν αἰτίαν, ὦ Στίλπων. σέ τε γὰρ λέγουσι διαφθείρειν τοὺς ἐντυγχάνοντάς σοι, ἀνωφελῆ καὶ ἐρωτικὰ [4] σοφίσματα διδάσκοντα, ἐμέ τε ὡσαύτως. μηδὲν [5] οὖν διαφέρειν ἐπιτριβομένοις καὶ κακῶς πάσχουσιν, ἢ μετὰ φιλοσόφου ζῆν, ἢ ἑταίρας." κατὰ γὰρ τὸν Ἀγάθωνα,

— Γυνὴ τὸ σῶμα δι' ἀργίαν [6]
ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ. b

XLVII.

Γναθαίνης δὲ πολλὰς ἀποκρίσεις ἀνέγραψεν ὁ

1 ἐφ' αὑταῖς ms. *A.* 2 παιδείαις ed. Caſ. παιδιὰς ed. Baſ. 3 πρὸς τὰς ἀποκρίσεις ed. Ven. & Baſ. 4 ἐριστικὰ vel ἐρωτητικὰ corr. viri docti, & dein ἐμέ τε ὡσαύτως ἐρωτικά. Iac. 5 μηδὲν edd. cum ms. *Ep.* 6 -- Γυνὴ δὲ σώματος δι' ἀργίαν corr. Grot.

ſpondendum admodum ſolers ſalſaque Gnathaena fuit. Sed & aliae meretrices arroganter de ſe ſentiebant, ut quae literarum ſtudia colerent, & ſcientiarum diſciplinis temporis nonnihil tribuerent: unde etiam ſolertes ad reſpondendum acutaeque fuerunt. Itaque quum Stilpo aliquando in compotatione accuſaret Glyceram, quod adoleſcentes corrumperet, ut Satyrus narrat in Vitis, reponens illa: *At idem crimen*, inquit, *utrique noſtrûm obiicitur. Nam & te aiunt corrumpere eos qui te conveniunt, inutilia & amatoria ſophismata docentem, ſimiliterque me: nihil ergo referre eorum qui corrumpantur & miſeri reddantur, utrum cum philoſopho vivant, an cum meretrice.* Nam quod Agathon ait:

— *Non, ſi foeminae corpus pigrum eſt,*
etiam intus animi pigra cogitatio eſt.

47. Gnathaenae vero multa reſponſa memoriae tra-

Λυγκεύς. Παρασίτου γάρ τινος ὑπὸ γραὸς τρεφομένου, καὶ τὸ σῶμα εὖ ἔχοντος· „Χαριέντως γ',[1] ἔφη, ὦ νεανίσκε, τὸ σωμάτιον διάκειται.“ — „Τί οὖν οἴει, εἰ μὴ ἐδευτεροκοίτουν;“ — „Τῷ λιμῷ ἂν, ἔφη, ἀπέθανες.“ Παυσανίου δὲ τοῦ Λάκκου ὀρχουμένου, καὶ εἰς κάδον τινὰ ἐμπεσόντος· „Ὁ Λάκκος, ἔφη, εἰς τὸν κάδον ἐμπέπτωκεν.“ Ἐπιδόντος δέ τινος οἶνον ἐν ψυκτηριδίῳ μικρὸν, καὶ εἰπόντος ὅτι ἐκκαιδεκαέτης· „Μικρός γε, ἔφη, ὡς τοσούτων ἐτῶν.“ Νεανίσκων δέ τινων παρὰ πότον ὑπὲρ αὐτῆς τυπτόντων ἑαυτοὺς, ἔφη πρὸς τὸν ἡττώμενον· „Θάρρει παιδίον· οὐ γὰρ στεφανίτης ὁ ἀγών ἐστιν, ἀλλ' ἀργυρίτης.“ Ὡς δ' ὁ τὴν μνᾶν τῇ θυγατρὶ δοὺς αὐτῆς, οὐδὲν ἔτι ἔφερεν, ἀλλ' ἐφοίτα μόνον· „Παιδίον, ἔφη, ὥσπερ πρὸς Ἱππόμαχον τὸν παιδοτρίβην μνᾶν δοὺς, οἴει ἀεὶ φοιτήσειν;“ Φρύνης

Gnathaenae dicta, ex Lynceo Samio.

1 χαριέντως τ' ms. *A*.

didit Lynceus. Alebat anus quaedam paraſitum; quem corpore bene habitum videns Gnathaena: *Eleganter ſane tibi*, inquit, *curatum corpus eſt, adoleſcens.* — *Quid ergo futurum putas*, inquit ille, *ſi cum muliere non cubarem?* — *Fame te moriturum*, ait. Pauſanias, cognomine *Puteus*, cum ſaltaret, in cadum incidit. Tum Gnathaena, *In cadum puteus*, inquit, *delapſus eſt.* Cum exiguum vinum quidam dediſſet in pſycteridio, dicens *eſſe ſedecim annorum: Puſillum ſane*, inquit, *pro illa aetate.* Inter potandum cum iuvenes quidam inter ſe de illa pugnis decertaſſent, eum qui inferior diceſſit hortata eſt, *bono eſſet animo: certamen enim non coronarium* eſſe, *ſed argentarium.* Filiae eius quidam minam cum dediſſet, ad eam frequenter commeabat, muneris praeterea nihil afferens. Cui illa, *Minâ ſemel datâ*, inquit, *te huc ſemper ventitaturum putas, puelle, tamquam ad ludimagiſtrum Hippomachum?*

δὲ πικρότερον εἰπούσης αὐτῇ· „Εἰ δὲ λίθον εἶχες;“ ἔφη· [1] „Ἀποψήσασθαι ἄν σοι ἔδωκα.“ ἐτύγχανε δὲ ἡ μὲν αἰτίαν ἔχουσα λιθιᾶν, ἡ δὲ κοιλίαν προπετεστέραν ἔχειν. d Τῶν δὲ πινόντων παρ' αὐτῇ βαλλομένων εἰς βολβοφάκην, καὶ τῆς παιδίσκης ἐν τῷ καθαίρειν εἰς τὸν κόλπον ἐμβαλλομένης τῶν φακῶν, ἡ Γνάθαινα ἔφη· „Κολποφάκην διανοεῖται ποιεῖν.“ Ἀνδρονίκου δὲ τοῦ τραγῳδοῦ ἀπ' ἀγῶνός τινος, ἐν ᾧ τοὺς Ἐπιγόνους εὐημερήκει, πίνειν μέλλοντος παρ' αὐτῇ, καὶ τοῦ παιδὸς κελεύοντος τὴν Γνάθαιναν προαναλῶσαι·

Ὀλόμενε παίδων, ἔφη, ποῖον εἴρηκας λόγον;

Πρὸς δὲ ἀδολέσχην τινὰ, διηγούμενον ὅτι παραγέγονεν ἀφ' Ἑλλησπόντου· „Πῶς οὖν, φησὶν, εἰς τὴν e πρώτην πόλιν οὐχ ἥκεις τῶν ἐκεῖ;“ τοῦ δ' εἰπόντος „Εἰς ποίαν;“ „Εἰς Σίγειον“ εἶπεν. Εἰσελθόντος δέ τινος ὡς [2]

1 εἰ δὲ λίθον ἔφη εἶχες; ἀποψησ. vulgo. 2 ἐς αὐτὴν edd.

Acerbius Phryne cum ei dixiſſet, *At ſi lapidem haberes?* — *Darem tibi*, inquit, *abstergendis natibus.* Perhibebatur enim altera calculo laborare, altera vero nimis fluxa eſſe alvo. Nonnulli apud eam compotantes, dum ſeſe inter ſe feriebant, in *bolbophacen* (id eſt, lenticulam cum bulbis coctam) impegerant: dein ancilla, purgans menſam, pulmenti partem in ſinum ſuum (εἰς τὸν κόλπον) coniecit; quod videns Gnathaena, ait: *colpophacen parare cogitat.* Andronicus tragoedus quum in actione fabulae Epigonorum cum plauſu partes ſuas egiſſet, apud Gnathaenam potaturus, puerum miſit, qui ſumtum illam facere iuberet priusquam adventaret ipſe. Cui illa,

Perdite puer, ait, *quodnam verbum dixiſti?*

Loquax aliquis & futilis homo cum *ex Hellesponto ſe adveniſſe* narraret; *Quid ergo*, inquit illa, *in primum illius orae oppidum nonne veniſti? — Quodnam illud?* ait alter. *Sigeum dico*, reponit Gnathaena. Ad eamdem ingreſſus

αὐτὴν, καὶ ἰδόντος ἐπί τινος ἀγγείου ὠὰ, εἰπόντος τε „Ὠμὰ ταῦτα Γνάθαινα, ἢ ἑφθά;“ — „Ἔγχαλκα, ἔφη, παιδίον.“ Χαιρεφῶντος δὲ ἀκλήτου ἐπὶ δεῖπνον ἐλθόντος, προπιοῦσα ποτήριον αὐτῷ ἡ Γνάθαινα; „Λάβε, ἔφησεν, ὑπερήφανε.“ καὶ ὅς· „Ἐγὼ ὑπερήφανος;“ — „Τίς δὲ μᾶλλον, εἶπεν ἡ Γνάθαινα, ὃς οὐδὲ καλούμενος ἔρχῃ;“ — Νικὼ δὲ ἡ Αἶξ ἐπικαλουμένη, Nico, cogn. *Capra.*
f φησὶν ὁ Λυγκεὺς, παρασίτου τινὸς ἀπαντήσαντος λεπτοῦ ἐξ ἀῤῥωστίας· „Ὡς ἰσχνός;“ ἔφη. — „Τί γὰρ οἴει με ἐν τρισὶν ἡμέραις καταβεβρωκέναι;“ — „Ἢτοι τὴν λήκυθον, ἔφη, ἢ τὰ ὑποδήματα.“ [1]

XLVIII. Metanira, meretrix.

Μετάνειρα δὲ [2] ἡ ἑταίρα, Δημοκλέους τοῦ παρασίτου, Λαγυνίωνος ἐπίκλην, καταπεσόντος ἔν τινι κονιάματι· „Καὶ γὰρ σὺ, φησὶ, σαυτὸν ἔδωκας οὗ ψῆφοι εἰσίν.“ διαπηδῶντος δ' αὐτοῦ [3] ἐπὶ τὴν πλησίον κλίνην· „Πρόσεχε, φησὶ, μὴ ἀνατραπῇς.“ τοῦτο ἱστοa ρεῖ Ἡγήσανδρος. Ἀριστόδημος δ' ἐν δευτέρῳ Γελοίων

1 ὑπόματα edd. vett. cum Ms. 2 Deest δὲ edd. 3 τοῦ αὐτοῦ edd.

aliquis, conſpectis in vaſe quodam ovis, *Cruda-ne ſunt*, inquit, *haec, Gnathaena, an cocta?* Cui illa: *Aenea ſunt, puelle.* Chaerephon cum ad coenam invocatus veniſſet, propinans ei poculum Gnathaena, *Cape*, inquit, *o ſuperbe!* Cui ille: *An vero ego ſuperbus?* Et Gnathaena: *Quis vero te ſuperbior, qui ne vocatus quidem adveneris? Nico* vero, cognomine *Capra*, ait Lynceus, cum ei paraſitus obviam veniſſet macilentus ex morbo, *Quam gracilis es?* ait. *Ecquid me putas*, inquit ille, *toto triduo comediſſe?* — *Aut coriaceam ampullam*, ait, *aut calceos.*

48. Metanira meretrix, cum Democles paraſitus, cognomine Lagynion, ſuper tectorio opere prolapſus eſſet: *Nil mirum*, inquit, *cum in locum te immiſeris ubi calculi ſunt.* Eidem in propinquum lectulum ſubſilienti: *Cave*, dixit, *ne everſus corruas.* Hoc memoravit Hegeſander. Ariſtode-

Gnathaenae dicta, ex Aristodemo.

Ἀπομνημονευμάτων· Γνάθαιναν, φησὶ, δύο ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας· ἀναγωγότερον οὖν τοῦ στρατιώτου λάκκον αὐτὴν εἰπόντος· „Πῶς, ἔφησεν, ἢ ὅτι δύο ποταμοὶ ἐμβάλλετέ μοι, Λύκος καὶ Ἐλεύθερος;“ [1] Ἐπὶ δὲ τὴν θυγατέρα τῆς Γναθαίνης πτωχῶν ἐραστῶν κωμαζόντων, καὶ ἀπειλούντων κατασκάψειν τὴν οἰκίαν, ἐνηνοχέναι γὰρ δικέλλας ἅμας [τε „Ἀλλ᾽] [2] εἰ ταῦτ᾽ εἴχεθ᾽ [3] ὑμεῖς, εἶπεν ἡ Γνάθαινα, ἐνέχυρα θέντες [4] τὸ μίσθωμα ἂν ἀπεστείλατε.“ Ἐμ- b μελὴς δὲ ἦν πάνυ ἡ Γνάθαινα, καὶ οὐκ ἀνάστειος φθέγξασθαι. ἤ τις καὶ νόμον συσσιτικὸν συνέγραψε, καθ᾽ ὃν δεῖ τοὺς ἐραστὰς ὡς αὐτὴν καὶ τὴν [5] θυγατέρα εἰσιέναι, κατὰ ζῆλον τῶν τὰ τοιαῦτα συνταξαμένων φιλοσόφων. ἀνέγραψε δ᾽ αὐτὸν Καλλίμαχος ἐν τῷ τρίτῳ Πίνακι τῶν Νόμων, καὶ ἀρχὴν αὐτοῦ τήνδε παρε-

1 Λύκος καὶ μαστιγίας *Epit.* 2 Duas voces ignorant mssti. Forsan satis fuerat δικέλλας καὶ ἅμας· Εἰ ταῦτ᾽ εἴχεθ᾽ &c. 3 ἔχεθ᾽ ed. Ven. & Bas. 4 ἐνεχυρασθέντες ed. Bas. & Casaub. 5 Deest artic. edd.

mus, secundo libro Dictorum Ridiculorum, ait: »Gnathaena a duobus erat conducta, altero milite, altero verberone. Quam cum protervius *lacum* adpellaret miles: *Quî sic?* inquit illa: *an quod duo amnes in me influitis, Lycus & Eleutherus?* Ad Gnathaenae filiam cum pauperes nonnulli amatores comissatum venissent, minitantes, *se* (ni intro admitterentur) *aedes dirupturos; adtulisse enim eâ caussâ ligones & rutra.* — *At haec si haberetis*, ait Gnathaena, *pignori oppositissetis, mercedemque misissetis.* Erat autem concinna admodum Gnathaena & festiva ad respondendum. Scripseratque etiam *legem convivalem*, observandam amatoribus qui ad ipsam & ad eius filiam intrare vellent, imitata philosophos qui similia praecepta dederant. Recensuit illam legem Callimachus in tertia Tabula Legum, & principium illius adposuit huiusmodi:

θετο· „Ὅδε ὁ νόμος ἴσος ἐγράφη καὶ ὅμοιος, στίχων „τριακοσίων εἰκοσιτριῶν.“

XLIX. Variarum meretricum scite responsa, ex eodem.

Καλλίστιον δὲ, τὴν ἐπικληθεῖσαν Πτωχελένην, μαστιγίας ἐμισθώσατο. Θέρους δὲ ὄντος, ἐπεὶ γυμνὸς κατέκειτο, τοὺς τύπους τῶν πληγῶν ἰδοῦσα· „Πόθεν οὗτοι, τάλαν;“ εἶπεν. καὶ ὅς· „Παιδὸς ὄντος μου, ζωμὸς κατεχύθη.“ ἡ δέ· „Δηλαδὴ μόσχειος.“ [1] Μενάνδρῳ τῷ ποιητῇ δυσημερήσαντι καὶ εἰσελθόντι εἰς τὴν οἰκίαν, Γλυκέρα προσενέγκασα γάλα παρεκάλει ῥοφῆσαι· ὁ δὲ „Οὐ θέλω,“ εἶπεν. ἦν γὰρ ἐφεστηκυῖα γραῦς αὐτῷ. ἡ δέ· „Ἀποφύσα, καὶ τῷ κάτω χρῶ.“ Θαΐς, [2] ἑταίρου τινος αὐτῆς ἀλαζόνος παρὰ πολλῶν ποτήρια χρησαμένου, καὶ λέγοντος, θέλειν ταῦτα συγκόψαι, ἄλλα δὲ κατασκευάσαι· „Ἀπολεῖς, ἔφη, ἑκάστου τὸ ἴδιον.“ Λεόντιον κατακειμένη μετ' ἐραστοῦ,

1 μόσχιος ms. *A*. 2 Λαΐς ms. *Ep*.

Lex haec aequa, & aequalis omnibus, scripta est versibus trecentis viginti tribus.

49. *Callistium* vero, cognomine Ptochelenam (i. e. *Pauperem Helenam*, vel *Helenam pauperum*) verbero quidam conduxerat: qui, quoniam aestas fuit, nudus cubabat. Igitur conspectis verberum notis: *Unde hae?* quaesivit Calliſtium. Tum ille: *Cum parvulus essem, fervens iusculum in me defusum est.* Cui illa: *Nempe vitulinum.* Menandro poëtae, cum post rem male in scena actam ad *Glyceram* introiisset, lac illa offerens hortata est ut sorberet. Respuit ille, quod *anum* (*rugosam cuticulam*) *ei superstare* diceret. *At*, inquit illa, *adflatu hanc remove, & eo utere quod infra est.* *Thais* iactabundo amatori, qui, quum a multis pocula commodo accepisset, dixit *se illa contusurum & alia paraturum*, ait: *Corrumpes id quod cuiusque proprium est.* *Leontium* cum amatore adcubabat

ἐπεισελθούσης εἰς τὸ συμπόσιον Γλυκέρας, καὶ τοῦ ἐραστοῦ αὐτῆς ταύτῃ μᾶλλον προσέχοντος, κατάστυγνος ἦν. ὡς δ' ἐπιστρέψας ὁ γνώριμος αὐτὴν ἠρώτησε, τί λυπεῖται· „Ἡ ὑστέρα με λυπεῖ·" ἔφη. Πρὸς Λαΐδα τὴν Κορινθίαν ἐραστὴς ἀποσφράγισμα πέμψας, ἐκέλευε παραγίνεσθαι. ἡ δ'· „Οὐ δύναμαι, εἶπε· πηλὸς ἐστί." Θαΐς πρὸς γράσωνα [1] πορευομένη ἐραστὴν, ἐπεί τις αὐτὴν ἠρώτα, ποῦ [2] πορεύεται; εἶπεν·

„Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος."

Φρύνη συνδειπνοῦσά ποτε γράσωνι, ἄρασα Φορίνην· „Λάβε, εἶπε, καὶ [3] κατάτραγε." Πέμψαντος δέ τινος αὐτῇ τῶν γνωρίμων οἶνον χρηστὸν μὲν, ὀλίγον δὲ, καὶ λέγοντος ὅτι δεκαέτης ἐστίν· „Μικρὸς, ὡς πολλῶν ἐτῶν·" ἔφη. Ζητουμένου δὲ ἔν τινι συμποσίῳ, διὰ

1 Γράσωνα vulgo, & mox Γράσωνι, veluti proprium nomen. 2 πῇ πορεύεται edd. 3 Delenda καὶ particula videtur.

menſae, quum ſupervenit convivio Glycera: ad quam cum ille magis adplicaret animum, contriſtabatur Leontium. Quod conſpicatus familiaris, ad eam ſe convertens quaeſivit, quidnam eſſet quod moleſtiam ei adferret? Cui illa, Ὑστέρα, reſpondit. (*Quod vocabulum perinde &* uterum *ſignificat, & eam quae* poſterior *venit.*) *Laidem* Corinthiam amator quidam, miſſo ſigillo, ad ſe venire iuſſit. *Non poſſum;* reſpondit illa: *lutum eſt. Thais* ad amatorem hircoſum proficiſcens, interrogata a nonnemine, *quo proficiſceretur?* reſpondit:

Cum Aegeo cohabitatum, Pandionis filio.

Phryne coenans aliquando cum hircoſo homine, porcinam cutem tollens, ait: *Cape,* κατατραγε. Eidem cum aliquis e familiaribus vinum mitteret bonum quidem, ſed exiguum, diceretque eſſe *decem annorum;* ait: *Exiguum, pro tanta aetate.* Cum in convivio quodam quae-

τίνα αἰτίαν οἱ στέφανοι κρήμνανται; εἶπεν „Ὅτι ψυχαγωγοῦσι.“ Μαστιγίου δέ τινος μειρακιευομένου f πρὸς αὐτὴν, καὶ φαμένου πολλαῖς συμπεπλέχθαι, καθ' ὑπόκρισιν ἐσκυθρώπασεν. ἐπερωτήσαντος δὲ τὴν αἰτίαν· „Ὀργίζομαί σοι, εἶπεν, ὅτι πολλὰς ἔχεις.“ Φιλάργυρος δέ τις ἐραστὴς ὑποκοριζόμενος αὐτὴν εἶπεν· „Ἀφροδίσιον εἶ Πραξιτέλους.“ ἡ δέ· „Σὺ δ' Ἔρως Φειδίου.“

L.

Meretrices oratoribus memoratae.

Ἐπεὶ δὲ καὶ τῶν πολιτικῶν οἶδά τινας μνημονεύοντας αὐτῶν, ἢ κατηγοροῦντας, ἢ ἀπολογουμένους, μνησθήσομαι καὶ τούτων. Δημοσθένης μὲν γὰρ ἐν τῷ κατὰ Ἀνδροτίωνος Σινώπης μέμνηται καὶ Φανοστράa της. καὶ περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ Κρατήτιος ἐν [1] ἕκτῳ Κωμῳδουμένων φησὶν, ὅτι Ἄβυδος ἐλέγετο [2] διὰ τὸ γραῦς εἶναι. μνημονεύει δ' αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι, καὶ ἐν Κηπουρῷ, ἐν Ἀκεστρίᾳ, ἐν

Sinope, cogn. *Abydus*.

1 Deeſt ἐν edd. 2 ἐκαλεῖτο edd.

ſitum eſſet, *cur ſuſpenderentur coronae?* dixit: *Quia animum obleƈtant.* Verberone quodam apud eamdem iuveniliter ſe efferente, dicenteque *ſe iam multas habuiſſe*, triſtitiam illa ſimulavit; cauſſamque roganti dixit, *Iraſcor tibi quod multas habueris.* Avarus quidam amator blandiens ei dixerat, *Aphrodiſium* (quaſi *Venuscula*) *es Praxitelis.* Cui illa: *Et tu, Cupido Phidiae.*

50. Quoniam vero ex iis etiam, qui rempublicam adminiſtrarunt, quosdam ſcio meretricum feciſſe mentionem, ſive quod accuſarent eas, ſive defenderent, etiam hasce commemorabo. Demoſthenes igitur in oratione contra Androtionem Sinopae meminit & Phanoſtratae. Ac de *Sinope* quidem Herodicus Cratetius, ſexto libro DE his qui a Comicis notati ſunt, ait *Abydum* fuiſſe dictam, quia vetula eſſet. Meminit eiusdem Antiphanes in Arcade, & in Hortulano, in Sartrice, in Piſca-

Ἁλιευομένῃ, ἐν Νεοττίδι· καὶ Ἄλεξις ἐν Κλεοβουλίνῃ· καὶ Καλλικράτης ἐν Μοσχίωνι. περὶ δὲ τῆς Φανοστράτης Ἀπολλόδωρός φησιν ἐν τῷ Περὶ τῶν Ἀθήνησιν Ἑταιρίδων, ὅτι Φθειροπύλη ἐπεκαλεῖτο, ἐπειδήπερ ἐπὶ τῆς θύρας ἑστῶσα ἐφθειρίζετο. Ὑπερίδης δὲ ἐν τῷ
Aphyae. κατὰ Ἀριστογόρας φησίν· „Καὶ πάλιν τὰς ἀφύας καλουμένας τὸν αὐτὸν τρόπον ἐκαλέσατε.“ ἑταιρῶν b ἐπωνυμία αἱ ἀφύαι, περὶ ὧν ὁ προειρημένος Ἀπολλόδωρος φησίν· „Σταγόνιον καὶ Ἄνθις ἀδελφαί. αὗται Ἀφύαι ἐκαλοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι, τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον.“ Ἀντιφάνης δ' ἐν τῷ Περὶ Ἑταιρῶν, Νικοστρατίδα φησὶν Ἀφύαν κληθῆναι διὰ τὴν αὐτὴν αἰτίαν. Ὁ δ' αὐτὸς Ὑπερίδης,
Glycera, Harpali amasia. ἐν τῷ κατὰ Μαντιθέου αἰκίας, [1] περὶ Γλυκέρας τάδε λέγει· „Ἄγων Γλυκέραν τε τὴν Θαλασσίδος, ζεῦγος ἔχων.“ ἄδηλον εἰ [2] αὕτη ἐστὶν ἡ παρ' Ἁρπάλῳ συν- c

1 αἰτίας vulgo. 2 Forſ. ἄδηλον δ' εἰ.

trice, in Iuvencula: item Alexis in Cleobulina, & Callicrates in Moſchione. De *Phanoſtrata* vero Apollodorus in libro de Meretriculis Atticis ait, *Phtheiropylen* fuiſſe eam adpellatam, quod pro foribus ſtans pediculos venari conſueſſet. Hyperides vero in oratione contra Ariſtagoram ait: *Et rurſus, quas Aphyas vocant, eodem modo vocaviſtis.* Meretricularum eſt cognomen illud, *Aphyae:* de quibus praedictus Apollodorus ait: »Stagonium & Anthis ſorores; quae *Aphyae* dicebantur, quod, cum candidae & tenues eſſent, ſimul magnos haberent oculos.« Antiphanes vero, in libro de Meretricibus, Nicoſtratidem ait *Aphyam* dictam fuiſſe, eamdem ob cauſſam. Idem vero Hyperides, in oratione contra Mantitheum iniuriarum reum, de *Glycera* haec dicit: *Glyceram Thalaſſidis filiam ſecum curru vehens.* Haud liquet an haec ea ſit, quae cum Harpalo conſuetudinem habuit;

οὖσα·[1] περὶ ἧς Φησι Θεόπομπος ἐν τοῖς Περὶ τῆς Χίας Ἐπιστολῆς,[2] ὅτι μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν· ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ προσκυνεῖσθαι ὑπὸ τοῦ πλήθους, βασίλισσαν προσαγορευομένην· ἀπειρῆσθαί τε ἐπὶ πᾶσι[3] μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν. ἐν Ῥωσσῷ[4] δὲ καὶ εἰκόνα χαλκῆν αὐτῆς ἱστάναι[5] τολμῆσαι παρὰ τὴν ἑαυτοῦ.[6] τὰ ὅμοια δὲ εἴρηκε καὶ Κλείταρχος ἐν ταῖς Περὶ Ἀλέξανδρον Ἱστορίαις. Ὁ δὲ γράψας τὸν Ἀγῆνα[7] τὸ Σατυρικὸν δραμάτιον, εἴτε Πύθων ἐστὶν ὁ Καταναῖος, ἢ αὐτὸς ὁ βασιλεὺς Ἀλέξανδρος, Φησί· Agen, drama satyricum Alexandri.

Καὶ μὴν ἀκούω μυριάδας τὸν Ἅρπαλον
αὐτοῖσι τῶν[8] Ἀγῆνος οὐκ ἐλάττονας[9]

1 συνοικοῦσα edd. 2 ἐν ταῖς Ἀρχαϊκαῖς Ἐπιστολαῖς corr. Casaub. ἐν τῇ πρὸς τοὺς Χίους Ἐπιστολῇ Sylburg. Forſ. ἐν ταῖς περὶ τῆς Χίας Ἐπιστολαῖς, vel ἐν τῇ περὶ τῆς Χίας Ἐπιστολῇ. 3 πᾶσι, *absque* ἐπὶ, ms. *Ep.* 4 Ῥωσῷ ms. *Ep.* 5 ἑστάναι edd. cum ms. *A.* 6 παρ' αὐτὴν ἑαυτοῦ edd. cum ms. *A.* Forſan debuerat παρ' αὐτὴν τὴν τοῦ βασιλέως καὶ τὴν ἑαυτοῦ. 7 Ἄγνια vulgo h. l. 8 αὐτοῖσι τόνων edd. h. l. 9 ἐλάττονος edd. h. l. cum Msto.

de qua Theopompus in Epiſtola pro Chiis ſcripta ait, poſt Pythionicae obitum Harpalum Athenis acciviſſe Glyceram: quae cum veniſſet, in regia habitavit Tarſi, & a populo adorata eſt, & regina adpellata: vetitumque fuiſſe, ait, ne quis Harpalum coronâ donaret, quin ſimul Glyceram coronaret. Eumdem in oppido Roſſo etiam ſtatuam illius aeneam ponere conatum eſſe iuxta ſuam. Paria ſcripſit Clitarchus in Hiſtoriis de rebus Alexandri. Qui vero *Agena* ſcripſit drama Satyricum, ſive is Python fuit Catanaeus, ſive ipſe rex Alexander, ait:

Atqui audio, myriadas Harpalum
frumenti illis miſiſſe non pauciores.

σίτου παραπέμψαι, καὶ πολίτην γεγονέναι.
Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἔσται δ' ἴσως
αὐτοῖς ὀλέθρου, κοὐχ ἑταίρας ἀρραβών.

LI. Meretrices artem desinentes.

Λυσίας δ' ἐν τῷ πρὸς Λαΐδα, εἴγε γνήσιος ὁ λό- e
γος, τούτων μνημονεύει· „Φιλύρα γέ τοι ἐπαύσατο
πορνευομένη ἔτι νέα οὖσα, καὶ Σκιώνη, καὶ Ἱππά-
φεσις, καὶ Θεόκλεια, καὶ Ψαμάθη, καὶ Λαγίσκα, [1]
καὶ Ἄνθεια." Μήποτε δὲ δεῖ γράφειν ἀντὶ τῆς Ἀν-
θείας, Ἄντειαν; [2] οὐ γὰρ εὑρίσκομεν παρ' οὐδενὶ Ἀν- Antea.
θειαν ἀναγεγραμμένην ἑταίραν. ἀπὸ δὲ Ἀντείας καὶ
ὅλον δρᾶμα ἐπιγραφόμενον, ὡς προεῖπον, Εὐνίκου ἢ
Φιλυλλίου, Ἄντεια ἐστί. καὶ ὁ τὸν κατὰ Νεαίρας δὲ
λόγον γράψας μνημονεύει αὐτῆς. ἐν δὲ τῷ κατὰ Φι-
λωνίδου βιαίων, ὁ Λυσίας, εἰ γνήσιος ὁ λόγος, καὶ f
Ναΐδος τῆς ἑταίρας μέμνηται· κἀν τῷ πρὸς Μέδοντα

1 Λαγνίσκα h. l. edd. 2 Ἄντιαν h. l. ms. *A.* & sic deinde Ἀντίας, & Ἄντια.

quam Agen, & civem esse receptum.
Glycerae illud frumentum erat: erit vero fortasse
perniciei illis, non meretricis arrha.

51. Lysias in oratione contra Laidem, si modo illius revera est, harum meminit: » *Philyra* sane desierat scortari cum adhuc iuvenis esset, item *Sciona*, & *Hippaphesis*, & *Theoclea*, & *Psamatha*, & *Lagisca*, & *Anthea*. « Sed videndum ne pro *Anthea* debuerit *Antea* scribi: nam apud neminem alium commemoratam Antheam meretricem reperimus. Ab Antea vero etiam integra fabula, ut iam ante dixi, titulum habet, Eunici sive Philyllii Antea. Et auctor orationis contra Neaeram eiusdem meminit. Lysias vero, in oratione (si genuina est) adversus Philonidem ob vim illatam, etiam *Naidis* meretricis meminit: & in illa contra Medontem falsi testi-

ψευδομαρτυριῶν, [Ἀντικύρας.][1] ἐπώνυμον δέ ἐστι τοῦτο ἑταίρας· τὸ γὰρ κύριον ἦν Οἶα, ὡς Ἀντιφάνης εἴρηκεν ἐν τῷ Περὶ Ἑταιρῶν, Ἀντίκυραν[2] αὐτὴν φάσκων κληθῆναι, ἤτοι ὅτι συνέπινε παρακινοῦσι καὶ μεμηνόσιν, ἢ ὅτι αὐτὴν ἀναλαβὼν ὁ ἰατρὸς Νικόστρατος, καὶ ἀποθνήσκων κατέλιπεν αὐτῇ πολὺν ἑλλέβορον, ἄλλο δὲ οὐδέν. Καὶ Λυκοῦργος, ἐν τῷ κατὰ Λεωκράτους, Εἰρηνίδος ἑταίρας μέμνηται, ὡς ἑταιρούσης τῷ Λεω-
a κράτει. Νικοῦς δὲ[3] Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. αὕτη δὲ ὅτι Αἰξ ἐπεκαλεῖτο προείπομεν, διὰ τὸ Θαλλὸν τὸν κάπηλον ἐξαναλῶσαι. ὅτι δὲ θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ' εἰς ἀκρόπολιν ἄνεισι τὸ ζῶον, οὐδ' ὅλως Ἀθηνᾷ θύεται διὰ τοῦτο,

Anticyra meretrix.

Nico: *sive* Nannium.

1 Deest vulgo h. l. nomen Ἀντικύρας. 2 Forſ. καὶ Ἀντίκυραν. 3 Ναννίου δὲ uterque codex mstus, & Harpocration, ex eoque Suidas. Forſan tali quodam modo ſcripſerat Athenaeus, Ναννίου δὲ, ᾗ καὶ Νικὼ, Ὑπερίδης &c.

monii cauſſâ, *Anticyrae* mentionem facit; quod eſt cognomen meretricis, cuius proprium nomen *Hoia* fuit, ut tradit Antiphanes in Libro de Meretricibus: Anticyram cognominatam dicens, ſive quod compotare conſueſſet cum male ſanis hominibus furentibusque; ſive quod Nicoſtratus medicus, cum illam domum ſuam recepiſſet, moriens multum hellebori ei reliquiſſet, praetereaque nihil. Porro Lycurgus, in oratione contra Leocratem, *Irenidis* meretricis meminit, ut quae cum Leocrate conſueſſet. *Nannii* vero [cui proprium nomen *Nico* fuerat?] Hyperides meminit, in oratione contra Patroclem. Fuiſſe autem hanc *Capram* cognominatam, ſupra diximus, quoniam *Thallum* propolam ſumtibus exhauſit. De capris vero, quod ſint *thalli* (i. e. olivae rami) cupidae, ob eamque cauſſam cautum ſit ne in Arcem adſcendat hoc animal, neque Minervae eâdem de cauſſâ mactetur capra,

ἄλλος ἔσται λόγος. ἀλλὰ ὅ γε Σοφοκλῆς ἐν Ποιμέσιν, ὅτι θαλλοφαγεῖ τὸ ζῷον, φησὶν οὕτως·

Ἑωθινὸς γὰρ πρίν τιν' αὐλητῶν ὁρᾶν,
θαλλὸν χιμαίρᾳ προσφέρων νεοσπάδα, [1]
εἶδον [2] στρατὸν στείχοντα παρ' ἁλίαν ἄκραν. [3] b

Μνημονεύει τῆς Ναννίου [4] καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως·

— Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ. —

κωμῳδῶν αὐτὴν ὡς μέθυσαν. [5] Μένανδρος δ' ἐν Ψευδηρακλεῖ φησίν·

— Οὐκ ἐπείρα Νάννιον;

Ἀντιφάνης δ', ἐν τῷ περὶ Ἑταιρῶν· „Προσκήνιον, φησὶν, ἐπεκαλεῖτο ἡ Νάννιον, ὅτι πρόσωπόν τε ἀστεῖον εἶχε, καὶ ἐχρῆτο χρυσέοις καὶ [6] ἱματίοις πολυτελέσι, ἐκδῦσα δὲ ἦν αἰσχροτάτη. ἦν δὲ Κορώνη [7] τῆς Ναννίου

1 νεὸς παῖδα Ms. νεὸς πόδα edd. 2 ἶδον Ms. 3 παραλίαν πέτραν corr. Brunck. 4 Ναννίου ed. Baſ. & Caſaub. 5 μέθυσον edd. μέθυτσαν Ms. Forſ. μεθύουσαν. 6 Deeſt καὶ ms. Ep. Forſ. χρυσ. ἱματ. καὶ πολυτ. 7 Κορώνης Ms.

alius erit dicendi locus. Caeterum, thallis veſci hoc animal, Sophocles in Paſtoribus declaravit, his verbis:

Mane priusquam ſtabulariorum quisquam vidiſſet,
cum thallum caprae adferrem recens-decerptum,
vidi exercitum iuxta maritimum promontorium incedentem.

Nannii meminit etiam Alexis in Tarentinis, ubi ait:

Nannium furioſe Bacchum adpetit:

nempe ut vinolentam notans. Menander vero in Falſo-Hercule ait:

Nonne ſolicitavit Nannium?

Antiphanes autem in libro de Meretricibus ait: »*Proſcenium* cognominata eſt *Nannium*, quod facie quidem pulcra eſſet, & aureis ſumtuoſisque uteretur veſtibus: poſitis autem veſtibus perquam eſſet deformis. Fuit autem

θυγάτηρ, τὸ τῆς Τήθης [1] ἀναφέρουσα ἐκ τριπορνείας
c ὄνομα." Καὶ Νεμεάδος δὲ τῆς αὐλητρίδος Ὑπερίδης [2] Nemeas.
μνημονεύει ἐν τῷ κατὰ Πατροκλέους. περὶ ἧς ἄξιον
θαυμάζειν, πῶς περιεῖδον Ἀθηναῖοι οὕτω προσαγορευο-
μένην τὴν πόρνην, πανηγύρεως ἐνδοξοτάτης ὀνόματι κε-
χρημένην· κεκώλυτο γὰρ τὰ τοιαῦτα τίθεσθαι ὀνόμα-
τα οὐ μόνον ταῖς ἑταιρούσαις, ἀλλὰ καὶ ταῖς ἄλ-
λαις δούλαις, ὥς φησι Πολέμων ἐν τοῖς Περὶ Ἀκρο-
πόλεως.

Καὶ Ὠκίμου δὲ τῆς ἐμῆς, ὡς σὺ φὴς Κύνουλ- LII.
κε, καὶ Ὑπερίδης μέμνηται ἐν τῷ κατὰ Ἀριστα- Ocimum.
d ρας δευτέρῳ, λέγων οὕτως· „Ὥστε Λαὶς μὲν ἡ δο-
κοῦσα τῶν πώποτε διενηνοχέναι τὴν ὄψιν, καὶ Ὠκι-
μον καὶ Μετάνειραν." [3] Νικόστρατος δὲ, [4] ὁ τῆς μέ-
σης κωμῳδίας ποιητὴς, ἐν Παν δρότῳ, οὐτωσὶ λέγων·

Ἔπειτα τῆς αὐτῆς ὁδοῦ πρὸς Ἀερόπην

1 τηθῆς Ms. 2 Ὑπερείδης edd. 3 Forſ. Μετάνειρα. 4 Forſ. Νικοστ. τε.

Corona (*Cornix*) Nannii filia, quae ex triplici ſcortatione *Tethes* nomen retulit." Meminit vero Hyperides etiam *Nemeadis* tibicinae, in oratione contra Patroclem. Ubi haud immerito mireris, paſſos eſſe Athenienſes meretricem ita adpellari nomine a celeberrima ſolennitate deſumto; cum non modo meretricibus, verum etiam aliis ſervis mulieribus, talia imponi nomina legibus vetitum fuiſſet, ut ait Polemo in libris DE Arce Athenarum.

52. Sed & *Ocimi* mei, ut tu ais Cynulce, idem Hyperides meminit, in ſecunda contra Ariſtagoram oratione, ubi ait: *Ut Lais quidem, quae videtur formâ praeſtare omnibus quae umquam fuere, & Ocimum & Metanira.* Item Nicoſtratus, mediae comoediae poëta, in Pandroſo, ita dicens:

Deinde eâdem viâ ad Aëropen

ἐλθοῦσα, πέμψαι στρώματ' αὐτὴν αὐτίκα [1]
κελεύε καὶ παρ' Ὤκιμον χαλκώματα.

Varia meretricum nomina.

Μένανδρος δ' ἐν Κόλακι τάσδε καταλέγει ἑταίρας·
Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα, e
καὶ Νανν́αριον [2] ἔσχηκας ὡραίαν σφόδρα.

Φιλέταιρος, ἐν Κυνηγίδι· [3]

Οὐχὶ Κερκώπη μὲν ἤδη γέγον' [4] ἔτη τρισχίλια·
ἡ δὲ Διοπείθους ἀειδὴς Τέλεσις ἕτερα μυρία;
Θεολύτην δ' οὐκ οἶδεν [5] οὐδείς, ὅτε τὸ πρῶτον ἐγέ-
νετο.
οὐχὶ Λαὶς μὲν τελευτῶσ' ἀπέθανε βινουμένη;
Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε, καὶ Φίλα. [6]
Κοσσύφας δὲ [7] καὶ Γαλείνας [8] καὶ Κορώνας οὐ f
λέγω·
περὶ δὲ Ναΐδος σιωπῶ, γομφίους γὰρ οὐκ ἔχει.

1 Deeſt vox vulgo, & deſinit verſus in κέλευ', proximus vero incipit ab ἔφη καὶ παρ' Ὤκ. 2 Νάννιον edd. 3 Κυναιγίδι edd. 4 γεγόνει ἔτη edd. cum ms. *A*. 5 Θεολ. δ' οἶδεν οὐδεὶς vulgo. 6 Totus verſus deeſt editis. 7 Duo verba deſunt edd. 8 Γαλήνας ed. Ven. Γαλύνας ed. Baſ. & Caſ. Γαλίνας Heſych.

perge, eamque ſtragula ſtatim mittere
iube & aenea vaſa ad Ocimum.

Menander vero in Aſſentatore hasce commemorat meretrices:

Chryſidem, Coronam, Anticyram, Iſchadem,
& Nanniolum habuiſti formoſam admodum.

Philetaerus, in Venatrice:

Nonne Cercopa iam ter mille annos nata eſt?
deformis autem Teleſis, Diopeithis filia, decem mille?
Theolyta vero nemo prorſus novit quando primum nata ſit.
Lais autem nonne ad extremum in ipſo coitu exſtincta eſt?
Iſthmias vero & Neaera putruerunt, item Phila.
Coſſyphas vero & Galenas & Coronas taceo;
& Naidem ſilentio praetereo: molares enim non habet.

Θεόφιλος, Φιλαύλῳ·

Τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
Φερόμενον, ἢ Μηκωνίδ', ἢ Σισύμβριον,
ἢ Βάραθρον, ἢ Θάλλουσαν, ἢ τούτων τινὰ
ὧν ἐμπλέκουσι τοῖς λίνοις [1] αἱ μαστροποὶ,
ἢ Νάννιον, ἢ Μαλθάκην. [2]

LIII. Hedonici philoſophi.

Τοσαῦτ' εἰπὼν μετά τινος τροχιλίας ὁ Μυρτίλος· a Μή τι τοιοῦτον ὑμεῖς οἱ Φιλόσοφοι, ἔφη, οἱ καὶ πρὸ τῶν Ἡδονικῶν καλουμένων αὐτοὶ τὸν τῆς ἡδονῆς τοῖχον ὑποσκάπτοντες, ὥς που ὁ Ἐρατοσθένης [3] φησί. Καὶ μοὶ μὲν τὰ καλὰ τῶν ἑταιρῶν ἀποφθέγματα πεπεράνθω μέχρι τούτων· ἐπ' ἄλλο δ' εἶδος μεταβήσομαι λόγων. καὶ πρῶτόν γε μνησθήσομαι τοῦ Φιλαληθεστάτου Ἐπικούρου· ὅστις ἐγκυκλίου παιδείας ἀμύητος ὢν, ἐμακάριζε καὶ τοὺς ὁμοίως αὐτῷ ἐπὶ Φιλοσοφίαν

1 λίθοις vulgo. δικτύοις corr. Purſ. 2 ἢ Ναύσιον ἢ Μαλαθάκην Ms. 3 Ἐρασθένης edd.

Theophilus, Philaulo: (Tibiarum ſtudioſo:)

Ne forte ille in Laidem incidat
praeceps aut Meconidem aut Siſymbrium
aut Barathrum aut Thalluſam, aut harum aliquam,
quarum retibus implicant lenae,
aut in Nannium aut Malthacen.

53. Haec omnia quum mirâ quadam volubilitate Myrtilus pronunciaſſet: Ne quid tale vobis accidat, inquit, philoſophi, qui ipſi magis etiam, quam hi quos *Hedonicos* (i. e. *Voluptarios*) vocant, *voluptatis murum ſuffoditis*, ut alicubi Eratoſthenes ait. Et equidem ſcite a meretricibus dictorum, quae hactenus perſecutus ſum, finem hîc faciam, ad aliud genus ſermonum transiens. Ac primum quidem mentionem faciam amantiſſimi veritatis *Epicuri*: qui, cum cyclicarum diſciplinarum (quas *literas humaniores* vocamus) rudis eſſet, beatos praedicabat eos qui ſimili ratione atque ipſe ad philoſophiam acce-

παρερχομένους, τοιαύτας φωνὰς προϊέμενος· „Μακαρίζω σε, ὦ οὗτος, ὅτι καθαρὸς πάσης αἰτίας [1] ἐπὶ φιλοσοφίαν ὥρμησας.“ ὅθεν αὐτὸν καὶ ὁ Τίμων φησίν· b

Γραμμαδιδασκαλίδην [2] ἀναγωγότατον ζωόντων.

Leontium, amasia Epicuri.

Οὗτος οὖν Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην, τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; ἢ δὲ οὐχ, ὅτε φιλοσοφεῖν ἤρξατο, ἐπαύσατο ἑταιροῦσα, πᾶσί τε τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις, Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν· ὥστ' ἐκεῖνον πολλὴν φροντίδα ποιούμενον αὐτῆς, τοῦτ' ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαρχον [3] ἐπιστολῶν.

LIV.

Lais, Hyccaris ex Sicilia Corinthum venit.

Λαΐδος τε τῆς ἐξ Ὑκκάρων (πόλις δ' αὕτη Σικελικὴ, ἀφ' ἧς αἰχμάλωτος γενομένη ἦκεν εἰς Κόρινθον, ὡς ἱστορεῖ Πολέμων ἐν τῷ ἕκτῳ τῶν πρὸς Τίμαιον· ἧς καὶ Ἀρίστιππος ἤρα, καὶ Δημοσθένης ὁ ῥή- c

1 Immo πάσης παιδείας. 2 Γραμμοδιδασκ. apud Laërt. 3 Ἔρμαχον vulgo.

derent, tales emittens voces: *Beatum te praedico, o homo, quod ab omni culpâ immunis* (sive, *ab omni disciplinâ purus*) *ad philosophiam accesseris.* Quare eumdem Timon dixit,

Ludimagistrum omnium qui vivunt rudissimum.

Hic igitur Epicurus nonne *Leontium*, famosam meretricem, habuit amasiam? quae ne tum quidem, cum philosophari coepit, desiit scortari, sed cum Epicureis omnibus rem habuit in hortis, cum Epicuro vero etiam palam; ita quidem ut magnam illius curam habens philosophus, etiam in Epistolis ad Hermarchum hoc ipsum declaraverit.

54. *Laidis* vero Hyccaraeae (oppidum Hyccara est Siciliae, e quo illa bello capta Corinthum venerat, ut tradit Polemo sexto librorum contra Timaeum: quam & Aristippus amavit, & orator Demosthenes, & Dio-

τωρ, Διογένης τε ὁ κύων· ἣ καὶ Ἀφροδίτη ἡ ἐν Κορίνθῳ ἡ Μελαινὶς [1] καλουμένη, νυκτὸς ἐπιφαινομένη ἐμήνυεν ἐραστῶν ἔφοδον πολυταλάντων·) οὐχ [2] Ὑπερίδης μνημονεύει ἐν τῷ κατὰ Ἀριστογόρας δευτέρῳ; Ἀπελλῆς δὲ ὁ ζωγράφος ἔτι [3] παρθένον οὖσαν τὴν Λαΐδα θεασάμενος ἀπὸ τῆς Πειρήνης ὑδροφοροῦσαν, καὶ θαυμάσας τὸ κάλλος, ἤγαγέ ποτε αὐτὴν εἰς φίλων συμ-
d πόσιον. χλευασάντων δ' αὐτὸν τῶν ἑταίρων, ὅτι ἀνθ' ἑταίρας παρθένον εἰς τὸ συμπόσιον ἀγάγοι· „Μὴ θαυμάσητε, εἶπεν, ἐγὼ γὰρ αὐτὴν εἰς μέλλουσαν ἀπόλαυσιν μετ' οὐδ' ὅλην τριετίαν καλὴν δείξω." Τὸ δ' αὐτὸ καὶ Σωκράτης ἐμαντεύσατο περὶ Θεοδότης τῆς Ἀθηναίας, ὥς φησι Ξενοφῶν ἐν [4] Ἀπομνημονεύμασιν· „Ὅτι δὲ [5] καλλίστη εἴη, καὶ στέρνα κρείττω λόγου παντὸς ἔχοι, ἔλεγε. [6] ἰτέον ἡμῖν, ἔφη, θεασομένοις τὴν γυναῖκα· οὐ γὰρ δὴ ἀκούσασί [7] ἐστι κρῖναι τὸ

1 Μελανὶς edd. 2 οὔ Ὑπερίδης edd. 3 ὅτι παρθ. edd. 4 Deest ἐν edd. 5 δὴ forsan. 6 ἔλεγέν τε Ms. 7 ἀκούσιον Ms.

genes canis: cui etiam *Venus* quae Corinthi est, quae *Melaenis* vocatur, nocturno viso oblata, significare solebat amatorum adventum multa argenti talenta ferentium:) huius igitur nonne etiam Hyperides meminit secundâ contra Aristogoram oratione? Apelles vero pictor Laidem conspicatus, cum virgo adhuc esset, aquam ferentem e Pirene fonte, pulcritudinemque eius admiratus, in amicorum convivium aliquando induxit. Quem cum riderent sodales, quod pro meretrice virginem in convivium adduceret: *Ne miremini*, inquit: *ego enim eam, priusquam triennium fuerit elapsum, ad futuram fruitionem peridoneam vobis ostendam.* Idem etiam auguratus est Socrates de Theodota Athenienſi, ut ait Xenophon in Memorabilibus: »*Esse autem pulcerrimam, & pectus habere supra quam verbis exprimi possit*, dixit aliquis. Tum ille: *Eundum est igitur nobis spectatum mulierem: ex auditu quip-*

κάλλος." Οὕτω δ' ἦν ἡ Λαὶς καλὴ, ὡς καὶ τοὺς ζωγράφους ἐρχομένους πρὸς αὐτὴν ἀπομιμεῖσθαι τῆς γυ- e
ναικὸς τοὺς μαστοὺς καὶ τὰ στέρνα. διαζηλοτυπουμένη δέ ποτε ἡ Λαὶς [1] Φρύνῃ, πολὺν ἐραστῶν ἔσχηκεν [2] ὄμιλον, οὐ διακρίνουσα πλούσιον ἢ πένητα, οὐδ' ὑβριστικῶς αὐτοῖς χρωμένη. [3]

LV. Lais, Aristippus & Diogenes.

Ἀρίστιππος δὲ κατὰ ἔτος συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις· καὶ ὀνειδιζόμενος ὑπὸ οἰκέτου, ὅτι „σὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται·" ἀπεκρίνατο· „Ἐγὼ Λαΐδι χορηγῶ πολλὰ, ἵνα αὐτὸς αὐτῆς ἀπολαύω, οὐχ' ἵνα μὴ ἄλλος." Τοῦ δὲ Διογένους εἰπόν- f
τος αὐτῷ· „Ὦ Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ. ἢ κύνιζε γοῦν, [4] ὡς ἐγὼ, ἢ πέπαυσο." καὶ ὁ Ἀρίστιππος· „Ἆρά γε μή τι σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν οἰκεῖν ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι;" — „Οὐ

1 δὲ ἡ Λαὶς ποτε edd. 2 ἔσχεν edd. 3 αὐτῇ χρωμένους edd. 4 κύνιζε οὖν edd.

pe de eius pulcritudine iudicare non valemus." Tam pulcra autem fuit Lais, ut pictores illam adirent, ubera pectusque mulieris penicillo imitaturi. Quum autem aemulatione contenderet olim Lais cum Phryne, ingentem habuit amatorum multitudinem, nullum discrimen faciens opulentorum pauperumque, neque arrogantius cum eis agens.

55. *Aristippus* vero quotannis totos dies cum illa transegit Aeginae per Neptuni ferias: cui quum aliquando exprobraret famulus, quod tantam argenti vim daret ei, quae gratis cum *Diogene* cane volutaretur; *Ego*, inquit, *Laidi multa dono, ut ego illa fruar, non ut nemo alius.* Eidem dixit aliquando Diogenes: *O Aristippe, cum publica meretrice consuetudinem habes. Itaque aut prorsus, ut ego, Cynicam sequere sectam, aut desiste.* Cui Aristippus: *An ergo tibi absurdum videtur, Diogenes, aedes habitare, quas alii prius ha-*

γάρ." ἔφη. — „Τί δέ;[1] ναῦν, ἐν ᾗ πολλοὶ πεπλεύκασιν;" — „Οὐδὲ τοῦτο." ἔφη. — „Οὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν, ᾗ πολλοὶ κέχρηνται." Νυμφόδωρος δ' ὁ Συρακόσιος[2] ἐν τῷ Περὶ τῶν ἐν Σι-
a κελίᾳ θαυμαζομένων, ἐξ Ὑκκάρου φησὶ Σικελικοῦ φρουρίου εἶναι τὴν Λαΐδα. Στράττις δ', ἐν Μακεδόσιν ἢ Παυσανίᾳ, Κορινθίαν αὐτὴν εἶναί φησι, διὰ τούτων·

A. Εἰσὶν δὲ πόθεν[3] αἱ παῖδες αὗται, καὶ τίνες;
B. Νῦν [αἱ][4] μὲν ἥκουσιν Μεγαρόθεν· εἰσὶ δὲ
Κορίνθιαι· Λαΐς μὲν, ἡ μέγα κλέος.

Τίμαιος δ' ἐν τῇ τρισκαιδεκάτῃ τῶν Ἱστοριῶν, ἐξ Ὑκκάρων· καθὰ καὶ Πολέμων εἴρηκεν, ἀναιρεθῆναι φάσκων αὐτὴν ὑπό τινων γυναικῶν ἐν Θετταλίᾳ, ἐρασθεῖσάν τινος Παυσανίου Θετταλοῦ, κατὰ φθόνον καὶ
b δυσζηλίαν ταῖς ξυλίναις χελώναις τυπτομένην ἐν Ἀφρο-

1 τί δαί; ms. *A.* 2 Συρακούσιος edd. 3 Εἰσὶν δ' ὅθεν vulgo. 4 Deeſt vocula vulgo. Forſ. Νῦν δὴ μέν.

bitaverint? — *Minime vero:* inquit ille. — *Quid? navem conſcendere, in qua multi navigaverint?* — *Ne hoc quidem:* inquit. — *Sic ergo nec abſurdum eſt, cum muliere conſuetudinem habere, qua multi iam ſint uſi.* Nymphodorus Syracuſius, in libro de Siciliae Mirabilibus, *Hyccaro* ortam eſſe *Laidem* ſcribit, Siculo caſtello. Strattis vero, in Macedonibus ſive Pauſania, *Corinthiam* eſſe ait, his verbis:

A. *Unde ſunt autem hae puellae, & quaenam?*
B. *Nunc quidem veniunt illae Megaris: ſunt autem Corinthiae: Lais quidem, magnum (urbis) decus.*

Timaeus vero decimo tertio libro Hiſtoriarum, *ex Hyccaris* ait, quemadmodum etiam Polemo dixit: occiſam fuiſſe tradens a mulieribus nonnullis in Theſſalia, cum amore capta eſſet Pauſaniae cuiusdam Theſſali, per invidiam & zelotypiam ligneis ſcabellis oppreſſam in Ve-

δίτης ἱερῷ. διὸ καὶ τὸ τέμενος κληθῆναι Ἀνοσίας [1] Ἀφροδίτης. δείκνυσθαι δ' αὐτῆς τάφον παρὰ τῷ Πηνειῷ, σημεῖον [2] ἔχοντα ὑδρίαν [3] λιθίνην, καὶ ἐπίγραμμα τόδε·

Τῆσδέ ποθ' ἡ μεγάλαυχος ἀνίκητός τε πρὸς ἀλκὴν
Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,
Λαΐδος· ἣν τέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος·
κεῖται δ' ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

Αὐτοσχεδιάζουσιν οὖν οἱ λέγοντες αὐτὴν ἐν Κορίνθῳ τετάφθαι πρὸς τῷ Κρανίῳ. c

LVI. Aristotelis & Platonis amores.

Ἀριστοτέλης δὲ ὁ Σταγειρίτης [4] οὐκ ἐξ Ἑρπυλλίδος τῆς ἑταίρας ἐπαιδοποίησε Νικόμαχον, καὶ συνῆν ταύτῃ μέχρι θανάτου; ὥς φησιν Ἕρμιππος ἐν τῷ Περὶ Ἀριστοτέλους πρώτῳ, ἐπιμελείας φάσκων τῆς δεούσης τετυχηκέναι ἐν ταῖς τοῦ φιλοσόφου διαθήκαις. Ὁ δὲ καλὸς ἡμῶν Πλάτων οὐκ Ἀρχαιάνασσαν [5] τὴν Κο-

1 ἀνοσίης edd. 2 Abeſt vox edd. 3 ἔδραν corr. Winckelm. 4 ὁ σατυριστὴς mssti. 5 Ἀρχεάνασσαν edd. & ſic mox iterum.

neris templo: inde templo nomen impoſitum eſſe *Impiae Veneris*. Monſtrari autem, ait, ſepulcrum eius iuxta Peneum, ſignum habens hydriam lapideam, cum hac inſcriptione:

Huius pulcritudine Deabus aequiparandae in ſervitutem olim redacta eſt invictâ fortitudine glorians Graecia,
Laidis; quam genuit Amor, nutrivitque Corinthus:
iacetque nunc in campis nobilibus Theſſaliae.

Quare nugantur qui Corinthi eam prope Craneum ſepultam dicunt.

56. *Ariſtoteles* vero Stagirita nonne ex Herpyllide meretrice Nicomachum generavit, & cum eâ conſuetudinem habuit usque ad vitae finem? ut ait Hermippus libro primo De Ariſtotele, dicens etiam, magnam illius curam habitam fuiſſe in philoſophi teſtamento. Elegans vero noſter *Plato* nonne Archaeanaſſam amavit mere-

λοφωνίαν ἑταίραν ἠγάπα; ὡς καὶ ᾄδειν εἰς αὐτὴν τάδε·

Ἀρχαιάνασσαν ἔχω τὴν ἐκ Κολοφῶνος ἑταίρην,
ἧς καὶ ἐπὶ ῥυτίδων [1] πικρὸς ἔπεστιν ἔρως.

d Ἆ δειλοὶ, νεότητος ἀπαντήσαντες [2] ἐκείνης
πρωτοπόρου, δι' ὅσης ἤλθετε [3] πυρκαϊῆς!

Περικλῆς δὲ ὁ Ὀλύμπιος, ὥς φησι Κλέαρχος ἐν πρώτῳ Ἐρωτικῶν, οὐχ ἕνεκεν Ἀσπασίας τῆς νεωτέρας, [4] ἀλλὰ τῆς Σωκράτει τῷ σοφῷ συγγενομένης, καί περ τηλικοῦτον ἀξίωμα συνέσεως καὶ πολιτικῆς δυνάμεως κτησάμενος, οὐ συνετάραξε πᾶσαν τὴν [5] Ἑλλάδα; Ἦν δ' οὗτος ἀνὴρ πρὸς ἀφροδίσια πάνυ καταφερής· ὅστις καὶ τῇ τοῦ υἱοῦ γυναικὶ συνῆν, ὡς Στησίμβροτος ὁ Θάσιος ἱστορεῖ, κατὰ τοὺς αὐτοὺς αὐτῷ χρόe νους γενόμενος, καὶ ἑωρακὼς αὐτὸν, ἐν τῷ ἐπιγραφο-

Aſpaſia, & aliae Periclis amaſiae.

1 καὶ ἀποῤῥυτίδων ms. *A.* 2 ὑπαντιάσαντες forſ. 3 ἥκετε edd. 4 δι' Ἀσπασίαν τὴν νεωτέραν, οὐ τὴν Σωκράτει συγγενομ. ms. *Ep.* 5 Deeſt articulus editis.

tricem Colophoniam? ita quidem ut in illam verſus etiam hos cecinerit:

Archaeanaſſam habeo ex Colophone amicam,
cuius ſuper rugis etiam amarus amor ſedet.
Oh miſeri, qui iuventutem nacti eſtis illius
primum huc transvectae, quanta per incendia eundum vobis fuit!

Pericles vero Olympius, ut ait Clearchus primo Eroticorum, propter *Aſpaſiam*, non hanc iuniorem, ſed illam quae cum ſapiente Socrate verſata eſt, tantam licet prudentiae laudem, tantamque in republica potentiam conſecutus, nonne totam conturbavit Graeciam? Fuit autem hic vir ad rem veneream admodum proclivis: qui etiam cum filii ſui uxore rem habuit, ut tradit Steſimbrotus Thaſius, qui eisdem temporibus vixit, illumque viderat, in libro cui titulus eſt DE THE-

μένῳ Περὶ Θεμιστοκλέους καὶ Θουκυδίδου καὶ Περικλέους. Ἀντισθένης [1] δὲ ὁ Σωκρατικὸς, ἐρεισθέντα, φησὶν, αὐτὸν Ἀσπασίας, δὶς τῆς ἡμέρας εἰσιόντα καὶ ἐξιόντα ἀπ' αὐτῆς ἀσπάζεσθαι τὴν ἄνθρωπον· καὶ φευγούσης ποτὲ αὐτῆς γραφὴν ἀσεβείας, λέγων ὑπὲρ αὐτῆς, πλείονα ἐδάκρυσεν, ἢ ὅτε ὑπὲρ τοῦ βίου καὶ τῆς οὐσίας ἐκινδύνευσεν. καὶ Κίμωνος δ' Ἐλπινίκη τῇ ἀδελφῇ παρανόμως συνόντος, εἶθ' ὕστερον ἐκδοθείσης Καλλίᾳ, καὶ φυγαδευθέντος, μισθὸν ἔλαβε τῆς καθόδου αὐτοῦ ὁ Περικλῆς τὸ τῇ Ἐλπινίκῃ μιχθῆναι.[2] Πυθαίνετος [3] ἐν τρίτῳ περὶ Αἰγίνης, Περίανδρον, φησὶν, ἐξ Ἐπιδαύρου [4] τὴν Προκλέους θυγατέρα Μέλισσαν ἰδόντα Πελοποννησιακῶς ἠσθημένην [5] (ἀναμπέχονος γὰρ καὶ μονοχίτων ἦν, καὶ ὠνοχόει τοῖς ἐργαζομένοις) ἐρασθέντα γῆμαι. Πύρρου δὲ τοῦ Ἠπειρωτῶν βασι- f

Meliſſa Periandri uxor.

1 Αἰσχίνης ſcribendum ſuſpicatur Iacobs. 2 μιγῆναι ms. *Ep.* 3 Forſ. Πυθ. δ' ἐν. 4 ἐν Ἐπιδαύρῳ malebam, aut τὴν ἐξ Ἐπιδαύρου, aut ἔξω Ἐπιδαύρου τὴν Πρ. 5 ἠσθημένην edd.

miſtocle & Thucydide & Pericle. Antiſthenes vero Socraticus ait, cum deperiret Pericles Aſpaſiam, bis quotidie eam oſculatum eſſe, ingredientem & ab ea egredientem. Quumque illa aliquando impietatis rea ageretur, cauſſam pro ea dicens Pericles plus lacrymarum profudit, quam quo tempore ipſe vitae fortunarumque periculum adiit. Porro quum *Cimon* Elpinicae ſorori ſuae illegitimo matrimonio iunctus fuiſſet, illaque deinde Calliae eſſet elocata, cum ipſe in exſilium eſſet pulſus, pretium reditus ipſius accepit Pericles coëundi cum Elpinice poteſtatem. Pythaenetus tertio libro De Aegina ait, *Periandrum*, cum Proclis Epidaurici filiam *Meliſſam* vidiſſet Peloponneſiaco cultu veſtitam, (ſine ſtola enim erat, ſimplicem tunicam induta, & vinum fundebat operariis) amore eius fuiſſe captum & uxorem eam duxiſſe. *Pyrrhi* vero, regis Epirotarum, qui ter-

λέως, ὃς ἦν τρίτος ἀπὸ Πύρρου τοῦ ἐπ' Ἰταλίαν στρα- Tigris, amasia Pyrrhi.
τεύσαντος, ἐρωμένη ἦν Τίγρις ἡ Λευκαδία· ἣν Ὀλυμ-
a πιὰς ἡ τοῦ νεανίσκου μήτηρ φαρμάκοις ἀπέκτεινε.

Καὶ ὁ [1] Οὐλπιανὸς, ὥσπερ ἔρμαιόν τι, ἔτι λα- LVII.
λοῦντος τοῦ Μυρτίλου, ἔφη· εἰ ἔχομεν ἀρρένικῶς εἰρη- Ἢ & ὁ τίγρις, *tigris fera.*
μένον τὸν τίγριν; Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκό-
τα ἐν [2] Νεαίρᾳ,

[A.] Ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
ἣν ἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
ἡμᾶς τι παρ' ἡμῶν [3] ἀντιπέμψαι θηρίον.

[B.] Τρυγέρανον· [4] οὐ γὰρ γίγνεται τοῦτ' αὐτόθι.

Πρὸς ὃν ὁ Μυρτίλος ἔφη· Ἐπεί περ ἡμῖν ἐμποδὼν [5]
ἐγένου κατάλογον γυναικῶν ποιουμένοις, οὐ κατὰ τοὺς
b Σωσικράτους τοῦ Φαναγορίτου [6] Ἢ οἵους, [7] ἢ τὸν
τῶν γυναικῶν κατάλογον Νικαινέτου τοῦ Σαμίου ἢ

1. Deeſt artic. edd. 2. Deeſt ἐν edd. 3 τὶ ἡμᾶς παρ' ἡμῶν vulgo. 4 τριγέραννον edd. Τί; Γέρανον Cleric. cum Dalec. 5 ἐμποδῶν ms. *A.* 6 Φαναγοριστοῦ Ms. Forſ. Φαναγορείτου. 7 Οἵους, absque Ἢ, edd. Poſſis vero & unâ voce Ἠοίους ſcribere.

tius fuit ab eo qui in Italia bellum geſſit, amaſia *Tigris* fuit Leucadia: quam Olympias, mater adoleſcentis, veneno ſuſtulit.

57. Hîc Ulpianus, veluti inſperatum aliquod lucrum nactus, loquente adhuc Myrtilo, ait: Habemus-ne etiam alicubi maſculino genere dictum τὸν τίγριν, *hunc tigrim?* Memini enim Philemonem quidem in Neaera haec dicere:

[A.] *Quemadmodum Seleucus huc tigrim illam miſit, quam vidimus nos, ſic aequum erat ut Seleuco rurſus aliquod noſtris e regionibus viciſſim mitteremus animal.*

[B.] *Trygeranon: non enim hoc illic gignitur.*

Cui Myrtilus reſpondit: Quandoquidem nobis impedimento fuiſti Recenſum mulierum facientibus, non ſecundum Soſicratis Phanagoritae *Et quales*, nec ſecundum Nicaeneti Samii ſive Abderitae Catalogum mulie-

Ἀβδηρίτου· μικρὸν ἀποσχὼν,[1] ἐπὶ τὴν παρὰ σοῦ τρέψομαι πεῦσιν, Φοῖνιξ γεραιέ. μάθε οὖν, ὅτι ἀρσενικῶς εἴρηκε τὸν τίγριν Ἀλεξις ἐν Πυραύνῳ, οὕτως·

Ἄνοιγ', ἄνοιγε τὴν θύραν· ἐλάνθανον
πάλαι περιπατῶν, ἀνδριὰς,[2] ἀλέτων[3] ὄνος,
ποτάμιος ἵππος, τοῖχος, ὁ Σελεύκου τίγρις.

ἔχων δὲ καὶ ἄλλα μαρτύρια ἀνατίθεμαι ταυῦν, ἕως ἂν ἀπομνημονεύσω τὸν περὶ τῶν καλῶν γυναικῶν κατάλογον. c

LVIII. Clearchus de Epaminonda. Hyperidis oratoris amores.

Κλέαρχος γὰρ περὶ Ἐπαμινώνδου φησὶν οὕτως· „Ἐπαμινώνδας ὁ Θηβαῖος σεμνότερον[4] μὲν τούτων, οὐκ εὐσχημόνως δὲ περὶ τὰς ὁμιλίας ἐσφάλλετο τὴν γνώμην, εἴ τις θεωροίη τὰ πραχθέντα αὐτῷ περὶ τὴν Λάκωνος γυναῖκα." Ὑπερίδης[5] δὲ ὁ ῥήτωρ, ἐκ τῆς πατρῴας οἰκίας τὸν υἱὸν ἀποβαλὼν[6] Γλαύκιππον,

1 ἐπισχὼν forſ. 2 ἀνδρίας edd. ἀνδρείας Ms. 3 ἀλήθων edd. 4 σεμνότερος malles. 5 Ὑπερείδης edd. 6 An ἐκβαλὼν ?

rum; paulisper omittens inſtitutum ſermonem, ad quaeſtionem a te propoſitam, Phoenicie ſenex, me convertam. Diſce igitur, masculino genere *tigrim*, τὸν τίγριν, dixiſſe Alexidem in Pyrauno, ubi ait:

Aperi, aperi, fores: clam in obſcuro
iamdudum hîc ambulo, ſtatua, molaris lapis,
hippopotamus, murus, Seleuci ille tigris.

Sunt mihi vero & alia teſtimonia: quae quidem in praeſentia differo, donec pulcrarum mulierum catalogum abſolvero.

58. Clearchus de *Epaminonda* ita ſcribit: »Epaminondas Thebanus his quidem gravior: ſed tamen parum decora ratione in colloquiis cum mulieribus de animi ſui ſententia dimotus eſt; ſi quis quidem illud cogitet, quod cum Laconis muliere geſtum eſt. « *Hyperides* vero orator, paterna domo ejecto filio Glaucippo, Myrrhinam

Μυῤῥίνην [1] τὴν πολυτελεστάτην ἑταίραν ἀνέλαβε, καὶ ταύτην μὲν ἐν ἄστει εἶχεν· ἐν Πειραιεῖ δὲ Ἀριστα-
d γόραν, Φίλαν δ' ἐν Ἐλευσῖνι, ἣν πολλῶν ὠνησάμενος χρημάτων εἶχεν ἐλευθερώσας, ὕστερον δὲ καὶ οἰκουρὸν αὐτὴν ἐποιήσατο, ὡς Ἰδομενεὺς ἱστορεῖ. Ἐν δὲ τῷ ὑπὲρ Φρύνης λόγῳ Ὑπερίδης ὁμολογῶν ἐρᾶν τῆς γυναικὸς, καὶ οὐδέπω τοῦ ἔρωτος ἀπηλλαγμένος τὴν προειρημένην Μυῤῥίνην εἰς τὴν οἰκίαν εἰσήγαγεν.

LIX. Phryne, in capitis iudicio absoluta.

Ἦν δὲ ἡ Φρύνη ἐκ Θεσπιῶν. [2] κρινομένη δὲ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ, ἀπέφυγε· διόπερ ὀργισθεὶς
e ὁ Εὐθίας οὐκ ἔτι εἶπεν ἄλλην δίκην, ὥς φησιν Ἕρμιππος. ὁ δὲ Ὑπερίδης συναγορεύων τῇ Φρύνῃ, ὡς οὐδὲν ἤνυε λέγων, ἐπίδοξοί τε ἦσαν οἱ δικασταὶ καταψηφιούμενοι, [3] παραγαγὼν αὐτὴν εἰς τοὐμφανὲς, καὶ

1 Μυρίνην edd. h. l. & mox deinde. Μυρίννην h. l. ms. *A*. Μύρινναν ms. *Ep*. 2 Θεσπειῶν ms. *A*. Θεσπιέων ms. *Ep*. 3 καταψηφισόμενοι ed. Caſ. 1. & 2.

ſumtuoſiſſimam meretricem recepit, & hanc quidem habuit in urbe; in Piraeeo vero Ariſtagoram; Eleuſine Philam, quam ingenti pecuniâ emtam, dein liberam dimiſit, & diſpenſandis rebus domeſticis praefecit, ut Idomeneus tradit. In oratione autem pro *Phryne* profeſſus Hyperides amare ſe hanc mulierem, tamen eo amore nondum defunctus, Myrrhinam, quam modo dixi, domum ſuam recepit.

59. Erat autem *Phryne* Theſpiis oriunda: quae cum ab Euthia capitis rea eſſet acta, abſoluta a iudicibus eſt; qua re ita indignatus eſt Euthias, ut nullam poſt id tempus cauſſam dixerit; quod tradit Hermippus. Hyperides vero cauſſam dicens pro Phryne, cum nihil proficeret, ac ſatis iam adpareret calculis iudicum condemnatum eam iri, in medium ipſam produxit, & dis-

περιῤῥήξας [1] τοὺς χιτωνίσκους, γυμνά τε τὰ στέρνα ποιήσας, τοὺς ἐπιλογικοὺς οἴκτους ἐκ τῆς ὄψεως αὐτῆς ἐπερῥητόρευσε, δεισιδαιμονῆσαί τε ἐποίησεν τοὺς δικαστὰς „τὴν ὑποφῆτιν [2] καὶ ζάκορον Ἀφροδίτης“ ἐλέῳ χαρισαμένους [3] μὴ ἀποκτεῖναι. καὶ ἀφεθείσης, ἐγράφη μετὰ ταῦτα ψήφισμα· „Μηδένα οἰκτίζεσθαι τῶν λεγόντων ὑπέρ τινος, μηδὲ βλεπόμενον τὸν κατηγορούμενον ἢ τὴν κατηγορουμένην κρίνεσθαι.“ Ἦν δὲ ὄντως f μᾶλλον ἡ Φρύνη καλὴ ἐν τοῖς μὴ βλεπομένοις. διόπερ οὐδὲ ῥᾳδίως [4] ἦν αὐτὴν ἰδεῖν γυμνήν· ἐχέσαρκον γὰρ χιτώνιον ἠμπείχετο, [5] καὶ τοῖς δημοσίοις οὐκ ἐχρῆτο βαλανείοις. τῇ δὲ τῶν Ἐλευσινίων πανηγύρει καὶ τῇ τῶν Ποσειδωνίων, ἐν ὄψει τῶν πανελλήνων πάντων ἀποτιθεμένη ἱμάτια, [6] καὶ λύσασα τὰς κόμας,

Phryne, exemplar Veneris Anadyomenae,

1 περιρήξας ms. *A*. 2 Forſ. ὥστε τὴν ὑποφῆτ. 3 χρισαμένους ed. Ven. & Baſ. χρησαμένους ed. Caſ. 4 ῥάδιον edd. 5 ἀμπείχετο edd. ἠμπίχετο ms. *Ep.* qui ἠμπίσχετο forſan debuit. 6 ἱμάτια edd. ἵ' οιμάτια ms. *A*. ἱ οιμάτιον ms. *Ep*.

ciſſis tuniculis nudatoque illius pectore, extremam orationem ad movendam iudicum ex ipſo adſpectu miſericordiam ſolita oratorum arte convertens, perfecit ut *ſacerdotem miniſtramque Veneris* reveriti iudices, miſericordiae indulgentes, capitis non damnarent. Quae cum ea ratione periculo eſſet liberata, decreto deinde cautum eſt, *Ne quis oratorum cauſſam rei agens miſericordiam excitaret iudicum; & ne quis reus, aut mulier criminis poſtulata, coram iudicibus ſententiam pronunciaturis praeſens ſiſteretur.* Erat autem revera formoſa Phryne eis corporis partibus, quae adſpectui non ſolent patere. Quare non facile licebat nudam eam adſpicere: nam tunicula utebatur totum corpus tegente, & publicis non utebatur balneis. In celebritate vero feſti Neptuni, quod Eleuſi agebatur, in totius Graeciae conſpectu poſitis veſtibus,

ἐνέβαινε τῇ θαλάττῃ· καὶ ἀπ' αὐτῆς Ἀπελλῆς τὴν
a Ἀναδυομένην Ἀφροδίτην ἀνεγράψατο. [1] καὶ Πραξιτέλης
δὲ ὁ ἀγαλματοποιὸς, ἐρῶν αὐτῆς, τὴν Κνιδίαν Ἀφρο- & Veneris Cnidiae Praxitelis.
δίτην ἀπ' αὐτῆς ἐπλάσατο, καὶ ἐν τῇ τοῦ Ἔρωτος βά-
σει τῇ [2] ὑπὸ τὴν σκηνὴν τοῦ θεάτρου ἐπέγραψεν·

Πραξιτέλης, ὃν ἔπασχε, διηκρίβωσεν ἔρωτα,
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,
Φρύνῃ μισθὸν ἐμεῖο [3] διδοὺς ἐμέ. φίλτρα δὲ βάλ-
λω [4]
οὐκ ἔτ' ὀϊστεύων, [5] ἀλλ' ἀτενιζόμενος.

b Ἐκλογήν τε αὐτῇ τῶν ἀγαλμάτων ἔδωκεν, εἴτε τὸν
Ἔρωτα θέλοι λαβεῖν, εἴτε τὸν ἐπὶ Τριπόδων [6] Σάτυ-
ρον. ἡ δὲ ἑλομένη τὸν Ἔρωτα, ἀνέθηκεν αὐτὸν ἐν Θε-
σπιαῖς. αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα Phrynes statua aurea.
ποιήσαντες, ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος

1 ἀπεγράψατο edd. 2 Forſ. τοῦ ὑπὸ. 3 ἐμοῖο edd. 4 τίκτω in Anthol. 5 οὐκέτι τοξεύων ibid. 6 ἐπὶ τῶν Τριπ. malebam.

crinibusque ſolutis, mare ingreſſa eſt: qua occaſione uſus Apelles, ad illius exemplar *Venerem Anadyomenen* pinxit. Similiter Praxiteles, amans eam, *Cnidiam Venerem* ad eiusdem exemplar finxit; & in Cupidinis baſi, qui infra ſcenam theatri poſitus eſt, hanc inſcriptionem inſculpſit:

Praxiteles, quo arſit, eum curate expreſſit amorem,
proprio e corde ducens exemplar,
Phrynae mercedem mei dans me. Philtra non emitto
poſthac iaculans, ſed oculis conſpectus.

Optionem vero Phrynae dedit ſtatuarum, ſive Cupidinem accipere vellet, ſive Satyrum, qui in via poſitus eſt quae a Tripodibus nomen habet. Et illa Cupidinem elegit, & Theſpiis eumdem dedicavit. Ipſius Phrynes vero ſtatuam vicini illius Delphis ponendam curarunt auream, [*nempe*, inauratam,] baſi e marmore Pentelico inſiſten-

Πεντελικοῦ· [1] κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης. ὃν καὶ θεασάμενος Κράτης ὁ Κυνικὸς, ἔφη „τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα." ἕστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου τοῦ Λακεδαιμονίων βασιλέως, καὶ τῆς Φιλίππου τοῦ Ἀμύντου, ἔχουσα ἐπι- c
γραφὴν, ΦΡΥΝΗ ΕΠΙΚΛΕΟΥΣ ΘΕΣΠΙΚΗ· [2] ὡς φησιν Ἀλκέτας ἐν δευτέρῳ περὶ τῶν ἐν Δελφοῖς Ἀναθημάτων.

LX. Phrynae duae, secundum nonnullos.

Ἀπολλόδωρος δὲ ἐν τῇ [3] περὶ Ἑταιρῶν, δύο ἀναγράφει Φρύνας γεγονέναι, ὧν τὴν μὲν ἐπικαλεῖσθαι Κλαυσιγέλωτα, τὴν δὲ Σαπέρδιον. Ἡρόδικος δὲ, ἐν ἕκτῳ Κωμῳδουμένων, τὴν μὲν παρὰ τοῖς ῥήτορσι, φησὶν, ὀνομαζομένην, Σηστὸν καλεῖσθαι, [4] διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς συνόντας αὐτῇ, τὴν δὲ Θεσπικήν. Phrynes opulentia. Ἔπλουτει δὲ σφόδρα ἡ Φρύνη, καὶ ὑπισχνεῖτο d

1 Temere Πεντηλικοῦ ed. Caſ. 2 Rectius fuerit ΦΡΥΝΗΣ & ΘΕΣΠΙΚΗΝΣ. 3 ἐν τῷ malebam. 4 καλεῖσθαι δὲ edd. & interpunguntur poſt Σηστόν.

tem, Praxitelis opus. Quam ſtatuam ubi vidit Crates Cynicus, *Intemperantiae Graecorum* dixit *monumentum*. Stetit autem hoc ſignum medium inter Archidami ſignum, regis Lacedaemoniorum, & Philippi Amyntae filii; inſcriptionem habens, *Phrynae Epiclis fil. Theſpicae*; ut ait Alcetas ſecundo libro de Donariis Delphicis.

60. Apollodorus vero, in libro de Meretricibus, duas memorat *Phrynas* fuiſſe, quarum alteri *Clauſigelos* cognomen fuerit, alteri *Saperdium*. Herodicus autem, ſexto libro de his qui a Comicis traducti ſunt, illam quae ab oratoribus commemoratur ait *Seſtum* fuiſſe adpellatam, eo quod hos qui cum illa conſuetudinem haberent exuerit & fortunas illorum ἀποσήθει, id eſt, *quaſi cribro excuſſerit*; alteram vero *Theſpicam*. Valde autem opulenta *Phryne* erat; quae etiam muros Thebarum exſtructuram

τειχιεῖν τὰς Θήβας, ἐὰν ἐπιγράψωσι Θηβαῖοι, Ἀ-ΛΕΞΑΝΔΡΟΣ ΜΕΝ ΚΑΤΕΣΚΑΨΕΝ, ΑΝΕ-ΣΤΗΣΕ ΔΕ ΦΡΥΝΗ Η ΕΤΑΙΡΑ, ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ Περὶ Ἑταιρῶν. εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ, (πρόκειται τὸ μαρτύριον) καὶ Ἄμφις ἐν Κυρίδι. παρεστέτει δὲ τῇ Φρύνῃ Γρυλλίων, [1] εἷς ὢν τῶν Ἀρεοπαγι-τῶν, [2] ὡς καὶ Σάτυρος ὁ Ὀλύνθιος ὑποκριτὴς Παμφί-e λῃ. Ἀριστογείτων δ', ἐν τῷ κατὰ Φρύνης, τὸ κύριον αὐτῆς φησιν εἶναι ὄνομα Μνησαρήτην. οὐκ ἀγνοῶ δὲ ὅτι τὸν ἐπιγραφόμενον κατ' αὐτῆς Εὐθίου λόγον Διόδωρος ὁ Περιηγητὴς Ἀναξιμένους φησὶν εἶναι. Ποσίδιπ-πος [3] δὲ ὁ κωμικὸς, ἐν Ἐφεσίᾳ, τάδε φησὶ περὶ αὐτῆς·

Φρύνη πρὸ ἡμῶν γέγονεν ἐπιφανεστάτη
πολὺ τῶν ἑταιρῶν. καὶ γὰρ εἰ νεωτέρα
τῶν τότε χρόνων εἶ, [4] τόν γ' ἀγῶν' ἀκήκοας.

1 Γυλλίων edd. 2 Ἀρεοπαγειτῶν ms. *A*. 3 Ποσείδιππος edd. 4 εἶη vulgo.

se pollicita est, si inscribere Thebani vellent: *Diruit Alexander, excitavit vero Phryne hetaera;* ut tradit Callistratus in libro de Hetaeris. Divitiarum eius mentionem etiam fecit Timocles Comicus in Neaera, cuius supra adpositum testimonium est, & Amphis in Curide. Parasitus Phrynes fuit Gryllion, unus ex Areopagitis; quemadmodum Satyrus Olynthius, actor scenicus, (parasitus fuit) Pamphilae. Aristogiton vero, in oratione contra Phrynen, proprium ei nomen ait fuisse *Mnesareten.* Nec vero sum nescius, quae contra eamdem inscribitur *Euthiae* oratio, eam *Anaximenis* esse adfirmare Diodorum Periegetam. Posidippus vero Comicus in Ephesiâ haec de eâ dicit:

Fuit ante hoc aevum nostrum nobilissima
meretricum Phryne. (*Tu quoque, quamquam es iunior temporibus istis, puto litem intellexeris.*)

βλάπτειν δοκοῦσα τοὺς βίους μείζους βλάβας,
τὴν Ἡλιαίαν εἶλε [1] περὶ τοῦ σώματος. 5 f
καὶ τῶν δικαστῶν καθ' ἕνα δεξιουμένη
μετὰ δακρύων, διέσωσε τὴν ψυχὴν μόλις.

LXI. Demades orator.

Ἴστε δέ, ὅτι καὶ Δημάδης ὁ ῥήτωρ ἐξ αὐλητρίδος ἑταίρας ἐπαιδοποιήσατο Δημέαν· ὃν φρυαττόμενόν ποτε ἐπὶ τοῦ βήματος, ἐπεστόμισεν Ὑπερίδης, εἰπών· „Οὐ σιωπήσῃ, μειράκιον, μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα;“ Καὶ Βίων δ' ὁ Βορυσθενίτης, φιλόσοφος, Bion Boryſthenita. ἑταίρας ἦν υἱὸς Ὀλυμπίας Λακαίνης, ὡς φησι Νικίας ὁ Νικαεὺς ἐν ταῖς τῶν Φιλοσόφων Διαδοχαῖς. a Σοφοκλῆς δ' ὁ τραγῳδιοποιὸς, [2] ἤδη γέρων ὢν, ἠράσθη Θεωρίδος τῆς ἑταίρας. ἱκετεύων οὖν τὴν Ἀφροδίτην φησί· Sophoclis ſenis amores.

Κλῦθί μευ [3] εὐχομένου, κουροτρόφε· δὸς δὲ γυναῖκα
τήνδε νέων μὲν ἀναίνεσθαι φιλότητα καὶ εὐνήν·

1 εἶχε fortaſſe. 2 τραγῳδοποιὸς edd. 3 Κλῦε μευ mssti.

Haec iudices (Heliaeam) de capite ſortita eſt ſuo, tanquam communis vitae peſtis maxima: multumque prenſans ſingulos cum lacrymis vix a ſe extremum depulit periculum.

61. Noſtis vero, etiam *Demadem* oratorem ex tibicine meretrice genuiſſe Demeam: quem frementem aliquando & inſoleſcentem in ſuggeſtu repreſſit Hyperides, dicens: *Nonne tacebis, adoleſcentule, maiorem flatum habens matre tuâ?* Porro *Bion* Boryſthenita, philoſophus, meretricis filius fuit Olympiae Spartanae; ut Nicias tradit Nicaeenſis, in Philoſophorum Succeſſionibus. *Sophocles* vero tragicus, iam ſenex, amore captus eſt *Theoridis* meretricis. Igitur Venerem precatus dixit:

Audi me precantem, o Iuvenum-nutrix, & fac ut mulier haecce, iuvenum ſpernens amplexus amoremque,

ἠδ' [1] ἐπιτερπέσθω πολιοκροτάφοισι γέρουσιν,
ὧν ἰσχὺς μὲν [2] ἀπήμβλυνται, θυμὸς δὲ μενοινᾷ.[3]

ταῦτα μέν ἐστιν ἐκ τῶν εἰς Ὅμηρον ἀναφερομένων. τῆς
b δὲ Θεωρίδος μνημονεύει, λέγων ἔν τινι στασίμῳ οὕτως· [4]

Φίλη γὰρ ἡ Θεωρίς.

ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου, ὥς φησιν Ἡγήσανδρος, Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν, καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. ὅτε δὲ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης, ἐρωτώμενος ὑπό τινος τί πράττει Ἀρχίππη, χαριέντως ἔφη· „Ὥσπερ αἱ γλαῦκες, ἐπὶ τάφων [5] κάθηται."

Ἀλλὰ μὴν καὶ Ἰσοκράτης, ὁ τῶν ῥητόρων αἰδημονέστερος, Μετάνειραν εἶχεν ἐρωμένην καὶ καλὴν, [6]

LXII. Isocrates, oratorum modeſtiſſimus.

1 ἢ δ' ed. Ven. & Baſ. ἠδ' ms. *Ep.* ἢ δ' corr. Caſ. 2 ἰσχὺς abſque ὧν & μὲν edd. ὧν ὥρη μὲν alii. 3 ἀπήμβλυνται τῶν, νοῦς θεῖος δὲ μενοινᾷ edd. θεῖος δὲ μενοινᾷ ms. *A.* qui fortaſſe θεῖος δὲ μένει νοῦς debuerat. 4 στάσιμος οὕτος edd. στασίμως οὕτως Ms. 5 ἐπὶ τάφον ed. Ven. & Baſ. cum ms. *Ep.* Temere ἐπὶ τάφρων ed. Caſ. 1. 6 καὶ Καλλὴν edd. & Nat. Com.

canis templa ſenibus delectetur,
quibus robur quidem obtuſum eſt, ſed animus vegetus.

Qui verſus ex eis ſunt, qui ad Homerum auctorem referri ſolent. Theoridis autem meminit idem in ſtatario quodam carmine, ubi ait:

Cara enim Theoris.

Idem quum iam ſub exitum vitae verſaretur, ut ait Hegeſander, *Archippen* amavit meretricem, & fortunarum ſuarum haeredem reliquit. Quum vero cum ſene Sophocle conſuetudinem Archippe haberet, prior illius amator Smicrines, interrogatus ab aliquo *quid ageret Archippe*, feſtive reſpondit: *Sicut noctuae, ſepulcris inſidet.*

62. Sed & *Iſocrates*, oratorum temperantiſſimus, *Metaniram* habuit amaſiam, eamque pulcram; [*ſive*, & Ca-

ὡς Λυσίας ἱστορεῖ ἐν ταῖς Ἐπιστολαῖς. Δημοσθένης
Lysiae amores. δ' ἐν τῷ κατὰ Νεαίρας, τὴν Μετάνειραν τοῦ Λυσίου c
φησὶν ἐρωμένην εἶναι. ἥττητο δὲ καὶ ὁ Λυσίας Λαγί-
δος τῆς ἑταίρας, ἧς ἔγραψεν ἐγκώμιον Κέφαλος ὁ ῥή-
τωρ· καθάπερ καὶ Ἀλκιδάμας ὁ Ἐλαΐτης,[1] ὁ Γοργίου
Nais meretrix. μαθητής, ἔγραψε καὶ αὐτὸς ἐγκώμιον Ναΐδος τῆς ἑταί-
ρας. τὴν δὲ Ναΐδα ταύτην Λυσίας ἐν τῷ κατὰ Φιλω-
νίδου βιαίων, εἰ γνήσιος ὁ λόγος, ἐρωμένην φησὶ γε-
νέσθαι Φιλωνίδου,[2] γράφων ὧδε· „Ἔστιν οὖν γυνὴ
ἑταῖρα, Ναὶς ὄνομα, ἧς Ἀρχίας κύριος ἐστίν· ὁ δ'
ὑμέναιος[3] ἐπιτήδειος ὁ Φιλωνίδης δ'[4] ἐρᾶν φησί." c
μνημονεύει αὐτῆς καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ.
μή ποτε δὲ κἀν τῷ Πλούτῳ, ἐν ᾧ λέγει, d

Ἐρᾷ δὲ Λαὶς οὐ διά σε Φιλωνίδου;

γραπτέον Ναΐς, καὶ οὐ Λαΐς; Ἕρμιππος δ', ἐν
τῷ Περὶ Ἰσοκράτους, προβαίνοντα, φησὶ, τῇ ἡλικίᾳ

1 ὁ λαΐτης edd. 2 Novem verba desunt edd. 3 ὑμέτερος corrigunt viri docti. 4 Forſ. ὁ Φιλωνίδης ὅ δ'.

len;] ut Lyſias docet in Epiſtolis. Demoſthenes vero in oratione contra Neaeram ait: *Lyſiae* amaſiam fuiſſe Metaniram. Verum etiam Lagidem Lyſias deperiit meretricem, cuius encomium ſcripſit Cephalus orator; quemadmodum Naidis meretricis encomium Alcidamas ſcripſit Elaeenſis, Gorgiae diſcipulus. *Naidem* vero hanc Lyſias in oratione contra Philonidam ob vim factam poſtulatum, ſi modo genuina oratio eſt, *Philonidae* ait amaſiam fuiſſe, ita ſcribens: »Eſt igitur mulier meretrix, nomine *Nais;* cuius herus Archias eſt, hymenaeus vero amicus *Philonides* hicce amare eam profitetur.« Meminit eiusdem Ariſtophanes in Gerytade. An igitur fortaſſe in Pluto etiam, ubi ait,

Nonne propter te amat Lais Philonidam?

Nais ſcriptum oportuit; non *Lais?* Hermippus vero in eis quae de Iſocrate ſcripſit, aetate provectum Iſocra-

τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν [1] ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις· Lagiſca, Iſocratis amaſia.

Καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι,
τόν τ' αὐλοτρύπην αὐτόν.

e Καὶ Λυσίας δὲ ἐν τῷ κατὰ Λαΐδος, εἰ γνήσιος ὁ λόγος, μνημονεύει αὐτῆς, καταλέγων καὶ ἄλλας ἑταίρας, ἐν τούτοις· „Φίλυρα γέ τοι ἐπαύσατο πορνευομένη, καὶ ἔτι νέα οὖσα, [2] καὶ Σκιώνη, καὶ Ἱππάφεσις, καὶ Θεόκλεια, καὶ Ψαμάθη, καὶ Λαγίσκα, καὶ Ἄνθεια, καὶ Ἀριστόκλεια."

LXIII. Demoſthenes intemperantiſſimus.

Δημοσθένη δὲ [3] τὸν ῥήτορα καὶ τεκνοποιήσασθαι ἐξ ἑταίρας, ἔχει λόγος. αὐτὸς γοῦν ἐν τῷ Περὶ Χρυσίου [4] λόγῳ προαγήοχε τὰ τέκνα ἐπὶ τὸ δικαστήριον,

1 Deeſt artic. edd. 2 Quatuor verba deſunt edd. 3 Deeſt δὲ edd. 4 χρυσείου edd. cum ms. *A.* χρυσοῦ ms. *Ep.*

tem ait Lagiſcam meretricem domum ſuam recepiſſe, ex eaque filiolam ei eſſe natam. Meminit eiusdem Strattis, his verbis:

Et Lagiſcam Iſocratis pellicem
videre me urentem, cum in cubili adhuc eſſet,
ipſumque tibiarum perforatorem.

Quin & Lyſias eiusdem meminit in illâ contra Laidem, ſi genuina oratio eſt, ubi alias quoque meretrices recenſet, his verbis: » Philyra certe ſcortari deſierat, & illa quidem cum iuvenis adhuc eſſet, & Scione, & Hippapheſis, & Theoclea, & Pſamathe, & Lagisca, & Anthea, & Ariſtoclea. «

63. *Demoſthenem* vero oratorem quoque ex meretrice liberos procreaſſe fama obtinet. Ipſe quidem in oratione de Auro liberos in iudicium produxit, ut per illos

ὡς δι' ἐκείνων ἔλεον ἔξων, χωρὶς τῆς μητρός· [1] καίτοι ἔθος ἐχόντων τῶν κρινομένων τὰς γυναῖκας ἐπάγεσθαι· f ἀλλ' αἰδοῖ τοῦτ' ἐποίησε, φεύγων τὴν διαβολήν. Ἀκόλαστος δ' ἦν ὁ ῥήτωρ περὶ τὰ ἀφροδίσια, ὥς φησιν Ἰδομενεύς. Ἀριστάρχου γοῦν τινος ἐρασθεὶς μειρακίου, καὶ δι' αὐτὸ παροινήσας εἰς Νικόδημον, ἐξέκοψεν αὐτοῦ τοὺς ὀφθαλμούς. παραδέδοται δὲ καὶ περὶ ὄψα, καὶ περὶ νέους, καὶ περὶ γυναῖκας πολυτελής. τοιγαροῦν καὶ ὁ γραμματεύς ποτ' αὐτοῦ [2] εἶπε· „Τί δ' ἄν τις περὶ Δημοσθένους λέγειν δύναιτο; τὰ γὰρ ἐνιαυτῷ a μελετηθέντα ἐκείνῳ, μία γυνὴ μιᾷ νυκτὶ συνέχεεν. Ἀναλαβεῖν γοῦν καὶ εἰς τὴν οἰκίαν λέγεταί τινα Κνωσίωνα μειρακίσκον, καίτοι γυναῖκα ἔχων· ὡς καὶ αὐτὴν ἀγανακτήσασαν, συγκοιμᾶσθαι τῷ Κνωσίωνι.

1 μητέρος edd. 2 αὐτὸς ed. Ven. Baſ. Caſ. 1. αὐτὸν ed. Caſ. 2. 3. αὐτοὺς ms. *A*.

miſericordiam impetraturus, absque matre; quamvis moris eſſet, ut hi, de quibus iudicium haberetur, uxores ſecum adducerent: ſed verecundiâ hoc ille fecerat, veritus ne ob id ipſum invidiam incurreret. Intemperanter autem libidinoſus hic orator erat; ut ait Idomeneus. Sane etiam Ariſtarchi cuiusdam adoleſcentuli amore captus, ob illumque inter pocula inſultans Nicodemo, oculos ei extudit. Perinde vero etiam & in obſonia & in adoleſcentulos & in mulieres ſumtus ingentes profudiſſe perhibetur. Quare ſcriba illius aliquando dixit: *De Demoſthene quid dicere quispiam poſſit? Nam quae ille toto anno meditatus eſt, ea unâ nocte una mulier miſcet conturbatque.* Quin & domum ſuam recepiſſe fertur Cnoſionem quemdam adoleſcentulum, quamquam uxorem habens: quare indignata illa, ipſa quoque cum Cnoſione concubuit.

LXIV.

Myrrhina.

Μυρρίνην [1] δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς ὁ τῆς διαδοχῆς τελευταῖος, καὶ ἔξω τοῦ διαδήματος κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι Νικόλαος ὁ Δαμασκηνός. Πτολεμαῖός τε, ὁ τὴν ἐν Ἐφέσῳ διέπων φρουρὰν, υἱὸς ὢν τοῦ Φιλαδέλφου βα-

Irene, concubina Ptolemaei filii Philad.

b σιλέως, Εἰρήνην εἶχε τὴν ἑταίραν. ἥτις, ὑπὸ Θρᾳκῶν ἐν Ἐφέσῳ ἐπιβουλευομένου τοῦ Πτολεμαίου, καὶ καταφυγόντος εἰς τὸ τῆς Ἀρτέμιδος ἱερὸν, συγκατέφυγε· καὶ ἀποκτεινάντων αὐτὸν ἐκείνων, ἡ Εἰρήνη ἐχομένη τῶν ῥόπτρων τῶν θυρῶν τοῦ ἱεροῦ, ἔῤῥαινε τοῦ αἵματος τοῖς βωμοῖς,[2] ἕως καὶ αὐτὴν κατέσφαξαν. Δα-

Danaë, Leontii filia, Sophronis amasia.

νάην [3] δὲ τὴν Λεοντίου τῆς Ἐπικουρείου θυγατέρα, ἑταιριζομένην καὶ αὐτὴν, Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐ-φέσου· δι' ἣν αὐτὸς ἐσώθη ἐπιβουλευόμενος ὑπὸ Λαοδίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ

c τῆς δωδεκάτης τάδε· „Ἡ πάρεδρος τῆς Λαοδίκης Δα-

1 Μυρίνην edd. 2 Suspectus locus. An τῷ αἵματι τοὺς βωμούς? 3 Δάναϊν h. l. ms. *A*.

64. *Myrrhinam* vero Samiam, meretricem, *Demetrius* habuit rex, postremus ex Alexandri successoribus; eamque, si diadema excipias, regni participem habuit, ut ait Nicolaus Damascenus. *Ptolemaeus* vero, Philadelphi regis filius, qui praesidio Ephesi erat praefectus, *Irene* meretrice usus est: quae, cum a Thracibus insidiae struerentur Ptolemaeo, illeque in Dianae templum confugisset, cum illo eodem confugit; & occiso a Thracibus Ptolemaeo, marculos forium firmiter tenens, altaria sanguine respersit, donec & ipsam iugularunt. *Danaën* vero, Leontii Epicureae filiam, quae & ipsa meretriciam exercuerat, *Sophron* habuit, Ephesi praefectus: cuius opera servatus ille est ab insidiis a *Laodice* structis, ipsa vero de rupe praecipitata est, ut scribit Phylarchus libro duodecimo, his verbis: » Laodicae adsidebat *Danaë*, cui maximam om-

νάη, πιστευομένη ὑπ' αὐτῆς τὰ πάντα, Λεοντίου δὲ οὖσα τῆς μετ' Ἐπικούρου τοῦ Φυσικοῦ σχολασάσης θυγάτηρ, Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρωμένη, παρακολουθοῦσα [1] διότι ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη, διανεύει τῷ Σώφρονι μηνύουσα τὴν ἐπιβουλήν. ὁ δὲ συλλαβὼν, καὶ προσποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει, δύ' ἡμέρας [2] παρητήσατο εἰς σκέψιν· καὶ συγχωρησάσης, νυκτὸς ἔφυγεν εἰς Ἔφεσον. μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης, κατεκρήμνισε τὴν ἄνθρωπον, οὐδὲν τῶν προγεγενημέ- d
νων φιλανθρώπων ἐπισυμβαλλομένη. [3] τὴν δὲ Δανάην φασὶν, ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῇ κίνδυνον, ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης, οὐδ' ἀποκρίσεως αὐτὴν ἀξιῶσαι· ἀπαγομένην τε [4] ἐπὶ τὸν κρημνὸν εἰπεῖν, ὡς „δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείου, ὅτε

1 παρ' ἀκολούθου μαθοῦσα corr. Valck. 2 δι' ἡμέρας edd. 3 ἐπὶ νοῦν βαλλομένη vel λαμβανομένη corr. Caſ. Forſ. ἔτι συμβαλλομένη. 4 ἀπαγ. δὲ edd.

nium rerum ſuarum fidem illa habuerat. Erat ea Leontii illius, quae cum Epicuro Phyſico philoſophiae operam dederat, filia, & Sophronis ante id tempus fuerat amaſia. Quae cum intellexiſſet, id agere Laodicen ut Sophronem occideret, nutu Sophroni ſignificavit inſidias. Et ille, re intellecta, ſimulans ſe illi adſentiri de ea re quam ab ſe petiiſſet, biduum ſibi ad deliberandum poſtulavit. Quod cum illa ei conceſſiſſet, ipſe noctu Epheſum aufugit. Laodice ut id a Danaë factum cognovit, de rupe praecipitem deiici mulierem iuſſit, nil reputans priſtinam benevolentiam. Aiunt autem Danaën, cum imminens ſibi periculum intellexiſſet, interrogantem Laodicen, & quaeſtionem de ſe habentem, ne reſponſo quidem eſſe dignatam; cumque ad praecipitium abduceretur, dixiſſe: *Merito maior pars hominum divinum numen contemnit:*

ἐγὼ μὲν [1] τὸν γενόμενόν μοι [2] ἄνδρα σώσασα, τοιαύτην χάριτα παρὰ τοῦ δαιμονίου λαμβάνω· Λαοδίκη δὲ, τὸν ἴδιον ἀποκτείνασα, τηλικαύτης τιμῆς ἀξιοῦται." Ὁ δ' αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας ἱστορεῖ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ, οὕτως· „Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν. ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος, καὶ μόλις ἐκ τῆς Φυγῆς διασωθέντος, αὐτὴ μεταμφιεσαμένη [3] τὴν βασιλικὴν ἐσθῆτα, καὶ ἀναλαβοῦσα θεραπαινίδος τῆς τυχούσης, συλληφθεῖσα ἀνήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων, καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θεραπαινίσιν, ἦλθεν εἰς Ῥόδον· ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν, περισπουδάστως ὑπὸ τῶν Ῥοδίων τῷ Σελεύκῳ διεπέμφθη." Mysta, amasia Seleuci.

LXV.

Δημήτριος δὲ ὁ Φαληρεὺς, Λαμπιτοῦς τῆς Σαμίας ἑταίρας ἐρασθεὶς, ἡδέως μὲν αὐτὸς [4] καὶ Λαμπιτὼ [5] προσηγόρευτο, [6] ὡς φησι Δίϋλλος, [7] ἐκαλεῖτο Lampito, amasia Demetrii Phal.

1 Deest μὲν edd. 2 τὸν οὐ γενόμενόν μοι Valck. 3 μεταμφιασαμένη edd. cum ms. *Ep.* 4 δὲ αὐτὴν edd. δ' αὐτὴν Ms. 5 Λαμπετὼ apud Laërt. 6 προσηγορεύσατο edd. 7 Δίδυμος apud Laërt.

quandoquidem ego, eo quod illum ſervavi qui mihi olim loco mariti fuerat, hanc a Deo gratiam fero; Laodice vero, quae ſuum maritum occidit, tanta fruitur dignitate. « Idem Phylarchus etiam de *Myſta* narrat, libro decimo quarto, his verbis: » *Myſta Seleuci* regis amaſia fuit: quae, victo rege a Gallis, & fugâ aegre elapſo, ipſa mutato regio cultu, & ſumto vilis ſervae veſtitu, prehenſa cum aliis captivis abducta eſt; & haud ſecus ac propriae ancillae vendita, Rhodum pervenit. Ibi cum aperuiſſet quaenam eſſet, magno ſtudio a Rhodiis ad Seleucum remiſſa eſt. «

65. *Demetrius* vero *Phalereus*, amore captus *Lampitûs* Samiae meretricis, lubens & ipſe *Lampito* ſe adpellari paſſus eſt, ut ait Diyllus; idem vero etiam *Charitoble-*

δὲ καὶ Χαριτοβλέφαρος. Νικαρέτη [1] δὲ ἡ ἑταίρα, ἐρωμένη ἦν Στεφάνου τοῦ ῥήτορος· Λυσίου δὲ τοῦ σοφιστοῦ, Μετάνειρα. ἦσαν δὲ αὗται δοῦλαι Κασίου [2] τοῦ Ἠλείου μετὰ καὶ ἄλλων ἑταιρῶν, Ἀντείας, [3] Στρατόλας, [4] Ἀριστοκλείας, [5] Φίλας, Ἰσθμιάδος, Νεαίρας. ἡ δὲ Νέαιρα ἦν Στρατοκλείδου ἐρωμένη, καὶ Ξενοκλείδου τοῦ ποιητοῦ, καὶ Ἱππάρχου τοῦ ὑποκριτοῦ, καὶ Φρυνίωνος τοῦ Παιανιέως, ὃς ἦν Δήμωνος μὲν υἱὸς, Δημοχάρους δὲ ἀδελφιδοῦς. τὴν δὲ Νεαίραν εἶχον ἡμέραν παρ' ἡμέραν, διαιτητῶν γενομένων Φίλων, Φρυνίων καὶ Στέφανος ὁ ῥήτωρ· ὃς καὶ τὴν [6] τῆς Νεαίρας θυγατέρα Στρυμβήλην, [7] τὴν ὕστερον Φανὼ κληθεῖσαν, ὡς ἰδίαν θυγατέρα ἐξέδοτο Φράστορι [8] τῷ Αἰγιαλεῖ, ὥς φησι Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας. ὃς καὶ περὶ Σινώπης τῆς ἑταίρας τάδε λέγει· „Ἀρχίαν τὸν

Meretrices ſervae, Oratoribus memoratae.

Sinope.

a

1 Νέαιρα corr. Tayl. 2 Immo Χαρισίου. 3 Ἀντίας apud Dem. 4 Suſpicabar Στρατοκλείας. 5 Temere Ἀριστολείχας ed. Caſ. 3. 6 Deeſt τὴν edd. 7 Στροβύλην edd. Στρυβήλην apud Demoſth. Forſ. Στροβίλην. 8 Φάστορι vulgo.

pharus (id eſt, *Venuſtus ſuperciliis*) nominabatur. Nicareta vero meretrix, Stephani oratoris fuit amaſia; Lyſiae vero ſophiſtae, Metanira. Erant autem hae ſervae Caſii [*ſive potius*, Chariſii] Elei, ſimul cum aliis meretricibus, Antea, Stratola, Ariſtoclea, Phila, Iſthmiade, Neaera. Neaera vero Stratoclidis amaſia fuit, & Xenoclidae poëtae, & Hipparchi actoris ſcenici, & Phrynionis Paeanienſis, qui Demonis filius fuit, Democharis vero e fratre (ſive ſorore) nepos. Eamdem Neaeram Phrynio & Stephanus orator alternis habuerunt diebus, cum arbitri de ea re amici ita ſtatuiſſent. Filiam vero Neaerae Strymbelam, (*ſive*, Strybelam,) quae deinde *Phano* nominata eſt, tamquam ſuam filiam Stephanus Phraſtori elocavit Aegialenſi, ut ait Demoſthenes in oratione contra Neaeram. Idem Demoſthenes de *Sinope* me-

ἱεροφάντην, ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ, ὡς ἀσεβοῦντα καὶ θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας ἐκολάσατε· καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ, καὶ ὅτι Σινώπῃ τῇ ἑταίρᾳ Ἀλώοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ
b αὐλῇ Ἐλευσῖνι προσαγούσῃ [1] ἱερεῖον [2] θύσειεν· νομίμου ὄντος, ἐν ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα μὴ θύειν· οὐδὲ ἐκείνου οὔσης τῆς θυσίας, ἀλλὰ τῆς ἱερείας."

LXVI. Plango Milesia, & Bacchis.

Διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών· [3] ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις νεανίσκος Κολοφώνιος, Βακχίδα ἔχων ἐρωμένην τὴν Σαμίαν. λόγους [4] οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν, ἡ Πλαγγὼν ἀκούσασα τῆς Βακχίδος τὸ κάλλος, καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ἤτησε τῆς συνου-
c σίας μισθὸν τὸν Βακχίδος ὅρμον, διαβόητον ὄντα. ὁ δὲ,

1 προσαγούσης vulgo. 2 ἱερὸν edd. 3 Perperam Πλανὼν ms. *Ep.* 4 λόγον edd.

retrice haec dicit: »In Archiam hierophantam, convictum in iudicio impietatis, quod praeter leges patrias sacra feciſſet, vos animadverti ſtis: cui cum alia crimina obiecta ſunt, tum quod victimam a Sinopa meretrice feſto Cereali ad focum qui Eleuſine in aula eſt oblatam mactaſſet: quum nefas eſſet illo die victimam caedere, nec ad illum pertineret ius ſacrificandi, ſed ad foeminam ſacerdotem. «

66. Famoſa etiam meretrix *Plango* fuit Mileſia. Quae cum eſſet formoſiſſima, amore eius captus eſt adoleſcens Colophonius, qui amaſiam habebat *Bacchidem* Samiam. Plangonem igitur cum ſolicitaret adoleſcens, illa famâ cognitam habens pulcritudinem Bacchidis, & avertere iuvenem a ſui amore cupiens, quum nihil proficeret, mercedem concubitus ab illo poſtulavit Bacchidis monile vulgo celebratum. Tum ille, vehementi amore

σφοδρῶς ἐρῶν, ἠξίωσε τὴν Βακχίδα μὴ περιϊδεῖν αὐτὸν ἀπολλύμενον. καὶ ἡ Βακχὶς τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου, ἔδωκε. Πλαγγὼν τε τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος, τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δὲ ὡμίλησε.[1] καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο, κοινῶς περιέπουσαι τὸν ἐραστήν. ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ περὶ Ἀναθημάτων, Πασιφίλαν[2] ἐκάλεσαν τὴν Πλαγγόνα. μαρτυρεῖ δὲ καὶ Ἀρχίλοχος περὶ αὐτῆς ἐν τούτοις· d

Συκῇ πετραίη πολλὰς βόσκουσα κορώνας,
εὐήθης ξείνων δέκτρια Πασιφίλη.

Glycera, Menandri amasia. Ὅτι δὲ καὶ Μένανδρος ὁ ποιητὴς ἤρα Γλυκέρας, κοινόν. ἐνεμεσήθη δέ. Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος, καὶ χρηστὴν ταύτην[3] ὀνομάσαντος διὰ τοῦ δράματος,[4] ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς.

1 ὁμίλησε edd. 2 Παμφίλαν edd. 3 Deeſt ταύτην edd. 4 ἐν γράμ-

flagrans, Bacchidem precatus eſt, ne ſe miſere pereuntem negligeret. Et Bacchis, impetum adoleſcentis videns, monile dedit. Tum Plango, poſtquam adeo alienam ab invidiâ Bacchidem intellexit, monile ei remiſit, cum adoleſcente vero concubuit. Et ab eo tempore amicae hae inter ſe fuerunt, & communi benevolentiâ amatorem ſunt proſecutae. Quam rem mirati Iones, ut ait Menetor in libro de Donariis templorum, *Paſiphilam* vocarunt Plangonem. Cui etiam teſtimonium exhibet Archilochus in iſtis:

Ut ficus in ſcopulis nata multarum eſt altrix cornicum,
ſic benigna hoſpitum exceptrix Paſiphila.

Menandrum vero poëtam amaſſe *Glyceram*, in vulgus notum eſt. Nihilo vero minus ſuccenſuit ei. Nam quum Philemon, meretricis amore captus, *optimam* illam in aliquo dramate (*ſive*, in aliquo ſcripto, *aut* epigrammate) adpellaſſet; contra Menander ſcripſit, *nullam eſſe bonam*.

LXVII. Pythionice, Harpali amasia.

Ἅρπαλος δὲ ὁ Μακεδὼν, ὁ τῶν Ἀλεξάνδρου πολ-
e λὰ χρημάτων συλήσας, καὶ καταφυγὼν εἰς Ἀθήνας, ἐρασθεὶς Πυθιονίκης, πολλὰ εἰς αὐτὴν κατανάλωσεν ἑταίραν οὖσαν· καὶ ἀποθανούσῃ πολυτάλαντον μνημεῖον κατεσκεύασεν· ἐκφέρων τε αὐτὴν ἐπὶ τὰς ταφὰς, ὥς φησι Ποσιδώνιος [1] ἐν τῇ δευτέρᾳ καὶ εἰκοστῇ τῶν Ἱστοριῶν, τεχνιτῶν τῶν ἐπισημοτάτων χορῷ μεγάλῳ καὶ παντοίοις ὀργάνοις καὶ εὐφωνίαις [2] παρέπεμπε τὸ σῶμα. Δικαίαρχος δ', ἐν τοῖς Περὶ τῆς εἰς
f Τροφωνίου [3] καταβάσεως, φησί· „Ταὐτὸ δὲ πάθοι τις ἂν ἐπὶ τὴν Ἀθηναίων πόλιν ἀφικνούμενος, καὶ [4] ταύτην ἀπ' Ἐλευσῖνος τὴν Ἱερὰν ὁδὸν καλουμένην. καὶ γὰρ ἐνταῦθα καταστὰς, οὗ ἂν ᾖ [5] τὸ πρῶτον εἰς Ἀθήνας ἀφορώμενος νεὼς καὶ τὸ πόλισμα, ὄψεται παρὰ τὴν ὁδὸν αὐτὴν ᾠκοδομημένον μνῆμα, οἷον οὐχ ἕτερον οὐδὲ

Eiusdem magnificum monumentum Athenis,

ματι ms. *Ep.* διὰ τοῦ γράμματος edd. Forſ. διά του δράματος, aut διά τινος γράμματος. 1 Ποσειδώνιος edd. 2 συμφωνίαις ed. Caſ. 3 Τροφωνείου ms. *A.* 4 Rectius (puto) *abeſſet* καὶ particula: aut κατὰ ταύτην ſcrib. 5 οὗ ἂν φανῇ τὸ πρ. εἰς Ἀθ. ἀφορωμένῳ ὁ νεὼς corr. Valck.

67. *Harpalus* vero Macedo, is qui Alexandrum ingenti pecuniae ſumma ſpoliavit, Athenasque confugit, *Pythionicae* amore captus, multa in eam inſumſerat, cum ſcortum (ipſius) eſſet; poſt cuius obitum multorum talentorum monumentum ei poſuit: quumque ad ſepulturam efferret, ut ait Poſidonius libro viceſimo ſecundo Hiſtoriarum, cum ingenti celeberrimorum artificum choro, & omnifariorum muſicorum inſtrumentorum & carminum cantibus cadaver eſt' proſecutus. Dicaearchus vero, in libris De Deſcenſu in Trophonii Antrum, ait: »Simile quid acciderit ei, qui ad Athenienſium urbem acceſſerit hac ab Eleuſine viâ, quae Sacra vocatur. Nam ibi ſtans ubi primum verſus Athenas reſpicienti in oculos incurrit templum & arx, iuxta ipſam viam conſpiciet exſtructum monumentum, cuius cum magnitu-

σύνεγγυς οὐδέν ἐστι τῷ μεγέθει. τοῦτο δὲ τὸ μὲν πρῶτον, ὅπερ εἰκὸς, ἢ Μιλτιάδου φήσειε [1] σαφῶς, ἢ Περικλέους, ἢ Κίμωνος, ἤ τινος ἑτέρου τῶν ἀγαθῶν ἀν- a
δρῶν εἶναι· μάλιστα μὲν ὑπὸ τῆς πόλεως δημοσίᾳ κατεσκευασμένον· εἰ δὲ μή, δεδογμένον κατασκευάσασθαι. πάλιν δ' ὅταν ἐξετάσῃ Πυθιονίκης τῆς ἑταίρας, ἥν τινα χρὴ προσδοκίαν λαβεῖν αὐτόν; " Θεόπομπος δ' ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ, τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν, φησίν· „Ἐπίσκεψαι
& Babylone. δὲ, καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος, ὃν τρόπον Πυθιονίκην περιέστειλε τελευτήσασαν. ἡ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος· ἐκείνη δὲ Σινώπης τῆς Θρᾴττης, τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμέ- b
νης τὴν πορνείαν· ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον, ἀλλὰ καὶ τρίπορνον αὐτήν. ἀπὸ πλειόνων δὲ ταλάντων ἢ διακοσίων, δύο μνήματα κατεσκεύασεν αὐτῆς· ὃ

1 φήσειέ τις ed. Caſ. Plura verba deſunt ed. Ven. & Baſ.

dine multum abeſt ut aliud ullum poſſit conferri. Hoc igitur, ſtatim dixerit ille, eſſe aut Miltiadis haud dubie, aut Periclis, aut Cimonis, aut alterius cuiusdam optimorum virorum: illudque publico maxime civitatis ſumtu fuiſſe exſtructum; ſin minus, publico certe decreto poſitum. Rurſus vero cum ſciſcitando cognoverit eſſe Pythionicae meretricis, qualem [de Athenienſibus] opinionem debebit concipere? « Theopompus vero, in Epiſtolâ ad Alexandrum, Harpali accuſans inſolentiam, ait: » Diſpice vero, & plane cognoſce ex Babyloniis, quo modo Pythionicam vitâ functam proſecutus ſit. Bacchidis haec ſerva fuerat tibicinae; quae ipſa Sinopae ſervierat Thraciae, ei quae ſcortationis officinam ex Aegina Athenas transtulit: ut adeo non modo *triſerva*, ſed & *triſcortum* Pythionica fuerit. Huic igitur duo monumenta poſuit, in quae amplius ducentis talentis impen-

καὶ πάντες ἐθαύμαζον, ὅτι τῶν μὲν ἐν Κιλικίᾳ τελευτησάντων ὑπὲρ τῆς σῆς βασιλείας καὶ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, οὐδέπω νῦν οὔτ' ἐκεῖνος, οὔτε ἄλλος οὐδεὶς τῶν ἐπιστατῶν κεκόσμηκε τὸν τάφον· Πυθιονίκης δὲ τῆς ἑταίρας, φανήσεται τὸ μὲν Ἀθήνησι, τὸ δ' ἐν Βαβυλῶνι μνῆμα, πολὺν ἤδη χρόνον ἐπιτετελεσμέ-
c νον. ἦν γὰρ πάντες ἤδεσαν κοινῆς δαπάνης [1] κοινὴν τοῖς βουλομένοις γιγνομένην, ταύτης ἐτόλμησεν ὁ Φίλος εἶναι σοῦ Φάσκων ἱερὸν καὶ τέμενος ἱδρύσασθαι, καὶ προσαγορεῦσαι τὸν ναὸν καὶ τὸν βωμὸν Πυθιονίκης Ἀφροδίτης· ἅμα τῆς τε παρὰ θεῶν τιμωρίας καταφρονῶν, καὶ τὰς σὰς τιμὰς προπηλακίζειν ἐπιχειρῶν." Μνημονεύει τούτων καὶ Φιλήμων ἐν Βαβυλωνίῳ·

Βασίλισσ' ἔσῃ [2] Βαβυλῶνος, ἂν οὕτω τύχῃ.
τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

d μνημονεύει δ' αὐτῆς καὶ Ἄλεξις ἐν Λυκίσκῳ.

1 Duo verba κοινῆς δαπάνης delenda cenſuit Caſaub. 2 Βασιλίσσης ἢ edd. Βασιλίσσαις ἢ ms. *A*.

dit: ut mirarentur omnes, his qui in Cilicia pro tuo regno & pro Graecorum libertate mortem obierunt, nondum nec ab illo, nec ab eorum quoquam qui rebus praeſunt, ornata eſſe ſepulcra; Pythionicae vero meretricis monumentum aliud Athenis, aliud Babylone conſpici, iam pridem abſolutum. Quam enim norunt omnes mercede aequali omnibus propoſita communem fuiſſe volenti cuique, huic auſus eſt is, qui tuum ſe amicum dicit, templum atque ſacram aream ſtatuere, nominareque *fanum atque aram Pythionicae Veneris*; ſimul divini numinis ſpernens vindictam, & tuos honores ludibrio habere auſus." Meminit horum etiam Philemon in Babylonio:

Regina eris Babylonis, ſi ita res tulerit.
Pythionicam noſti, Harpalumque.

Eorumdem Alexis meminit in Lyciſco.

LXVIII. Glycera, Harpali amasia.

Μετὰ δὲ τὴν Πυθιονίκης τελευτήν, ὁ Ἅρπαλος Γλυκέραν μετεπέμψατο, καὶ ταύτην ἑταίραν, ὡς ὁ Θεόπομπος ἱστορεῖ· φάσκων, ἀπειρηκέναι τὸν Ἅρπαλον μὴ στεφανοῦν ἑαυτὸν, εἰ μή τις στεφανώσειε καὶ τὴν πόρνην. „Ἔστησέ τε εἰκόνα χαλκῆν τῆς Γλυκέρας ἐν Ῥωσσῷ[1] τῆς Συρίας, οὗπερ καὶ σὲ καὶ αὐτὸν ἀναστιθέναι μέλλει. [2] παρέδωκέν τε αὐτῇ κατοικεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ, καὶ ὁρᾷ[3] ὑπὸ τοῦ λαοῦ προσκυνουμένην, καὶ βασίλισσαν προσαγορευομένην, καὶ ταῖς ἄλλαις δωρεαῖς τιμωμένην, αἷς πρέπον ἦν e τὴν σὴν μητέρα καὶ τὴν σοὶ συνοικοῦσαν.“ Συνεπιμαρτυρεῖ δὲ τούτοις καὶ ὁ τὸν Ἀγῆνα τὸ Σατυρικὸν δραμάτιον γεγραφώς· ὅπερ ἐδίδαξε, Διονυσίων ὄντων ἐπὶ τοῦ Ὑδάσπου τοῦ ποταμοῦ, εἴ τε Πύθων ἦν ὁ Καταναῖος ἢ ὁ Βυζάντιος, ἢ καὶ αὐτὸς ὁ βασιλεύς. ἐδιδάχθη δὲ τὸ δρᾶμα ἤδη Φυγόντος τοῦ Ἅρπάλου ἐπὶ θάλατταν,[4] καὶ ἀποστάντος. καὶ τῆς μὲν Πυθιονί- Agen, drama satyricum.

1 Ταρσῷ edd. Ἐρασσῷ Ms. 2 μέλλειν vulgo. 3 Forſ. ἐρᾷ. 4 ἐπὶ θαλάττης edd.

68. Poſt Pythionicae obitum *Glyceram* arceſſivit Harpalus, eam quoque meretricem, ut tradit Theopompus, dicens *vetuiſſe Harpalum, ne quis ipſum corona donaret, quin ſimul ſcortum illud coronaret.* » Poſuitque aeneum Glycerae ſignum Roſſi in Syria, ubi & te & ſe ipſum dedicaturus eſt: eidemque regiam, quae Tarſi eſt, habitandam dedit; & adorari vult a populo, & reginam adpellari, & aliis muneribus honorari, quibus tuam matrem tuamque coniugem coli par erat. « His teſtimonium etiam exhibet is qui *Agenem* conſcripſit, Satyricum dramation; quod, quum Bacchanalia agerentur ad Hydaſpen fluvium, docuit ſive Python Caranaeus aut Byzantius, ſive rex ipſe. Acta eſt autem fabula cum iam ad mare profugiſſet Harpalus, defeciſſetque. Et Pythio-

κης, ὡς τεθνηκυίας, μέμνηται· τῆς δὲ Γλυκέρας, ὡς οὔσης παρ' αὐτῷ, καὶ τοῖς Ἀθηναίοις αἰτίας γινομένης [1]
f τοῦ δωρεὰς λαμβάνειν παρὰ Ἁρπάλου, λέγων ὧδε·

A. Ἔστι δ' ὅπου μὲν ὁ κάλαμος πέφυκε, τόδ' [2]
ἐφέταμ' ὄρνον.[3] οὐξ [4] ἀριστερᾶς δ' ὅδε
πόρνης ὁ κλεινὸς ναὸς,[5] ὃν δὴ Παλλίδης
τεύξας, κατέγνω διὰ τὸ πρᾶγμ' αὐτοῦ φυγήν.
ἐνταῦθα δὴ [6] τῶν βαρβάρων τινὲς μάγοι, 5
ὁρῶντες αὐτὸν παγκάκως [7] διακείμενον,
ἔπεισαν ὡς ἄξουσι [8] τὴν ψυχὴν ἄνω
a τὴν Πυθιονίκης. —

Παλλίδην δ' ἐνταῦθα ἐκάλεσε τὸν Ἁρπαλον. ἐν δὲ [9] τοῖς ἑξῆς τῷ κυρίῳ καλέσας αὐτὸν φησίν· [10]

— B. Ἐκμαθεῖν δέ σου ποθῶ, [11]

1 γενομένης fortaſſe. 2 πέφυκεν ὁ δ' vulgo. Forſ. πέφυκεν ὃδ'. 3 ἐφέτωμα ὄρνον vulgo. αἰέτωμα vel ἀέτωμα corr. viri docti. 4 ἐξ edd. 5 λαὸς vulgo. 6 δὲ vulgo. 7 παγκάλως vulgo. 8 ἀξιοῦσι edd. 9 *Abeſt* δὲ vulgo. 10 Abeſt φησίν edd. 11 ποθῶν vulgo, & dein ἄχραν ἀπ' οἴχων.

nicae quidem, ut iam defunctae, meminit; Glycerae vero, ut apud illum verſantis, & quae illi auctor fuiſſet dona mittendi Athenienſibus. Verba haec ſunt:

A. *Eſt, ubi calamus naſcitur, iſtud faſtigium*
ſuper avium volatum elatum: a ſiniſtra vero hoc
ſcorti famoſum templum; quod nempe Pallides
poſtquam exſtruxit, ipſe ad exſilium pro poena ſe con-
demnavit.
Ibi ſcilicet barbarorum magi quidam,
cum viderent illum ſumma triſtitia adfectum,
perſuaſerant homini, ſe ſurſum ducturos animam
Pythionicae. —

Pallidem hîc nominavit Harpalum: in ſequentibus vero proprio eumdem nomine adpellat; ubi ait:

— B. *At diſcere ex te cupio,*

μακρὰν ἀποικῶν κεῖθεν, Ἀτθίδα χθόνα
τίνες τύχαι καλοῦσιν, [1] ἢ πράττουσι τί;
Α. Ὅτε μὲν ἔφασκον δοῦλον ἐκτῆσθαι βίον,
ἱκανὸν ἐδείπνουν· νῦν δὲ τὸν χέδροπ' [2] ὠμὸν [3]
καὶ τὸν μάραθον [4] ἔσθουσι, πυροὺς δ' οὐ μάλα.
Β. Καὶ μὴν ἀκούω, μυριάδας τὸν Ἅρπαλον
αὐτοῖσι τῶν Ἀγῆνος οὐκ ἐλάσσονας
σίτου διαπέμψαι, καὶ πολίτην γεγονέναι.
Α. Γλυκέρας ὁ σῖτος οὗτος ἦν· ἐστὶν δ' ἴσως
αὐτοῖσιν ὀλέθρου, κοὐχ' ἑταίρας ἀρραβών.

LXIX. Naucratita Doricha; aliis Rhodopis.

Ἐνδόξους δὲ ἑταίρας καὶ ἐπὶ πόλλει διαφερούσας ἤνεγκε καὶ ἡ Ναύκρατις· Δωρίχαν τε, [5] ἣν ἡ καλὴ Σαπφὼ, ἐρωμένην γενομένην Χαράξου τοῦ ἀδελφοῦ αὐτῆς, κατ' ἐμπορίαν εἰς τὴν Ναύκρατιν ἀπαίροντος, διὰ τῆς ποιήσεως διαβάλλει, ὡς πολλὰ τοῦ Χαρά-

1 κατέχουσιν legebam. 2 χεδρόπαν ed. Caſ. 3 ἐμὸν edd. 4 μάραθων ms. *A*. 5 Δορίχαν τε edd. & dein Δωρίχης & Δωρίχα.

cum procul inde habitem, Atticam regionem
quaenam fata teneant, quidve ibi agant homines?
A. *Cum quidem dicebant ſervam ſe vivere vitam,*
tum abunde quod coenarent, habebant: nunc vero legumen crudum
& foeniculum edunt; tritici ſane parum.
B. *Atqui audio, myriadas Harpalum*
non pauciores, quam Agen, illis
miſiſſe frumenti, & civem eſſe receptum.
A. *Glycerae illud frumentum erat: eſt vero fortaſſe*
illis non amicae arrha, ſed exitii.

69. Sed & *Naucratis* celebres tulit meretrices, & pulcritudine formae praeſtantes. In his primum *Doricham*: quae cum eſſet Charaxi amaſia, fratris Sapphûs, qui mercaturae cauſſa Naucratin adpulerat, Sappho in ſuis carminibus eam accuſat, quod multâ illum pecuniâ ſpo-

c ξου νοσφισαμένην. Ἡρόδοτος δ' αὐτὴν Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη· ἣ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων· * * * Εἰς δὲ τὴν Δωρίχαν τόδ' ἐποίησε τοὐπίγραμμα Ποσίδιππος,[1] καίτοι ἐν τῇ[2] Αἰθιοπίᾳ πολλάκις αὐτῆς μνημονεύσας. ἔστι δὲ τόδε·[3]

Δωρίχα, ὀστέα μὲν σὰ πάλαι[4] κοιμήσατο,[5] δεσμὸν[6]
χαίτης, ἥ τε μύρων ἔκπνοος[7] ἀμπεχόνη·
d ἦ ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον,
σύγχρους ὀρθρινῶν ἧψαο κισσυβίων.
Σαπφῶαι δὲ μένουσι φίλης ἔτι, καὶ μενέουσι, 5
ὠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες.
Οὔνομα σὸν μακαριστόν, ὃ Ναύκρατις ὧδε φυλάξει

1 Ποσείδιππος edd. 2 καὶ ἐν τῇ malebam, absque τοι. 3 ἔστι τόδε Ms. Prorsus abesse ista malim, ni aliud quid hîc latet. 4 μὲν σ' ἀπαλὰ vulgo. 5 κοσμήσατο edd. 6 δεσμῶν vulgo. δεσμὸς corr. viri docti. 7 ἔμπνοος edd.

liaverit. Herodotus eamdem *Rhodopin* nominat; nescius diversam a Doricha esse hanc, quae etiam famosa illa verucula Delphis dedicavit, quorum Cratinus meminit his verbis: * * * In *Doricham* vero Posidonius, qui eiusdem in sua *Aethiopia* etiam saepius meminit, Epigramma hocce composuit:

Doricha, ossa quidem tua pridem (hîc) reposita sunt, & fasciculus
crinium, & unguenta spirans vestimentum:
tu, quae olim venustum prosequens Charaxum,
adcubans illi, matutina tractasti pocula.
Sapphoae vero manent adhuc, manebuntque,
dilectorum canticorum loquentes splendidae paginae.
Tuum nomen beatum praedicandum, quod Naucratis hîc custodiet,

ἔστ' ἂν ἐπὶ Νείλου [1] ναῦς ἔφαλος γεγάνῃ. [2]
Καὶ Ἀρχεδίκη δ' ἦν ἐκ τῆς Ναυκράτεως, καὶ αὐτὴ ἑταίρα καλή. „Φιλεῖ γάρ πως ἡ Ναύκρατις, ὡς ὁ Ἡρόδοτός φησιν, ἐπαφροδίτους ἔχειν τὰς ἑταίρας." e

LXX.

Sappho Eresia.

Nicareta.

Biliſtiche.

Leaena, Harmodii amaſia.

Καὶ ἡ ἐξ Ἐρέσου [3] δέ τις ἑταίρα [4] Σαπφὼ, τοῦ καλοῦ Φάωνος ἐρασθεῖσα, περιβόητος ἦν, ὡς φησι Νύμφις ἐν Περίπλῳ Ἀσίας. Νικαρέτη δὲ ἡ Μεγαρὶς οὐκ ἀγεννὴς ἦν ἑταίρα, ἀλλὰ καὶ γονέων [5] καὶ κατὰ παιδείαν ἐπέραστος ἦν, ἠκροᾶτο δὲ Στίλπωνος τοῦ φιλοσόφου. Βιλιστίχη δὲ ἡ Ἀργεία, ἑταίρα καὶ αὐτὴ ἔνδοξος, τὸ γένος ἀπὸ τῶν Ἀτρειδῶν σώζουσα, ὡς οἱ τὰ Ἀργολικὰ γράψαντες ἱστοροῦσιν. Ἔνδοξος δέ ἐστι καὶ Λέαινα ἡ ἑταίρα, Ἁρμοδίου ἐρωμένη τοῦ τυ- f
ραννοκτονήσαντος· ἥ τις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν τὸν τύραννον, οὐδὲν ἐξειποῦσα ἐναπέθανε ταῖς

1 εἰη Νείλου vulgo. 2 γεγόνῃ corrigunt. 3 Ἐρεσσοῦ ed. Ven. & Baſ. Ἐρεσοῦ ed. Caſ. 4 δὲ τῆς ἑτέρας vulgo. δὲ τῆς ἑτέρας ὁμώνυμος corr. Caſaub. Forſ. δέ τις ἑτέρα malles. 5 Forſ. καὶ γονέων εὐγενῶν.

quamdiu ſuper Nilo maritima navis fuerit.

Tum vero etiam Archedica ex Naucrati fuit oriunda, meretrix item formoſa. »Solet enim Naucratis, ut ait Herodotus, venuſtas habere meretrices. «

70. Sed & *Ereſo* oriunda meretrix quaedam *Sappho*, quae pulcrum Phaonem amavit, celebris fuit, ut ait Nymphis in Aſiae Periplo. *Nicareta* vero Megarenſis non ignobilis fuit meretrix, ſed & honeſtis parentibus nata, & ob doctrinam amabilis erat: Stilponem enim philoſophum audierat. *Biliſtiche* vero Argiva, celebris item meretrix, genus ab Atridis repetens, ut tradunt qui Res Argolicas ſcripſerunt. Celebratur quoque *Leaena* meretrix, Harmodii amaſia tyrannicidae: quae etiam cruciata iuſſu Hippiae tyranni, nihil enuncians in tormentis mortua

βασάνοις.[1] Στράτοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν [2] Λήμην [3] ἑταίραν, τὴν καλουμένην Παρόραμα·[4] διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ Περὶ Ἑταιρῶν.

Ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν· Ἀλλὰ μικροῦ, ἔφη, ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδὴν,[5] προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν[6] Λυδὴν, ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. ἑκάτερος γὰρ[7] τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς, ἐποίησεν ὁ μὲν ἐν ἐλεγείοις, ὁ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λυδήν. παρέλιπον δὲ καὶ τὴν Μιμνέρμου αὐλητρίδα Νανν ὼ, καὶ τὴν Ἑρμησιάνακτος τοῦ Κολοφωνίου Λεόντιον· ἀπὸ γὰρ ταύτης, Antimachi Lyda.

1 τοῖς βασάνοις edd. 2 Permutandae fortaſſe ſedes verborum καλουμένην & ἐπικληθεῖσαν. 3 Temere Λίμην ed. Baſ. Δήμην ed. Caſ. 4 Παρόραμον edd. Δίδραχμον corr. Valck. Πάνορμον Iac. 5 Rectius Λύδην & Λύδης *penacute* ſcribetur. 6 ἑτέραν edd. 7 An ἑκάτερος δὲ τούτων ?

eſt. Stratocles vero orator amaſiam habuit, Lemen (*id eſt*, gramiam) cognominatam, quae *Parorama* [*ſive* Didrachma, *ſive* Panormus] nominabatur eo, quod duarum drachmarum pretio quemcumque volentem conveniebat, ut ait Gorgias in libro De Meretricibus.

His dictis Myrtilus, cum taciturus videretur: At propemodum, inquit, viri amici, oblitus eram *Antimachi* vobis *Lydam* nominare, itemque cognominem huius aliam *Lydam*, quam amavit *Lamynthius* Mileſius. Uterque enim [*Immo:* Uterque vero] horum poëtarum, ut ait Clearchus in Amatoriis, barbarae Lydae deſiderio flagrans, carmen *Lydam* inſcriptum, alter elegiacum, lyricum alter, compoſuit. Praetermiſi vero etiam *Mimnermi* tibicinam *Nanno*, & *Hermesianactis* Colophonii *Leontium*: a cuius nomine, cum eſſet ipſius amaſia,

ἐρωμένης αὐτῷ γενομένης, ἔγραψεν Ἐλεγειακὰ τρία βιβλία, ὧν [1] ἐν τῷ τρίτῳ καταλογον ποιεῖται ἐρωτικῶν, οὑτωσί πως λέγων· b

LXXI.

Ex Hermesianactis *Leontio*, s. Elegiarum libro III.

Οἵην μὲν Φίλος υἱὸς ἀνήγαγεν Οἰάγροιο
Ἀγριόπην, Θρῇσσαν στειλάμενος κιθάρην, [2]
Αἰδόθεν. ἔπλευσε δὲ κακὸν καὶ ἀπειθέα χῶρον,
ἔνθα Χάρων κοινὴν [3] ἕλκεται εἰς ἄκατον
ψυχὰς οἰχομένων, λίμνης [4] δ' ἐπὶ μακρὸν ἀϋτεῖ [5]
ῥεῦμα [5] δι' ἐκ μεγάλων ῥυομένης [6] δονάκων.
ἀλλ' ἔτλη παρὰ κῦμα μονόζωστον [7] κιθαρίζων c
Ὀρφεύς, παντοίους δ' ἐξανέπεισε θεούς·
Κωκυτόν τ' ἀθέμιστον, [8] ἐπ' ὀφρύσι [9] μειδήσαντα.
ἠδὲ καὶ αἰνοτάτου βλέμμ' ὑπέμεινε κυνὸς,

1 ὃς edd. ὡς Ms. 2 κιθάρῃ edd. unde Θρῄσσα στειλ. κιθάρῃ maluerat Ruhnk. 3 ἀχολὴν edd. cum Msto. ἄχραν coniecta-verat Valck. Forſ. ἄχορῆ. 4 λίμνη edd. λίμιη Ms. 5 χεῦμα maluit Ruhnk. 6 ῥυομένη vulgo. 7 μονόζωστος Ruhnk. 8 Forſ. ἀπόθεστον. 9 ὑπ' ὀφρύσι corr. Ruhnk.

titulum ille inſcripſit Elegiarum libris tribus, quorum in tertio recenſum facit Amantium, his fere utens verbis:

71. *Qualem (noſti) carus Oeagri filius reduxit*
Agriopen, Thraciâ inſtructus citharâ,
ex Orco. Navigavit vero improbam & intractabilem regionem,
ubi Charon communem (ſ. inſatiabilem) trahit in cymbam
animas defunctorum, & paludis late reſonat
unda, ex vaſtis profluens arundinetis.
Conſtanti tamen animo iuxta fluctus ſolitarium carmen citharâ cecinit
Orpheus, omnigenosque flexit Deos,
ipſumque Cocytum horrendum, ſupercilio ſubridentem.
Quin & truculenti adſpectum tulit canis,

ἐν πυρὶ μὲν Φωνὴν [1] τεθωμένου, ἐν πυρὶ δ' ὄμμα
σκληρὸν, τριστοίχοις δεῖμα φέρον [2] κεφαλαῖς.
ἔνθεν ἀοιδιάων μεγάλους ἀνέπεισεν ἄνακτας,
Ἀγριόπην μαλακοῦ πνεῦμα λαβεῖν βιότου.
Οὐ μὴν οὐδ' υἱὸς Μήνης ἀγέραστον ἔθηκεν
d Μουσαῖος, Χαρίτων ἤρανος, Ἀντιόπην·
ἥ τε [3] πολυμνήστησιν, Ἐλευσῖνος παρὰ πέζαν,
εὐασμὸν [4] κρυφίων ἐξεφόρει λογίων,
Ῥάριον ὀργιῶν [5] ἀνεμώλια ποιπνύουσα [6]
Δήμητρα· γνωστὴ δ' ἐστὶ καὶ εἰν ἀΐδῃ.
Φημὶ δὲ καὶ Βοιωτὸν ἀποπρολιπόντα μέλαθρα [7]
Ἡσίοδον, πάσης ἤρανον ἱστορίης,
Ἀσκραίων [8] ἐσικέσθαι ἔχονθ' [9] Ἑλικωνίδα κώμην·
ἔνθεν ὅ γ' Ἠοίην μνώμενος Ἀσκραϊκὴν,

1 φωνῇ vulgo. 2 φέρων vulgo. 3 ὅστε edd. 4 εὔοσμον edd. 5 ὀργίων vulgo. 6 ἀνέμω διαποιπνύουσα vulgo. 7 μελάθρων ed. Ven. μέλαθρον ed. Baſ. & Caſ. μέλαθραν Ms. 8 Ἀσκραῖον edd. 9 ἔχων Ms. ἑκόνθ' corrigunt viri docti.

igne vocem acuentis, igneque acuentis obtutum
durum, triplici ex capite terrores inferentem.
Ibi ſuo cantu magnos flexit reges, eisque perſuaſit,
Agriopa ut dulcis vitae reciperet ſpiritum.
At nec filius Selenes inhonoratam praeſtitit
Muſaeus, Gratiarum amaſius, Antiopen:
quae (virginibus) *multorum votis expetitis in Eleuſinis ſolo*
laetas voces occultorum effrebat oraculorum,
Rhariae ſacerdos fruſtra miniſtrans
Cereri: celebrata vero eſt etiam in Orco.
Dico vero etiam, Boeotum relictâ domo
Heſiodum, omnis cuſtodem doctrinae,
Aſcraeorum veniſſe in Heliconidem vicum:
ubi Eoeam ambiens Aſcraicam

πόλλ' ἔπαθεν, πάσας δὲ λόγων ἀνεγράψατο βί- e
βλους, 25
ὕμνων ἐκ πρώτης παιδὸς ἀναρχόμενος. [1]
Αὐτὸς δ' οὗτος ἀοιδός, ὃν ἐκ Διὸς αἶσα φυλάσσει
ἥδιστον [2] πάντων δαίμονα μουσοπόλων, [3]
λεπτὴν γ' εἰς Ἰθάκην ἀνετείνετο θεῖος Ὅμηρος
ᾠδῆσιν, πινυτῆς εἵνεκα Πηνελόπης· 30
ἣν διὰ πολλὰ παθὼν ὀλίγην ἐσενάσσατο νῆσον,
πολλὸν ἀπ' εὐρείης λειπόμενος πατρίδος· f
ἔκλαιεν δ' Ἰκάρου τε γένος, καὶ δῆμον Ἀμύκλου
καὶ Σπάρτην, ἰδίων ἁπτόμενος παθέων.
Μίμνερμος δὲ τὸν ἡδὺν ὃς εὕρετο, πολλὸν ἀνατλὰς,
ἦχον, καὶ μαλακοῦ πνεῦμ' ἀπὸ [4] πενταμέτρου, a
καίετο μὲν Ναννοῦς· πολιῷ δ' ἐπὶ [5] πολλάκι λωτῷ, [6]
κνημωθεὶς, κώμους εἶχε [7] συνεξανύων. [8]

1 ἀνερχόμενος vulgo. 2 κύδιστον coni. Ruhnk. 3 μουσοπόλον Ms. 4 πνεῦμα τὸ πεντ. corrigunt docti viri. 5 Forſ. δ' ἔτι. 6 πολλὰ κιμώτω edd. 7 σίχε vulgo. Forſ. ἶχε. 8 σύνδρα-

multa paſſus eſt, & omnes ſermonum ſuorum libros conſcripſit,
carminum ab hac puella primo auſpicio capto.
Ipſe vero ille cantor, quem Sors ex Iove cuſtodit
ſuaviſſimum omnium deum Muſas-colentium,
tenuem in Ithacam contendit divinus Homerus
ſuis cum carminibus, prudentis Penelopae cauſſâ:
quam propter multa paſſus, exiguam inſulam habitatum conceſſit,
longe a lata remotus patria:
deflevitque Icari genus, & Amycli gentem
Spartamque, propriorum ſenſu malorum tactus.
Mimnermus vero, ſuavem qui reperit, multa perpeſſus,
ſonum, & mollis pentametri ſpiritum,
ardebat Nannûs amore: & canâ adhuc ſaepe tibiâ,
prurigine concitatus, comeſſationes cum ea inſtituebat.

ἦχθεε δ' Ἑρμόβιον τὸν ἀεὶ βαρὺν, ἠδὲ [1] Φερέκλην
ἐχθρὸν μισήσας, τοιάδ' [2] ἔπεμψεν ἔπη.
Λυδῆς [3] δ' Ἀντίμαχος Λυσηΐδος [4] ἐκ μὲν ἔρωτος
πληγεὶς, Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ.
b Δαρδάνην [5] δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
κλαίων, αἰάζων [6] δ' ἦλθεν [7] ἀποπρολιπὼν
ἄκραν [8] ἐς Κολοφῶνα· γόων δ' ἐνεπλήσατο [9] βί-
βλους
ἱρὰς, [10] ἐκ παντὸς παυσάμενος καμάτου.
Λέσβιος Ἀλκαῖος δὲ πόσους ἀνεδέξατο κώμους,
Σαπφοῦς φορμίζων ἱμερόεντα πόθον,
γιγνώσκεις. [11] ὁ δ' ἀοιδὸς ἀηδόνος ἠράσαθ', ὕμνων [12]
c Τήϊον ἀλγύνων ἄνδρα πολυφραδίῃ.
Καὶ γὰρ τὴν ὁ μελιχρὸς ἐφωμίλησ' [13] Ἀνακρείων

μίν edd. συνεξαμύν Ms. 1 οὐδὲ vulgo. 2 τόιαν Ms. 3 Rectius Λύδης. 4 Λυδηΐδος fortasse. Χρυσηΐδος edd. 5 Σαρδιανὴν legebam cum Lenn. Δαρδάνη Ms. Unde λάρναχί νιν δὲ θανοῦσαν corrigendum censuit Ruhnk. 6 καλλίον' ἴξαον edd. καλλίων αἴζαον Ms. 7 δῆθεν edd. διῆλθεν Cod. Med. & Ven. 8 ἄκραν edd. ἄκρον Ms. An ἄκων? 9 ἀνεπλήσατο edd. 10 ἱερὰς Ms. 11 γινώσκεις Ms. 12 ὑμνῶν Ms. 13 Forſ. ἐφ' ὡμίλησ'.

Oderat Hermobium ſemper violentum: item Pherecli inimico infenſus, talia carmina miſit.
Lydae vero Lydiae Antimachus amore captus, Pactoli amnis adiit fluenta.
Mortuam vero Sardicâ ſub aridâ poſuit terrâ plorans; & cum lamentis (eam) relinquens abiit altam Colophonem, querelisque replevit libros ſacros, ab omni labore requieſcens.
Lesbius Alcaeus quot ſusceperit comeſſationes, Sapphûs citharâ canens amabile deſiderium, noſti. Amabat nempe luſciniam cantor, & carminum ſolertiâ doloribus Teium virum urebat.
Cum hac enim conſuevit etiam melliſluus Anacreon,

στελλομένην πολλαῖς ἄμμιγα Λεσβιάσι·
φοίτα δ' ἄλλοτε μὲν λείπων [1] Σάμον, ἄλλοτε δ' αὐτὴν
οἰνηρὴν δουρὶ [2] κεκλιμένην πατρίδα,
Λέσβον ἐς εὔοινον· τὸ δὲ δὴ ῥίον εἴσιδε Λέκτον [3]
πολλάκις Αἰολικοῦ κύματος ἀντιπέρας.
Ἀτθὶς [4] δ' οἷα μέλισσα πολυπρήνα κολώνην [5]
λείπουσ', ἐν τραγικαῖς ἥδε χοροστασίαις. [6]
Βάκχον καὶ τὸν Ἔρωτ' ἀγειραιθειαρειδος [7] d
. . . . . Ζεὺς ἔπορεν Σοφοκλεῖ.
Φημὶ δὲ κἀκεῖνον τὸν ἀεὶ πεφυλαγμένον ἄνδρα,
καὶ πάντων μῖσος κτώμενον ἐκ συνοχῶν [8]
πάσας ἀμφὶ γυναῖκας, ὑπὸ σκολιοῖο τυπέντα
τόξου, νυκτερινὰς οὐκ ἀποθέσθ' ὀδύνας.

1 προλιπὼν edd. 2 Δοῦριν vulgo. 3 Vulgo τὸ δὲ μυρίον εἴσιδε λέκτρον. 4 Αὖθις vulgo. 5 πολυπρίωνα κοδώνην vulgo. 6 *Delenda* fortasse *distinctionis nota*. 7 ἀγεῖραιθ' † ἀρειδος edd. Forſ. Ἔρωτα γεραίρειν θεία ἀοιδῇ vel θείῳ ἀοιδῷ: aut Ἔρωτ' ἐγέραιρεν θεῖος ἀοιδός. 8 Varie tentarunt viri docti.

ornatâ multas inter Lesbias:
veniebatque, modo Samum relinquens, modo ipſam
vini-feracem armis ſubiugatam patriam,
in Lesbum vino excellentem, promontoriumque ſaepe conſpiciebat
Lectum in oppoſito Aeolici fluctus litore.
Attica vero apis (noſti) qualia, multi-collem relinquens
clivum, cecinerit chororum in ſtationibus.
Bacchum & Amorem divino honorare cantu
Iupiter dedit Sophocli. — —
Dico vero & illum ſemper caventem virum,
qui omnium odium incurrit ex abſtinentia [ſive, *ob convicia*]
omnes circa mulieres, obliquo percuſſum
arcu, nocturnos non depoſuiſſe dolores.

ἀλλὰ Μακηδονίης πάσας κατενίσατο λαύρας,
Αἰγείων [1] μέθεπεν δ' Ἀρχέλεω ταμίην·
εἰσόκε τοι [2] δαίμων Εὐριπίδῃ εὗρεν [3] ὄλεθρον,
ἀμφὶ βίου στυγνῶν ἀντιάσαντι κυνῶν.
Ἄνδρα δὲ, τὸν Κυθέρηθεν ἀνετρέψαντο τιθῆναι,
Βάκχου καὶ λωτοῦ πιστότατον ταμίην,
Μοῦσαι παιδευθέντα Φιλόξενον, οἷα τιναχθεὶς
ὠρυγῇ ταύτης ἦλθε διὰ πτόλεως,
γιγνώσκεις, αἰίουσα [4] μέγαν πόθον, ὃν Γαλατείης
αὐτοῖς μηλείοις [5] θήκαθ' ὑπὸ προγόνοις.
Οἶσθα δὲ καὶ τὸν ἀοιδὸν, ὃν Εὐρυπύλου πολῖται
Κῶοι χάλκειαν θῆκαν, ὑπὸ πλατάνῳ
Βιττίδα [6] μολπάζοντα θοὴν, περὶ πάντα Φιλητᾶν
ῥήματα [7] καὶ πᾶσαν ῥυόμενον λαλιήν.

1. Ἀργείαν coni. Caſ. Αἴγειαν Weſt. 2. Deeſt τοὶ Ms. Forſ. εἴ-σοχε δὴ δαίμ. 3. εὕρετ' Ms. 4. γιγνώσκει καίουσα edd. γιγνώσκει καὶ οὖσαν Ms. 5. μηλίοις Ms. & ed. Ven. & Baſ. unde Μηλίοις ed. Caſ. 6. Βαττίδα corrigunt docti viri. 7. Temere πήματα ed. Baſ. & Caſ.

Sed Macedoniae vias omnes pervagatus eſt,
Aegeorum quaerens praefectum Archelai;
donec Deus Euripidi reperit exitium,
diris occurrenti canibus, ut de vita eius ageretur.
Virum vero Cytherium, quem educarunt nutrices,
Bacchi tibiaeque fidiſſimum promum condum,
Muſae, alumnum Philoxenum, quo pacto perculſus
clamore per hanc venerit urbem,
noſti; audiviſti enim ingens deſiderium Galateae, quod
ipſis ovium ſuppoſuit primogenitis.
Noſti vero etiam cantorem illum, quem Eurypyli cives
Coi aeneum poſuerunt, ſub platano qui
Battidem cecinit alacrem, Philetam, qui cuncta
vocabula omnemque poſteris conſervavit ſermonem.

Οὐδὲ μὲν οὐδ' ὁπόσοι σκληρὸν βίον ἐστήσαντο
ἀνθρώπων, σκολιὴν μαιόμενοι σοφίην,
οὓς αὐτὴ [1] περὶ πικρὰ λόγοις [2] ἐσφίγξατο μῆτις,
καὶ δεινὴ μύθων κῆδος [3] ἔχουσ' ἀρετή·
οὐδ' οἵδ' αἰνὸν [4] ἔρωτος ἀπεστρέψαντο [5] κυδοιμὸν
Φαινόμενον, [6] δεινὸν δ' ἦλθον ὑφ' ἡνίοχον.
Οἵη μὲν Σάμιον μανίη κατέδησε Θεανοῦς
Πυθαγόρην, ἑλίκων κομψὰ γεωμετρίης
εὑρόμενον· [7] καὶ κύκλον, ὅσον περιβάλλεται αἰθὴρ,
βαιῇ [8] ἐν σφαίρῃ πάντ' ἀποτασσόμενον. [9]
Οἵῳ δ' ἐχλίηνεν ὃν [10] ἔξοχον ἐχρῆν πολλῶν [11]
ἀνθρώπων εἶναι Σωκράτη ἐν σοφίῃ,

1 Forſ. αὖθ' ἡ. 2 λόγοι ed. Ven. & Baſ. λόγων deſiderabam. 3 κῦδος edd. 4 οὐδ' οἳ δεινὸν edd. οὐδ' οἶδεν ὃν Ms. 5 ἀπετρέψαντο edd. 6 Sunt qui μαινόμενον malint. 7 εὑράμενον ed. Caſ. 8 βίης ἐν σφ. Ms. βαιῇ τ' ἐν σφ. edd. 9 ἀπομασσόμενον coni. viri docti. 10 Vulgo οἵῳ δ' ἐχλειημένον. 11 ἐχρῆν * εἶναι edd. & verſ. ſq. πολλῶν δ' ἀνθρώπων Σωκρ. ἐν σοφ.

Nec vero quicumque hominum durum vitae inſtitutum
ſecuti ſunt, tortuoſam quaerentes ſapientiam,
nec rurſus quos acerba ratiocinationum conſtrictos habet
ſcientia,
aut valida virtus quae orationem curat: [vel, *orationis*
virtus, quae in honore habetur:]
ne hi quidem dirum amoris averſati ſunt tumultum,
cum ſe illis offerret; ſed gravis aurigae iugo colla ſub-
miſere.
Qualis quidem Samium furor adligavit Theanoni
Pythagoram, qui complicatarum Geometriae figu-
rarum pulcram ſcientiam
invenit, & magnum coeli orbem, quantum quantum cin-
git aether,
minuta in ſphaera totum digeſſit.
Qualem porro accendit in Socrate, quem oportebat ſu-
periorem
vulgo eſſe hominum in ſapientia,

Κύπρις μηνίουσα πυρὸς μένει. ἐκ δὲ βαθείης
b ψυχῆς κουφοτέρας [1] ἐξεπόνησ' [2] ἀνίας,
οἰκί' ἐς Ἀσπασίης πωλεύμενος· οὐ δέ τι τέκμαρ
εὗρε, λόγῳ [3] πολλὰς εὐράμενος διόδους.
Ἄνδρα Κυρηναῖον δ' [4] εἴσω πόθος ἔσπασεν Ἰσθμοῦ
δεινόν· [5] ὅ τ' Ἀπιδανῆς [6] Λαΐδος ἠράσατο. 96
ὀξὺς Ἀρίστιππος, πάσας δ' ἠνήνατο [7] λέσχας
φεύγων, οὐδαμένον ἐξεφόρησε βίῳ. [8]

c Ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται, συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ' ἐν τῷ Περὶ Σαπφοῦς, καὶ λέγειν τινὰς, φησὶν, εἰς αὐτὴν πεποιῆσθαι ὑπὸ Ἀνακρέοντος τάδε·

LXXII. Sappho & Anacreon, an aequales?

1 χουροτέρας edd. 2 ἐξεσόβησε corrigunt docti. 3 Forſ. λόγων. 4 Deeſt δ' Ms. 5 δεινός corr. Ruhnk. 6 ἀπιδανῆς vulgo. εὐπιθανῆς corr. Ruhnk. οὐ πιθανῆς equidem coniectabam. 7 ἠνήσατο edd. 8 Interpretati ſummus tamquam eſſet οὐδαμενὸν ἐξεφόρησε βίον.

Cypris irata vehementiam ignis. Ex profundo ille ſuo animo levioribus operam dedit curis,
domum Aſpaſiae frequentans: nec vero exitum reperit is, qui cuique quaeſtioni propoſitae plures exitus noverat.
Cyrenaeum virum ſolertem intra Iſthmum amor traxit, & Peloponneſiam (ſive, & ſibi haud facilem) deperiit Laidem
acutus Aristippus, omnes autem repudiavit disputationes fugitque, & nugatoriam edidit vitam.

72. In his fallitur Hermeſianax, aequales fuiſſe putans Sapphonem & Anacreontem; cum ille regnante Cyro vixerit & Polycrate, haec vero Haliattis aetate, Croeſi patris. Chamaeleon vero, in libro de Sapphone, nonnullos etiam dicere ait, factos in illam ab Anacreonte verſiculos hosce:

Σφαίρῃ δεῦτέ με πορφυρέῃ [1]
βάλλων χρυσοκόμης Ἔρως,
νυνὶ [2] ποικίλος λαμβάνω, [3]
συμπαίζειν προκαλεῖται.
ἥ δ', ἐστὶ γὰρ ἀπ' εὐκτίτου [4]
Λέσβου, τὴν μὲν ἐμὴν κόμην,
λευκὴ γάρ, καταμέμφεται,
πρὸς δ' ἄλλην [5] τινὰ χάσκει.

Καὶ τὴν Σαπφὼ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν·

Κεῖνον, [6] ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες [7]
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήϊος [8] χώρας ὃν [9] ἄειδε τερπνῶς
πρέσβυς ἀγαυός. [10]

Ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα, παντί που δῆλον. Ἐγὼ δὲ ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνα-

1 πορφύρ' ἐνιβάλλων vulgo. 2 νυνι Ms. νοῦν ποικίλος corr. Pauw. 3 Forſ. τήνη, ποικίλα λαμβάνων. 4 εὐκτικοῦ vulgo. 5 ἄλλον corrigunt viri docti. 6 Κείνων vulgo. 7 εἴνασπες edd. εἰνσπες Ms. 8 Τηΐας corr. Grotef. ὁ Τήϊος vulgo. 9 ὅ' ἄειδε vulgo. 10 ἀγλαός vulgo.

Globo, age, me purpureo
petens auricomus Amor,
huic, varie me prenſans,
ut colludam provocat.
At illa, eſt enim ex bene habitatâ
Lesbo, meam quidem comam,
cana cum ſit, vituperat,
& alii cuipiam inhiat.

Atque etiam Sapphonem in illum haec ait dixiſſe:

Iſtum, o aurithrona Muſa, dictaſti
hymnum, ex mulieribus praeſtante praeclarâ
terrâ Teius quem cecinit iucunde
nobilis ſenex.

At, non eſſe Sapphûs hanc cantilenam, cuivis puto perſpicuum eſt. Ego vero exiſtimo, per luſum iſta de Ana-

κτα περὶ τούτου τοῦ ἔρωτος. καὶ γὰρ Δίφιλος ὁ κωμῳδιοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα.

e Ταῦτα ὑμῖν, ὦ ἑταῖροι, οὐκ ἀμελέμνως δοκῶ τὸν ἐρωτικὸν τοῦτον πεποιῆσθαι κατάλογον, οὐκ ὢν οὕτως ἐρωτομανὴς, ὡς διαβάλλων με εἴρηκεν ὁ Κύνουλκος· ἀλλ' ἐρωτικὸς μὲν εἶναι ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ.

Τίς δ' ἔστ' ἀνάγκη δυστυχεῖν ἐν πλείοσιν,
ἐξὸν σιωπᾶν κἀν σκότῳ κρύπτειν τάδε;

Αἰσχύλος ἔφη ὁ Ἀλεξανδρεὺς, ἐν Ἀμφιτρύωνι. οὗτος δ' ἐστὶν Αἰσχύλος ὁ καὶ τὰ Μεσσηνιακὰ ἔπη συνθεὶς, ἀνὴρ εὐπαίδευτος. Aeſchylus Alexandrinus.

f Ὑπολαμβάνων οὖν μέγαν εἶναι δαίμονα καὶ δυνατώτατον τὸν Ἔρωτα, προσέτι τε καὶ τὴν Ἀφροδίτην τὴν χρυσῆν, τὰ Εὐριπίδου ἐπὶ νοῦν λαμβάνων, λέγω· LXXIII. Venus & Amor, Deorum maximi.

creontis amore ſcripſiſſe Hermeſianactem. Nam Diphilus quoque, comicus poëta, in fabula quae Sappho inſcripta eſt, amatores Sapphûs fecit Archilochum & Hipponactem.

Atque ita, Amici, videor mihi non indiligenter *recenſum* hunc vobis feciſſe *Amantium;* qui non ſum quidem ita inſane amans, ut me calumnians dixit Cynulcus: ſed amantem quidem me eſſe profiteor, non vero inſane amantem.

Quid enim neceſſe eſt multis verbis amplificare miſeriam, cum tacere liceat, & tenebris haec tegere?

ait Aeſchylus Alexandrinus, in Amphitryone. Eſt autem hic Aeſchylus idem, qui etiam Meſſeniaca compoſuit carmina, vir ſane quam eruditus.

73. Igitur cum magnum eſſe Deum potentiſſimumque exiſtimem *Amorem*, itemque auream *Aphroditen*, Euripidis verſus illos mecum recolens, aio:

Τὴν Ἀφροδίτην οὐχ ὁρᾷς ὅση θεός;
ἣν οὐδ' ἂν εἴποις, οὐδὲ μετρήσειας ἄν,
ὅση πέφυκε, καὶ ἐφ' ὅσον διέρχεται.
Αὕτη τρέφει σὲ κἀμὲ καὶ πάντας βροτούς.
τεκμήριον δὲ μὴ λόγῳ μόνον μάθῃς,
ἔργῳ δὲ δείξω τὰ σθένος τὸ τῆς θεοῦ.
Ἐρᾷ μὲν ὄμβρου γαῖ', [1] ὅταν [2] ξηρὸν πέδον,
ἄκαρπον αὐχμῷ, νοτίδος ἐνδεῶς ἔχῃ. [3]
ἐρᾷ δ' ὁ σεμνὸς οὐρανὸς, πληρούμενος
ὄμβρου, πεσεῖν εἰς γαῖαν Ἀφροδίτης ὕπο.
ὅταν δὲ συμμιχθῆτον ἐς ταυτὸν δύο,
φύουσιν ἡμῖν πάντα, καὶ τρέφουσ' ἅμα,
δι' ὧν βρότειαν ζῇ τε καὶ θάλλει γένος.

Καὶ ὁ σεμνότατος δ' Αἰσχύλος, ἐν ταῖς Δαναΐσιν, αὐτὴν παράγει τὴν Ἀφροδίτην λέγουσαν·

Ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι [4] χθόνα,

1 γαῖα mssti. 2 ὅτε vulgo. 3 ἔχει edd. cum ms. *Ep.* 4 τρῆσαι corr. Grot.

Quam magna vis ſit Veneris an nondum vides?
Haud lingua fari valeat, haud mens aſſequi,
quanta illa, quoque numen extendat ſuum.
Alit illa teque meque & omne hominum genus.
Nec habere nudis te volo verbis fidem:
orationis ipſa res ſponſor meae eſt.
Cerne, amet ut imbrem Terra, cum ſterile ſolum
ſquallore lugens poſcit humectis opes.
Rurſum amat & Aether ipſe, Venerisque impetu
foetos madoris explet in Terram ſinus:
quae foederata mutuis amplexibus,
quod ubique rerum eſt proferunt ac nutriunt:
hinc vita visque ſaeculis mortalibus.

Similiter graviſſimus Aeſchylus, in Danaidibus ipſam *Venerem* inducit dicentem:

Penetrare terram purus ille Aether cupit:

ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν·
ὄμβρος δ', ἀπ' εὐνάεντος [1] οὐρανοῦ πεσὼν,
ἔκυσε [2] γαῖαν· ἡ δὲ τίκτεται βροτοῖς
μήλων τε βοσκὰς καὶ βίον Δημήτριον·
δένδρων τις ὥρα δ' ἐκ [3] νοτίζοντος γάμου
τέλειος ἐστί. τῶν δ' ἐγὼ παραίτιος.

LXXIV. Venus ulciscitur Hippolytum.

[4]Ἐν Ἱππολύτῳ Εὐριπιδείῳ πάλιν ἡ Ἀφροδίτη φησίν·

c Ὅσοι τε πόντου τερμόνων τ' Ἀτλαντικῶν
ναίουσιν εἴσω, φῶς ὁρῶντες ἡλίου,
τοὺς μὲν σέβοντας τἀμὰ πρεσβεύω κράτη,
σφάλλω δ' ὅσοι φρονοῦσιν εἰς ἡμᾶς μέγα.

Νεανίσκῳ γὰρ τὴν πᾶσαν ἀρετὴν ἔχοντι, τοῦτο μόνον τὸ ἁμάρτημα προσὸν, ὅτι οὐκ ἐτίμα τὴν Ἀφροδίτην, αἴτιον ἐγένετο τοῦ ὀλέθρου· καὶ οὔτε ἡ Ἄρτεμις ἡ περισσῶς ἀγαπήσασα, οὔτε τῶν ἄλλων θεῶν τις ἢ δαιμόνων ἐβοήθησεν αὐτῷ. κατὰ τὸν αὐτὸν οὖν ποιητὴν,

1 εὐνοοῦντος Grot. εὐνάοντος ms. *Ep.* in cont. 2 ἔδυσε corr. Valck. 3 δέ τις ὥρα ἐκ edd. δένδρων τ' ὀπώραν, ἢ 'κ νοτ. corr. Valck.

cupit vicissim Terra coniugio frui.
Ab amante Coelo defluens Terram simul
foecundat imber, illa mortali parit
cereale generi germen, & pastus gregum:
maturitatem dat suam arboribus quoque
mador maritus. Caussa at his cunctis Ego.

74. In Euripideo Hippolyto rursus *Venus* ait:

Quotquot intra mare terminosque Atlanticos
habitant, lumen qui solis adspiciunt;
horum eos, qui meum numen colunt, honore prosequor,
everto quicumque adversus nos superbiunt.

Iuveni enim omni virtute praedito, hoc unum vitium adhaerens, quod Venerem non coleret, caussa fuit exitii: & nec Diana, cui adprime fuerat carus, nec aliorum Deorum aut geniorum ullus opem illi tulit. Itaque, secundum eumdem poëtam,

Ὅστις Ἔρωτα μὴ μόνον κρίνει θεὸν, [1] d
ἢ σκαιός ἐστιν, ἢ καλῶν ἄπειρος ὢν,
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Anacreontis elogium.

ὃν ὁ σοφὸς ὑμνῶν ἀεί ποτε [2] Ἀνακρέων πᾶσίν ἐστι δι' ἀστόματος. Λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε·

Τὸν δὲ γυναικείων μελέων πλέξαντα πότ' ᾠδάς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, Φιλοβάρβιτον, ἡδύν, ἄλυπον. e
Οὔ ποτέ σου Φιλότης γηράσεται, οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμιγνύμενον κυλίκεσσι 6
παῖς διαπομπεύῃ, [3] προπόσεις ἐπιδέξια νωμῶν, [4]
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,

1 Apud Stobaeum sic:
Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν,
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον.
2 ποτὲ ὑμνῶν edd. & ἀεὶ ignorant. 3 διαπομπεύσῃ edd. 4 ἐπὶ δεξιὸν ὦμον edd.

Qui non Amoris numen admirabile
ſupraque cunctos coelites poſitum putat,
aut ſtupidus ille, aut orbus experientiâ,
ignorat homini maximus quis ſit Deus.

Quem quavis occaſione canens ſapiens *Anacreon* omnium in ore verſatur: de quo quidem optimus Critias haec ait:

Muliebrium carminum cantus olim qui plexuit,
dulcem Anacreontem Teos genuit Graeciae,
conviviorum oblectamentum, mulierum blandam fraudem,
tibiarum rivalem, lyrae amantem, ſuavem, triſtitiae expertem.
Numquam tua amabilitas ſeneſcet, nec emorietur,
quousque aquâ vinum mixtum poculis
puer miniſtrabit, propinationes dextre tribuens,
& ſacra Pervigilia peragent foeminei chori,

πλάστιγξ δ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι [1] καθίζη [2]
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.[3]

LXXV. Alcman, poëta eroticus.

ζ Ἀρχύτας δὲ ὁ Ἁρμονικὸς,[4] ὥς φησι Χαμαιλέων, Ἀλκμᾶνα γεγονέναι τῶν ἐρωτικῶν μελῶν ἡγεμόνα, καὶ ἐκδοῦναι πρῶτον μέλος ἀκόλαστον, * ὄντα [5] καὶ περὶ τὰς γυναῖκας καὶ τὴν τοιαύτην μοῦσαν * [6] εἰς τὰς διατριβάς. διὸ καὶ λέγειν ἔν τινι τῶν μελῶν·

Ἔρως με δ' αὖτε, Κύπριδος
ἕκατι, γλυκὺς κατείβων
καρδίαν ἰαίνει.

λέγει δὲ καὶ ὡς τῆς Μεγαλοστράτης συμμέτρως ἐρασθεὶς, ποιητρίας μὲν οὔσης, δυναμένης δὲ καὶ διὰ τὴν
a ὁμιλίαν τοὺς ἐραστὰς προσελκύσασθαι. λέγει δ' οὕτως περὶ αὐτῆς·

1 ἐπ' ἄκροισι edd. 2 καθίζοι edd. καθίζει mssti. 3 ψεκάδεσσιν edd. 4 Ἁρμονιακὸς edd. 5 μέλος, ἀκόλαστον ὄντα καὶ edd. μέλος ἀκόλαστον, ἀκόλαστον ὄντα καὶ corr. Caſ. 6 εἰσαγαγεῖν ſupplet Caſaub.

lanxque aenea ſummo cottabi inſidebit
ſublimi vertici, Bromii guttis depreſſa.

75. Archytas vero Harmonicus, ut ait Chamaeleon, principem amatoriorum carminum auctorem *Alcmanem* fuiſſe dicit, eumque primum edidiſſe laſcivum carmen, & illud Muſae genus, cum libidinoſus ipſe eſſet, in convivia introduxiſſe. Quare etiam dicere eum, ait, in aliquo carmine:

Amor vero rurſus, Cypridis
per gratiam, dulcis cor meum
laetitiâ perfundit.

Idem vero etiam amare ſe modice Megaloſtratam profitetur, poëtriam, quae ſuis colloquiis adlicere amatores ſciret. De qua haec dicit:

Τοῦθ' ἁδειᾶν Μουσᾶν [1] ἔδειξε
δῶρον μάκαιρα παρθένων, [2]
ἁ ξανθὰ Μεγαλοστράτα.

Steſichorus. Καὶ Στησίχορος δ', οὐ μετρίως ἐρωτικὸς γενόμενος, συνέστησε καὶ τοῦτον τὸν τρόπον τῶν ᾀσμάτων· ἃ δὴ καὶ τὸ παλαιὸν ἐκαλεῖτο παιδικὰ καὶ παιδικά. οὕτω δ' ἐναγώνιος ἦν ἡ περὶ τὰ ἐρωτικὰ πραγματεία, καὶ οὐδεὶς ἠγεῖτο φορτικοὺς τοὺς [3] ἐρωτικούς, ὥστε καὶ Αἰσχύλος, μέγας ὢν ποιητής, καὶ Σοφοκλῆς, ἦγον εἰς τὰ θέατρα διὰ τῶν τραγῳδιῶν ἀρσενικοὺς [4] ἔρωτας· ὁ μὲν, τὸν Ἀχιλλέως πρὸς Πάτροκλον· ὁ δ', ἐν τῇ b Νιόβῃ, τὸν τῶν παίδων· [5] διὸ καὶ παιδεραστάν [6] τινες καλοῦσι τὴν τραγῳδίαν· καὶ ἐκδέχονται [7] τὰ τοιαῦτα ᾄσματα οἱ θεαταί.

Aeſchylus & Sophocles masculos amores in ſcenam producunt.

LXXVI.

Ibycus Rheginus.

Καὶ ὁ Ῥηγῖνος δὲ Ἴβυκος βοᾷ καὶ κέκραγεν·

1 ἁδεῖαν Μοῦσαν vulgo. 2 μάκαιρα παρθένῳ edd. 3 Deeſt τοὺς edd. 4 τοὺς pro ἀρσενικοὺς habent edd. & ms. *A.* αρτικοὺς (ſic) ms. *Ep.* 5 τὸν τῶν Νιόβης παίδων corr. Valck. 6 Forſ. παιδεράστριαν. 7 καὶ ἐδέχοντο *Epit.*

Hoc ſuavium Muſarum edidit
munus beatiſſima virginum,
flava Megaloſtrata.

Sed & *Steſichorus*, haud mediocriter deditus amori, hoc idem genus compoſuit carminum: quae nimirum olim *luſus* & *ludicra* vocabantur. Ita autem certatim amatorium genus carminum tractabatur, ac tantum abfuit ut aegre ferret quisquam poëtas eroticos, ut etiam Aeſchylus, magnus ille poëta, & Sophocles, ſuis in tragoediis masculos amores in theatra introduxerint; ille quidem, Achillis adverſus Patroclum; hîc vero, in Niobe, amorem filiorum Niobae: (quare etiam nonnulli tragoediam iſtam *paederaſten* adpellant:) & placent talia cantica ſpectatoribus.

76. Item Rheginus *Ibycus* clamat & vociferatur:

„Ἦρι μὲν αἵ τε Κυδώνιαι μηλίδες ἀρδόμεναι
„ῥοᾶν [1] ἐκ ποταμῶν, ἵνα παρθένων κῆπος
„ἀκήρατος, αἵ τ' οἰναν θίδες αὐξόμεναι σκιε-
„ροῖσιν ὑφ' ἕρνεσιν [2] οἰναρέσις θαλέθοισιν. [3]
„ἐμοὶ δ' ἔρος [4] οὐδεμίαν κατάκοιτος [5] ὥραν,
„[ὥσ]τε [6] ὑπὸ στεροπᾶς φλέγων Θρηΐκιος [7]
c „βορέας, αἴσσων παρὰ Κύπριδος, ἀζαλέαις
„μανίαις ἐρεμνὸς [8] ἐθάμβησε, [9] κραταιῶς [10]
„παιδόθεν [11] φυλάσσει ἡμετέρας φρένας."

καὶ Πίνδαρος δ', οὐ μετρίως ὢν ἐρωτικὸς, φησίν· Pindarus amori deditus.

Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι·
καὶ [12] κατὰ καιρὸν μὴ πρεσβυτέραν
ἀριθμοῦ δίωκε, θυμὲ, πρᾶξιν.

Διόπερ καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις ἔφη·

Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι·

1 ῥοὰν Ms. ῥοαῖς corr. Fior. 2 ὑπ' ἔρνεσιν utique malles. 3 θαλέθουσιν edd. 4 ἔρως edd. 5 κατάκητος Ms. 6 ὥραν τὲ vulgo. 7 Θρηΐκίοις edd. Θρηΐκίους H. Steph. Θρηΐκοις Ms. 8 ἔρως ἔμ' corr. Fior. 9 ἀθάμβησε Ms. 10 κραταιὸς edd. 11 παιδ' ὄθεν Ms. 12 Deerat alibi καὶ particula.

» *Vere quidem Cydoniae mali, rigatae rivorum fluen-*
» *tis, ubi Virginum eſt immortalis hortus, & iuve-*
» *nes uvae, creſcentes umbroſis ſub palmitibus vina-*
» *riis, florent. Mihi vero amor, nullo interquieſcens*
» *tempore, veluti fulgure ardens Thracius Boreas, ir-*
» *ruens a Venere, torridis furoribus tenebricoſus me per-*
» *culit, & valide inde a puero tenet noſtra praecordia.* «

Sed & *Pindarus*, haud mediocriter amori deditus, ait:

Eſto & amare & amori indulgere!
Et in tempore ne vetuſtiorem
pro numero (annorum) *perſequere, anime, rem.*

Quare etiam Timon in Sillis dixit:

Tempus eſt amandi, tempus nuptiarum, tempus ve-
ro etiam quieſcendi:

καὶ μὴ ἀναμένειν, ἔστ' ἂν ἐκεῖνό τις φθέγξηται, κατὰ τὸν αὐτὸν τοῦτον Φιλόσοφον·

Ἡνίκ' ἐχρῆν δύνειν, νῦν ἄρχεται ἡδύνεσθαι. d

Μνησθεὶς δὲ καὶ τοῦ Τενεδίου Θεοξένου ὁ Πίνδαρος, ὃς ἦν αὐτοῦ ἐρώμενος, τί φησί;

Χρῆν με κατὰ καιρὸν ἐρώτων δρέπεσθαι,
θυμὲ,[1] σὺν ἡλικίᾳ.
τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζούσας
δρακεὶς, ὃς μὴ πόθῳ κυμαίνεται,
ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται 5
μέλαιναν καρδίαν [2] ψυχρᾷ φλογὶ,
πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς [3] ἑλικοβλεφάρου,
ἢ περὶ χρήμασι μοχθίζει βιαίως,
ἢ γυναικείῳ θράσει ψυχὰν [4]
φορεῖται πᾶσαν ὁδὸν θεραπεύων. 10 e

1 Forſ. καρπὸν, vel ἄνθη, θυμέ. 2 Supra erat ψυχάν. 3 ἀτιμαθεὶς edd. 4 ψυχρὰν vulgo.

nec exſpectandum donec tibi aliquis illud adclamet, ſecundum eumdem philoſophum:

Quum oportebat ſeſe recipere, tum demum indulgere voluptatibus incipit.

Sed & Tenedii Theoxeni mentionem faciens Pindarus, qui fuit ipſius amaſius, quid ait?

Oportebat me in tempore amorum carpere
(flores,) *anime, cum ferebat aetas.*
Theoxeni vero radios oculorum ſplendentes
cernens quisquis deſiderio non aeſtuat,
ex adamante aut ferro cuſum eſt
nigrum huius cor frigidâ flammâ;
& a Venere verſatilibus-praeditae-palpebris hic reprobatus,
aut circa pecuniam violenter laborat,
aut muliebri inſolentiae quovis modo inſerviens
vitam trahit aerumnoſam.

Ἀλλ' ἐγώ γ'[1] ἔκατι τᾶς κηρὸς ὡς
δαχθεὶς ἐλεηρὰν[2] μέλισσαν
τήκομαι,[3] εὖτ' ἂν ἴδω παίδων
νεόγυιον ἐς ἥβαν.[4]
ἐν δ' ἄρα καὶ Τενέδῳ
Πειθώ τ' ἔναιε[5] καὶ Χάρις υἱὸν Ἀγησιλάου.

LXXVII. Masculus amor frequens olim.

Ὅλως δὲ τοὺς παιδικοὺς ἔρωτας τῶν ἐπὶ ταῖς θηλείαις προκρίνουσι πολλοί. παρὰ γὰρ ταῖς ἄλλαις[6] ταῖς εὐνομουμέναις πόλεσιν ἐπὶ τῆς Ἑλλάδος σπουδασθῆναι[7] τόδε τὸ ἔθος. Κρῆτες γοῦν, ὡς ἔφην, καὶ οἱ ἐν Εὐβοίᾳ Χαλκιδεῖς περὶ τὰ παιδικὰ δαιμονίως ἐπτόηνται. Ἐχεμένης γοῦν ἐν τοῖς Κρητικοῖς, οὐ τὸν Δία, f φησὶν, ἁρπάσαι τὸν Γανυμήδην, ἀλλὰ Μίνωα. οἱ δὲ προειρημένοι Χαλκιδεῖς, παρ' αὐτοῖς, φασὶν,[8] ἁρπασθῆναι τὸν Γανυμήδην ὑπὸ τοῦ Διὸς, καὶ τόπον δει- Ganymedes.

1 ἐγὰ δ' edit. vett. cum Ms. 2 ἐλεκρὰν edd. 3 Schneid. coniiciebat:
Ἀλλ' ἔγω γ' ἔκατι Κύπριδος, κηρὸς ὡς
μελιχρᾶν μελισσᾶν, τάκομαι, εὖτ' ἂν ἴδω
4 Rectius ἅβαν. 5 Πειθώ τε ναίει corr. Schneid. 6 Forſ. ταῖς τε ἄλλαις . . καὶ ἐπὶ τῆς Ἑλλ. aut dein *poſt* ἔθος *excidit* καὶ ἐν Κρήτῃ. 7 ἐσπουδάσθη malles. 8 Perperam φησὶν Ms.

Sed ego per Veneris numen, veluti cera
melliferarum apum, liqueſco, quum adſpicio
puerorum iuvenilem pubem.
At nempe etiam Tenedi & Suada habitat
& Gratia filium Ageſilai.

77. Omnino vero puerorum amores multi anteponunt amori mulierum: nam & in aliis Graeciae civitatibus quae bonis legibus adminiſtrantur, [& in Creta,] morem iſtum aiunt obtinuiſſe. Cretenſes ſane, ut dixi, & Chalcidenſes Euboeae puerorum amore mirum in modum flagrarunt. Itaque Echemenes in Creticis ait, non a Iove raptum eſſe Ganymedem, ſed a Minoë. Chalcidenſes vero, quos modo nominavi, apud ſe raptum eſſe a Iove Ganymedem, aiunt, ipſumque locum oſtendunt, quem

κνύντες Ἁρπάγιον καλοῦσιν, ἐν ᾧ καὶ μυρρίναι [1] διάφοροι πεφύκασιν. καὶ τὴν πρὸς Ἀθηναίους δ' ἔχθραν
Minos & Theseus. διελύσατο Μίνως, καίπερ ἐπὶ θανάτῳ παιδὸς συστᾶσαν, Θησέως ἐρασθείς, καὶ τὴν θυγατέρα τούτῳ γυναῖκα ἔδωκε Φαῖδραν, ὡς Ζηνὶς ἢ Ζηνεὺς φησὶν ὁ Χῖος ἐν τῷ Περὶ τῆς Πατρίδος συγγράμματι.

LXXVIII.

Masculus amor, tyrannis infestus.

Ἱερώνυμος δὲ ὁ Περιπατητικὸς περισπουδάστους a
φησὶ γενέσθαι τοὺς τῶν παίδων ἔρωτας, ὅτι πολλάκις ἡ τῶν νέων ἀκμὴ, καὶ τὸ πρὸς ἀλλήλους ἑταιρικὸν συμφρονῆσαν, πολλὰς τυραννίδας καθεῖλε. παίδων [2] γὰρ παρόντων ἐραστὴς πᾶν ὅ τι οὖν ἕλοιτ' ἂν παθεῖν, ἢ δειλοῦ δόξαν ἀπενέγκασθαι παρὰ τοῖς παιδικοῖς. ἔργῳ γοῦν τοῦτο ἔδειξεν ὁ συνταχθεὶς Θήβῃσιν ὑπὸ Ἐπαμινώνδου ἱερὸς λόχος· καὶ ὁ κατὰ τῶν Πεισιστρατιδῶν θάνατος ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος γενόμενος· περὶ Σικελίαν δ' ἐν Ἀκράγαντι ὁ Χαρίτωνος καὶ Μελανίππου. [3] Μελάνιππος δ' ἦν τὰ παι- b

1 μυρσίναι edd. 2 Immo παιδικῶν. 3 Immo Μελανίπ. ἔρως.

Harpagion vocant; in quo egregiae myrti nascuntur. Et inimicitias adversus Athenienses, licet ob filii caedem susceptas, composuit Minos, Thesei amore captus, cui etiam filiam Phaedram uxorem dedit, ut Zenis sive Zeneus Chius ait in libro quem De Patriâ scripsit.

78. Hieronymus vero Peripateticus, in puerorum amoribus plurimum studii posuisse veteres, ait, quoniam saepe iuvenum vigor & mutuus amatoris & amasii consensus tyrannides evertit. Nam praesente amasio quodvis potius pati sustineat amator, quam ut ignaviae aut timiditatis notam apud amasium incurrat. Ipsâ quidem re hoc monstravit Thebis ab Epaminonda constituta *Sacra cohors:* & Pisistratidarum caedes ab Harmodio & Aristogitone commissa: & Agrigenti in Sicilia *Charitonis & Melanippi mutuus amor.* Erat autem Melanippus

δικὰ, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἐρωτικῶν. οὗτοι φανέντες ἐπιβουλεύοντες Φαλάριδι, καὶ βασανιζόμενοι ἀναγκαζόμενοί τε λέγειν τοὺς συνειδότας, οὐ μόνον οὐ κατεῖπον, ἀλλὰ καὶ τὸν Φάλαριν αὐτὸν εἰς ἔλεον [1] τῶν βασάνων ἤγαγον, ὡς ἀπολῦσαι αὐτοὺς πολλὰ ἐπαινέσαντα. διὸ καὶ ὁ Ἀπόλλων, ἡσθεὶς ἐπὶ τούτοις, ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι ἐχαρίσατο, τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται· ἔχρησέ τε καὶ περὶ τῶν ἀμφὶ τὸν Χαρίτωνα, προτάξας τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος Ἀθηναῖος ἐποίησεν, ὁ ἐπικληθεὶς Χαλκοῦς, ἐν τοῖς Ἐλεγείοις. ἐστὶ δὲ ὁ χρησμὸς ὅδε·

Chariton & Melanippus conspirant adv. Phalaridem.

Εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,
θείας ἀγητῆρες [2] ἐφαμερίοις φιλότατος.

1 Perperam ἔλαιον ms. *Ep.* & mox ἀπολαῦσαι ms. *A.* pro ἀπολῦσαι.
2 Alibi ἀγητῆρες.

amasius, ut ait Heraclides Ponticus in libro de Amatoriis. Hi igitur deprehensi insidias struxisse *Phalaridi*, & tormentis subiecti quo coniuratos denunciare cogerentur, non modo non denunciarunt, sed etiam Phalarin ipsum ad misericordiam tormentorum commoverunt, ut plurimum collaudatos dimitteret. Quare etiam Apollo, delectatus facto, moram mortis indulsit Phalaridi, hoc ipsum declarans his qui ipsum de ratione, qua tyrannum adgrederentur, consuluerunt: atque etiam de Charitone & Melanippo oraculum edidit, in quo pentameter praepositus hexametro erat; quemadmodum etiam postea Dionysius Athenienſis, is qui *Aeneus* est cognominatus, in Elegiis fecit. Erat autem oraculum hocce:

Felix & Chariton & Melanippus erat,
mortalium genti auctores coelestis amoris.

Cratinus pro patria immolandum se praebet.

Διαβόητα δ' ἐστὶ καὶ τὰ ἐπὶ Κρατίνῳ τῷ Ἀθηναίῳ γενόμενα. ὃς μειράκιον ὂν [1] εὔμορφον, Ἐπιμενίδου καθαίροντος τὴν Ἀττικὴν ἀνθρωπείῳ αἵματι διά τινα μύσῃ [2] παλαιὰ, ὡς ἱστορεῖ Νεάνθης ὁ Κυζικηνὸς ἐν δευτέρῳ Περὶ Τελετῶν, ἑκὼν αὐτὸν [3] ἐπέδωκεν ὁ Κρατῖ- d
νος [4] ὑπὲρ τῆς θρεψαμένης· ᾧ καὶ ἐπαπέθανεν ὁ ἐραστὴς Ἀριστόδημος, λύσιν τ' ἔλαβε τὸ δεινόν. Διὰ τοὺς τοιούτους οὖν ἔρωτας οἱ τύραννοι, (πολέμιοι γὰρ αὐτοῖς αὗται αἱ φιλίαι) τὸ παράπαν ἐκώλυον τοὺς παιδικοὺς ἔρωτας, πανταχόθεν αὐτοὺς ἐκκόπτοντες. εἰσὶ δέ οἱ καὶ τὰς παλαίστρας, ὥσπερ ἀντιτειχίσματα ταῖς ἰδίαις ἀκροπόλεσιν, ἐνεπίμπρασάν [5] τε καὶ κατέσκαψαν· ὡς ἐποίησε Πολυκράτης ὁ Σαμίων τύραννος.

LXXIX.

Puerorum amor olim ubivis in usu.

Παρὰ δὲ Σπαρτιάταις, ὡς Ἄγνων φησὶν ὁ Ἀκαδημαϊκὸς, πρὸ τῶν γάμων τοῖς παρθένοις ὡς παιδικοῖς e
νόμος ἐστὶν ὁμιλεῖν. καὶ γὰρ ὁ νομοθέτης Σόλων ἔφη·

1 Deest ὂν vulgo. 2 μίσει vulgo. 3 αὐτὸν edd. 4 Nullo incommodo abessent h. l. verba ὁ Κρατῖνος. 5 ἐνεπιμπρασ. edd.

Celebratum etiam est *Cratini* factum Athenienſis: qui, cum formoſus eſſet adoleſcentulus, quo tempore Epimenides Atticam humano ſanguine luſtravit ob vetuſta quaedam piacula, ut tradit Neanthes Cyzicenus ſecundo libro De Initiationibus, ultro ſe ipſum pro patriâ obtulit: cuius poſt mortem Ariſtodemus etiam, amator eius, ſponte vitam finivit, & ceſſavit malum. Itaque propter huiusmodi amores tyranni, quibus inimicae ſunt hae amicitiae, omnino vetuerunt puerorum amores, & undique eos exſtirparunt. Sunt vero qui palaeſtras quoque, utpote munimenta quaedam arcibus ipſorum oppoſita, incenderunt everteruntque; quod fecit Polycrates Samiorum tyrannus.

79. Apud Spartanos vero, ut ait Agnon Academicus, ante nuptias virginibus ſicut pueris delicatis uti fas eſt. Namque etiam Solon legumlator dixit:

μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.

Αἰσχύλος τε καὶ Σοφοκλῆς ἀναφανδὸν ἔφασαν· ὁ μὲν, Μυρμιδόσιν·

Σέβας δὲ μηρῶν ἁγνὸν [1] οὐκ ἐπηδέσω,[2]
ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

ὁ δ', ἐν Κολχίσι περὶ Γανυμήδους τινὰ λόγον ποιούμενος,

Μηροῖς ὑπαίθων τὴν Διὸς τυραννίδα.

Οὐκ ἀγνοῶ δὲ ὅτι τὰ περὶ Κρατίνου καὶ Ἀριστοδήμου
f πεπλάσθαί φησι Πολέμων ὁ Περιηγητὴς ἐν ταῖς Πρὸς τὸν Νεάνθην Ἀντιγραφαῖς. ὑμεῖς τε, [3] ὦ Κύνουλκε, τὰς διηγήσεις ταύτας, κἂν ψευδεῖς ὦσιν, ἀληθεῖς εἶναι πιστεύετε· καὶ τὰ τοιαῦτα τῶν ποιημάτων, ἃ περὶ τοὺς παιδικούς ἐστιν ἔρωτας, ἡδέως μελετᾶτε· τοῦ παιδεραστεῖν παρὰ πρώτων Κρητῶν εἰς τοὺς Ἕλληνας παρελθόντος, ὡς ἱστορεῖ Τίμαιος. ἄλλοι δέ φασι τῶν

1 ἅγιον vulgo. 2 Alibi οὐ κατηδέσω. 3 Immo, ὑμεῖς δὲ.

Femorum cupidus, & dulcis oris.

Atque etiam Aeſchylus & Sophocles aperte dixerunt ille, in Myrmidonibus:

Caſtum femorum pudorem non es reveritus,
o ingratiſſime frequentium oſculorum cauſſâ.

Hic vero in Colchidibus, de Ganymede verba faciens:

Femoribus ſuis inflammans Iovis maieſtatem.

Nec vero ſum neſcius, quae de Cratino & Ariſtodemo narrantur, ea ficta eſſe contendere Polemonem Periegetam in Reſcriptionibus adverſus Neanthem. Vos autem, o Cynulce, hasce narrationes, quamvis falſae ſint, veras eſſe creditis: & id genus carminum, in quibus de puerorum agitur amoribus, libenter addiſcitis. Ortum autem cepiſſe puerorum amorem apud Cretenſes, & ab his ad Graecos transiiſſe, Timaeus tradit. Alii

Laius. τοιούτων ἐρώτων κατάρξασθαι Λάϊον, ξενωθέντα παρὰ Πέλοπι, καὶ ἐρασθέντα τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου, a ὃν καὶ ἁρπάσαντα καὶ ἀναθέμενον εἰς ἅρμα εἰς Θήβας φυγεῖν. Πραξίλλα δὲ ἡ Σικυωνία, ὑπὸ Διὸς, [1]

Galli. φησὶν, ἁρπασθῆναι τὸν Χρύσιππον. Καὶ Κελτοὶ δὲ, τῶν βαρβάρων καίτοι καλλίστας ἔχοντες γυναῖκας, παιδικοῖς μᾶλλον χαίρουσιν· ὡς πολλάκις ἐνίους ἐπὶ ταῖς δοραῖς μετὰ δύο ἐρωμένων ἀναπαύεσθαι. Πέρσας δὲ παρ' Ἑλλήνων, φησὶν Ἡρόδοτος, μαθεῖν τὸ παισὶ χρῆσθαι.

LXXX. Φιλόπαις δ' ἦν ἐκμανῶς καὶ Ἀλέξανδρος ὁ βα-

Alexander, puerorum amator. σιλεύς. Δικαίαρχος γοῦν, ἐν τῷ Περὶ τῆς ἐν Ἰλίῳ Θυσίας, Βαγώου τοῦ εὐνούχου οὕτως αὐτὸν, φησὶν, b ἠττᾶσθαι, [2] ὡς ἐν ὄψει θεάτρου ὅλου καταφιλεῖν αὐτὸν ἀνακλάσαντα· καὶ τῶν θεατῶν ἐπιφωνησάντων μετὰ κρότου, οὐκ ἀπειθήσας, πάλιν ἀνακλάσας

1 Forſ. ὑπ' Οἰδίποδος. 2 ἧρᾶσθαι edd.

contra dicunt, amorum talium initium a Laio eſſe repetendum: quem hoſpitio exceptum a Pelope, amore captum filii illius Chryſippi, rapuiſſe hunc aiunt, & currui impoſuiſſe, atque Thebas profugiſſe. Praxilla vero Sicyonia *a Iove* [ſive, *ab Oedipode*] ait, *raptum eſſe Chryſippum.* Porro etiam *Galli*, licet ex omnibus barbaris formoſiſſimas habeant mulieres, puerorum amore magis delectantur; ut ſaepe nonnulli in pellibus cum duobus amaſiis cubitent. *Perſas* vero a Graecis, ait Herodotus, didiciſſe pueris uti.

80. Puerorum amore ad inſaniam etiam ardebat rex *Alexander.* Dicaearchus certe, in libro de ſolenni Sacrificio ad Ilium, ait, ita impotenter amaſſe eum Bagoam eunuchum, ut in totius theatri conſpectu inflexo corpore eum ſuaviaretur: plaudentibus vero ſpectatoribus, & adclamantibus, paruit, iterumque retro inflexo cor-

ἐφίλησεν. Καρύστιος δ' ἐν Ἱστορικοῖς Ὑπομνήμασι· „Χάρωνι, φησὶ, τῷ Χαλκιδεῖ, παῖς καλὸς ἦν, καὶ εἶχεν εὖ πρὸς αὐτόν. ὡς δ' Ἀλέξανδρος παρὰ Κρατερῷ αὐτὸν ἐπήνεσε γενομένου ποτὲ πότου, ὁ Χάρων [1] ἐκέλευσε τὸν παῖδα καταφιλῆσαι τὸν Ἀλέξανδρον· καὶ ὃς, Μηδαμῶς, εἶπεν, οὐ γὰρ οὕτως ἐμὲ εὐφρανεῖ, Idem vero etiam continens, & decori obſervans.
c ὡς σὲ λυπήσει. Ὥσπερ γὰρ ἦν ἐρωτικὸς ὁ βασιλεὺς οὗτος, οὕτως καὶ πρὸς τὸ καθῆκον [2] ἐγκρατὴς καὶ πρὸς τὸ πρεπωδέστατον. αἰχμαλώτους γοῦν λαβὼν τὰς Δαρείου θυγατέρας, καὶ τὴν γυναῖκα κάλλει διαπρεπεστάτην οὖσαν, οὐ μόνον ἀπέσχετο, ἀλλ' οὐδ' ἐκείνας μαθεῖν ἐποίησεν ὅτι εἰσὶν αἰχμάλωτοι, ἀλλ' ὡς ἔτι Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορηγεῖσθαι ἐκέλευσε. διόπερ καὶ Δαρεῖος τοῦτο μαθὼν ηὔξατο τῷ Ἡλίῳ τὰς χεῖρας ἀνατείνας, ἢ αὐτὸν βασι-
d λεύειν ἢ Ἀλέξανδρον. " Ῥαδαμάνθυος δὲ τοῦ Δικαίου

1 ὁ Κρατερὸς vulgo. 2 περὶ τὸ καθ' ms. *Ep.*

pore eum oſculatus eſt. Caryſtius vero in Commentariis Hiſtoricis ſcribit: »Charon Chalcidenſis puerum habebat formoſum, valde ſibi carum. Quem cum apud Craterum aliquando inter pocula Alexander laudaſſet, puerum Charon iuſſit oſculari regem: at rex, *Minime vero*, inquit: *nec enim ille tantum mihi voluptatis, quantum tibi moleſtiae eſt adlaturus.* Ut enim erat in amorem pronus rex, ſic & ad honeſti rationem continens, & decori obſervantiſſimus. Qui quum captivas cepiſſet Darii filias uxoremque formoſiſſimam, non modo abſtinuit, ſed curavit etiam, ut ne ipſae quidem captivas ſe eſſe ſentirent; &, perinde ac ſi in regno adhuc Darius eſſet, omnia illis miniſtrari iuſſit. Quare etiam Darius, hoc cognito, manibus ad Solem elatis precatus eſt, ut *aut ipſe regnum obtineret, aut Alexander.* « *Rhadamanthi* vero

Paederastae alii plures.

Ἴβυκος ἐραστὴν φησι γενέσθαι Τάλων. Διότιμος δ', ἐν τῇ Ἡρακλείᾳ, Εὐρυσθέα φησὶν Ἡρακλέους γενέσθαι παιδικὰ, διόπερ καὶ τοὺς ἄθλους ὑπομεῖναι. Ἀγαμέμνονα τε Ἀργύννου ἐρασθῆναι λόγος, ἰδόντα ἐπὶ τῷ Κηφισῷ [1] νηχόμενον· ἐν ᾧ καὶ τελευτήσαντα αὐτὸν (συνεχῶς γὰρ ἐν τῷ ποταμῷ τούτῳ ἀπελούετο) θάψας, εἱσατο [2] καὶ ἱερὸν αὐτόθι Ἀφροδίτης Ἀργυννίδος. Λικύμνιος [3] δὲ ὁ Χῖος, ἐν Διθυράμβοις, Ἀργύννου φησὶν ἐρώμενον Ὑμέναιον γενέσθαι. Ἀντιγόνου δὲ τοῦ βασιλέως ἐρώμενος ἦν Ἀριστοκλῆς ὁ κιθαρῳδὸς, περὶ οὗ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Ζήνωνος Βίῳ γράφει οὕτως· „Ἀντίγονος ὁ βασιλεὺς ἐπεκώμαζε τῷ Ζήνωνι. καί ποτε καὶ μεθ' ἡμέραν ἐλθὼν ἔκ τινος πότου, καὶ ἀναπηδήσας πρὸς τὸν Ζήνωνα, ἔπεισεν αὐτὸν συγκωμάσαι αὐτῷ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδὸν, οὗ σφόδρα ἦρα ὁ βασιλεύς."

Antigonus Gonatas.

1 Κηφισσῷ edd. 2 Θάψας εἰς αὐτὸ vulgo. 3 Ἀλκύμνιος vulgo.

Iusti amatorem *Talum* fuisse, Ibycus ait. Diotimus vero, in Heraclea, *Eurystheum* ait *Herculis fuisse amasium, & eapropter Herculem labores illos suscepisse.* Porro perhibetur *Agamemnon* amore captus fuisse *Argynni*, cum in Cephiso nantem eum conspexisset: in quo cum etiam mortuus ille esset, (assidue enim in hoc fluvio lavabatur) sepeliit eum, & *Veneris Argynnidis* templum eodem loco erexit. Licymnius vero Chius in Dithyrambis ait, *Argynni amasium Hymenaeum* fuisse. Iam *Antigoni* regis amasius Aristocles fuit citharoedus, de quo Antigonus Carystius in Zenonis Vitâ haec scribit: »*Antigonus* rex comissatum ire solebat apud *Zenonem*. Aliquando vero etiam de die ex compotatione quadam rediens, Zenonem adiit, eique persuasit ut secum ad Aristoclem citharoedum comissatum iret, quem in deliciis rex habebat.«

LXXXI. Sophocles facetus inter pocula.

Φιλομείραξ δὲ ἦν ὁ Σοφοκλῆς, ὡς Εὐριπίδης φιλογύνης. Ἴων οὖν ὁ ποιητὴς ἐν ταῖς ἐπιγραφομέναις Ἐπιδημίαις, γράφει οὕτως· „Σοφοκλεῖ τῷ ποιητῇ ἐν f Χίῳ συνήντησα, ὅτε ἔπλει ἐς Λέσβον στρατηγὸς, ἀνδρὶ παιδιώδει παρ' οἶνον καὶ δεξιῷ. Ἑρμησίλεω δὲ, ξένου οἰ ἐόντος καὶ προξένου Ἀθηναίων, ἑστιῶντος αὐτὸν, ἐπεὶ παρὰ τὸ πῦρ ἑστεὼς [1] ὁ τὸν οἶνον ἐγχέων παῖς* ἐὼν δῆλος ἦν,[2] εἶπέ τε· „Βούλει με ἡδέως πίνειν;“ Φάντος δ' αὐτοῦ· — „Βραδέως τοίνυν καὶ πρόσφερέ μοι καὶ ἀπόφερε τὴν κύλικα.“ ἔτι πολὺ μᾶλλον ἐρυθριάσαντος τοῦ παιδὸς, εἶπε πρὸς τὸν συγκατακείμενον· „Ὡς καλῶς Φρύνιχος ἐποίησεν εἴπας·

a Λάμπει δ' ἐπὶ πορφυρέαις παρήϊσι φῶς ἔρωτος.“

καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς ἢ Ἐρυθραῖος[3] γραμ-

1 ἑστὼς edd. 2 Nulla vulgo lacunae nota. Coniectabam ἐρυθρὸς ἐὼν δῆλος ἦν, ἐκάλεσε εἶπέ τε. 3 Forſ. ἠμείφθη Ἐρετριεὺς ὁ Ἐρυθραῖος.

81. In adoleſcentulorum amorem pronus etiam fuit *Sophocles*, ut in mulierum Euripides. Ion quidem poëta, in libro qui inſcribitur *Epidemiae*, (id eſt, De Virorum clarorum in Chium inſulam adventu) haec ſcribit: » Cum *Sophocle* poëta in Chio congreſſus ſum, quum exercitus imperator Lesbum navigaret, viro iocoſo inter pocula, & urbane faceto. Convivio illum excipiebat Hermeſilaus, & privatim hoſpes, & Athenienſium publicus. Ad ignem ſtabat puer vinum miniſtrans, rubicunda facie inſignis: quem ille compellans, *Vis*, inquit, *ſuaviter me bibere?* Adnuente puero: *Igitur lente mihi*, ait, *& admove poculum & aufer.* Tum multo etiam magis erubeſcente puero, ei qui iuxta ipſum adcumbebat ait Sophocles: *Quam pulcre iſtud dixit Phrynichus!*

Splendet in purpureis genis lumen amoris.

Ad hoc dictum reſpondit Eretrieus aut Erythraeus [*ſi-*

μάτων ἐὼν διδάσκαλος· „Σοφὸς μὲν δὴ σύ γε εἶ, ὦ Σοφόκλεις, ἐν ποιήσει· ὅμως μέν τοι γε οὐκ εὖ εἴρηκε Φρύνιχος, πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέῳ ἐναλείψειε τοῦδε τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς φαίνοιτο. οὐ κάρτα δεῖ [1] τὸ καλὸν τῷ μὴ καλῷ φαινομένῳ εἰκάζειν." ἀναγελάσας [2] ἐπὶ τῷ Ἐρετριεῖ Σοφοκλῆς· „Οὐδέ τόδε σοι ἀρέσκει ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον, b κάρτα δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι;

Πορφυρέου ἀπὸ στόματος ἰεῖσα [3] φωνὰν παρθένος.

αὐδ' ὁ ποιητὴς, ἔφη, λέγων χρυσοκόμαν Ἀπόλλωνα; χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ θεοῦ κόμας, καὶ μὴ μελαίνας, χεῖρον ἂν ἦν τὸ ζωγράφημα. οὐδὲ ὁ φὰς ῥοδοδάκτυλον; εἰ γάρ τις εἰς ῥόδεον χρῶμα βάψειε τοὺς δακτύλους, πορφυροβάφου [4] χεῖρας, καὶ οὐ γυναικὸς καλῆς, ποιήσειε."

1 οὐκ ἄρα δὴ edd. 2 Vulgo εἰκάζειν ἀν. γελάσας ἐπὶ &c. δ' ἐπὶ malebam. 3 ἰεῖσα vulgo. 4 πορφυροβάφους ed. Ven. & Baſ. πορφυροβαφοῦς ed. Caſ.

ve, Eretrieus Erythraeus] ludimagiſter: *Sapiens tu ſane es, Sophocles, in poëſi: verumtamen non bene dixit Phrynichus, purpureas eſſe dicens formoſo puero genas: quod ſi enim pictor colore purpureo inungeret pueri huius genas, non amplius formoſus adpareret. Non utique oportet pulcrum cum eo quod pulcrum non eſt comparare.* Ibi riſum non tenens Sophocles, interrogavit Eretrieum: *Ne iſtud quidem, hoſpes, tibi placet Simonideum, quod ſane bene dictum videtur Graecis?*

Purpureo ab ore emittens vocem virgo:

nec poëta qui auricomum dixit Apollinem? Nam ſi aureas pictor comas faceret Deo, non nigras, peior etiam futura erat pictura. Nec is qui roſeis-digitis (Eoa) dixit? Nam ſi quis roſeo colore mulieris tingeret digitos, purpurariae manus faceret, non formoſae mulieris. Tum orto riſu omnium,

Γελασάντων δὲ, ὁ μὲν Ἐρετριεὺς ἐνωπήθη τῇ ἐπιῤῥα-
c πίσει,[1] ὁ δὲ πάλιν τοῦ παιδος τῷ λόγῳ εἴχετο. εἵρε-
το[2] γάρ μιν, ἀπὸ τῆς κύλικος κάρφος τῷ μικρῷ δα-
κτύλῳ ἀφαιρετέοντα·[3] „Εἰ καθορᾷ τὸ κάρφος;“ Φάν-
τος δὲ καθορᾶν· — „Ἀπὸ τοίνυν φύσησον αὐτὸ, ἵνα
μὴ πλύνοιτο ὁ δάκτυλός σου.“[4] προσαγαγόντος δ' αὐ-
τοῦ τὸ πρόσωπον πρὸς τὴν κύλικα, ἐγγυτέρω τὴν κύ-
λικα τοῦ ἑαυτοῦ στόματος ἦγεν, ἵνα δὴ ἡ κεφαλὴ τῇ
κεφαλῇ ἀσσοτέρα γένηται. ὡς δὲ ἦν οἱ κάρτα πλη-
σίον, προσλαβὼν τῇ χειρὶ, ἐφίλησεν. ἐπικροτησάντων
δὲ πάντων σὺν γέλωτι καὶ βοῇ, ὡς εὖ ὑπηγάγετο τὸν
d παῖδα· „Μελετῶ,[5] εἶπε, στρατηγεῖν, ὦ ἄνδρες· ἐπει- Idem, belli
δήπερ Περικλῆς ποιεῖν μὲν ἔφη με,[6] στρατηγεῖν δ' οὐκ dux mediocris.
ἐπίστασθαι. ἆρ' οὖν οὐ κατ' ὀρθόν μοι πέπτωκε τὸ
στρατήγημα;“ Τοιαῦτα πολλὰ δεξιῶς ἔλεγέν τε καὶ

1 ἐπιραπίξει Ms. 2 εἵρητο ed. Baſ. & Caſ. 1. 2. εἵχετο ed. Caſ. 3.
3 ἀφαιρέοντα edd. 4 δάκτυλος εὖ Ms. δάκτυλός σεο debuiſſe videtur. 5 μελέτω Ms. 6 Deeſt με Ms.

Eretrieus quidem caſtigatione iſta repreſſus eſt, Sophocles vero ad ſermonem cum puero inſtitutum rurſus ſe convertit. Quem ubi vidit feſtucam e calice minimo digito tollere parantem, interrogavit, *an feſtucam conſpiceret?* Cumque ille, *conſpicere ſe*, reſpondiſſet; — *Flatu igitur*, inquit, *eam expelle, ne digitum madefacias.* Ut vero faciem ad calicem admovit puer, propius ille ori ſuo calicem admovit, quo caput capiti propius eſſet: quod ubi fuit proximum, manu prehenſum oſculatus eſt. Tum plaudentibus omnibus cum riſu, clamantibusque quam lepide deceptum puerum ad ſe perlexiſſet: *Meditor*, inquit ille, *o viri, artem imperatoriam; quoniam Pericles me dixit verſus quidem noſſe condere, artem ducis bellici non callere. Nonne igitur ſatis bene mihi ceſſit hoc ſtrategema?* Talia multa ſcite dixit fecitque, cum biberet hilaritatique

ἔπρησσεν, ὅτε πίνοι ἢ πράσσοι. [1] τὰ μέν τοι πολιτικὰ, οὔτε σοφὸς, οὔτε ῥεκτήριος ἦν, ἀλλ' ὡς ἄν τις εἷς τῶν χρηστῶν Ἀθηναίων."

LXXXII. Καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς Ἱστορικοῖς Ὑπομνήμασιν φησὶν, ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους [2] ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσεν, τὴν δὲ τοῦ e Σοφοκλέους χλανίδα περιεβάλοντο. [3] μετ' οὖν τὴν [4] ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ ἑαυτοῦ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος, Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς· καὶ αὐτός ποτε, ἔφη, τούτῳ κεχρῆσθαι τῷ παιδὶ, ἀλλὰ μηδὲν προσθεῖναι, [5] τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τοιοῦτον ἐπίγραμμα, χρησά- f

Laena Sophocli ſubrepta.

1 ἢ παίζοι utique legendum. 2 ἔξω τοῦ τείχους edd. 3 περιεβάλλοντο edd. 4 Deeſt artic. edd. 5 Suſpectum verbum Caſ.

ſefe daret: verum ad gerendam rempublicam nec ſolertiae ſatis in eo fuit, nec induſtriae; ſed erat velut unus e probis commodisque civibus Athenienſibus."

82. Hieronymus vero Rhodius in Hiſtoricis Commentariis narrat etiam, Sophoclem aliquando puerum formoſum, quo frui vellet, extra murum ſeduxiſſe. Puer igitur ſuum pallium in gramine ſubſtravit, laenâ vero Sophoclis ſe ambo involverunt. Poſt congreſſum autem puer raptâ Sophoclis laenâ diſceſſit, relinquens illi puerile ſuum palliolum. Id factum, hominum ſermonibus (ut par erat) divulgatum, ut cognovit Euripides, ludibrio traducens dixit, *ſe quoque aliquando eodem puero uſum eſſe, ſed nihil de ſuo perdidiſſe; Sophoclem vero ob nimiam laſciviam ſpretum ab illo fuiſſe.* Quod intelligens Sophocles, confecit in eum hoc Epigramma, in quo uti-

μενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καίτοι [1] πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος·

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ Φιλοῦνθ' ἑτέραν
Βορρᾶς ὡμίλησε. σὺ δ' οὐ σοφὸς, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

LXXXIII. Donaria Diis rapta, & amasiis donata.

Θεόπομπος δ', ἐν τῷ Περὶ τῶν συληθέντων ἐκ a Δελφῶν Χρημάτων· „Ἀσώπιχον, φησὶ, τὸν Ἐπαμινώνδου ἐρώμενον, τὸ Λευτρικὸν τρόπαιον ἐντετυπωμένον ἔχειν ἐπὶ τῆς ἀσπίδος, καὶ θαυμαστῶς αὐτὸν κινδυνεύειν· ἀνακεῖσθαι δὲ τὴν ἀσπίδα ταύτην ἐν Δελφοῖς ἐν τῇ στοᾷ." Ἐν δὲ τῷ αὐτῷ συγγράμματι Θεόπομπος· „Φιλογύναιον μὲν, φησὶ, γεγονέναι Φάϋλλον [2] τὸν Φωκέων τύραννον, Φιλόπαιδα δὲ Ὀνόμαρχον· καὶ ἐκ τῶν τοῦ θεοῦ χαρίσασθαι τοῦτον εἰς Δελφοὺς παραγενομένῳ τῷ Πυθοδώρου τοῦ Σικυωνίου υἱῷ,

Phayllus & Onomarchus.

1 καὶ δὴ malebam. 2 Φαΰλλον ed. Caſ. & dein Φαΰλλος.

tur fabulâ de Sole & Boreâ, & nimirum adulteria illius occulte traducit:

Sol fuit, non puer, Euripides, qui me calefaciens
laenâ nudavit: tibi vero, aliam amanti,
Boreas conſuevit. Tu autem non ſapiens, qui Amorem,
alienam cum ares, graſſatorem ſeducis.

83. Theopompus in libro de Delphicorum donariorum Spoliatione: »Aſopichum, ait, Epaminondae amaſium, Leuctricum tropaeum ſcuto inſculptum habuiſſe, ipſumque etiam mirificâ fortitudine pugnaſſe: conſecratum autem id ſcutum eſſe Delphis in porticu.« In eodem vero ſcripto Theopompus ait: »Mulierum amori deditum fuiſſe *Phayllum*, Phocenſium tyrannum, *Onomarchum* vero puerorum amoribus: & hunc ex Delphicis ſpoliis, cum conſueſſet Pythodori Sicyonii filio,

ἀποκειρομένῳ τὴν κόμην, ὄντι καλῷ συγγενόμενον, b
τὰ Συβαριτῶν ἀναθήματα, στλεγγίδια χρυσᾶ τέσσαρα. τῇ Δεινιάδου δὲ αὐλητρίδι Βρομιαδίᾳ [1] Φάυλλος καρχήσιον ἀργυροῦν Φωκαέων, καὶ στέφανον [2] χρυσοῦν κιττοῦ Πεπαρηθίων. αὐτὴ δέ, φησὶ, καὶ ἔμελλε τὰ Πύθια αὐλεῖν, εἰ μὴ ὑπὸ τοῦ πλήθους ἐκωλύθη. τῷ δὲ Λυκόλᾳ, τῷ τοῦ Τριχολέου υἱῷ Φυσκίδᾳ, ὄντι καλῷ, Ὀνόμαρχος ἔδωκε, φησὶ, στέφανον δάφνης, Ἐφεσίων ἀνάθημα. οὗτος ὁ παῖς πρὸς Φίλιππον ἀχθεὶς ὑπὸ τοῦ πατρὸς, κἀκεῖ προαγωγευόμενος, οὐδὲν λαβὼν ἀπεστάλη. τῷ Ἐπιλύκου τοῦ Ἀμφιπο- c
λίτου υἱῷ, ὄντι καλῷ, Δαμίππῳ,[3] Πλειστθένους ἀνά-
Philomelus, & Pharsalia. θημα Ὀνόμαρχος ἔδωκε. Φαρσαλίᾳ τῇ Θεσσαλίδι ὀρχηστρίδι δάφνης στέφανον χρυσοῦν Φιλόμηλος ἔδωκε, Λαμψακηνῶν ἀνάθημα. αὕτη ἡ Φαρσαλία ἐν Με-

1 Βρομίᾳ edd. 2 καισ . . . . : νον edd. & Ms. 3 Intercidisse utique quidpiam videtur.

formoso puero, qui Delphos venerat quo comam detonderet, donasse ei Sybaritarum donaria, pectines aureos quatuor. Diniadae vero filiae, tibicinae, Bromiadiae, Phayllus carchesium poculum aureum donavit, Phocaeensium donarium, & coronam auream hederaceam Peparethiorum. Ipsa vero, inquit, etiam Pythicum canere voluerat, sed a multitudine est prohibita. Lycolae vero, Tricholei filio Physcidae, formoso puero, Onomarchus dedit, ait, lauream (ex auro) coronam, Ephesiorum donarium. Idem puer ad Philippum ductus a patre, & ibi prostitutus, absque munere fuerat dimissus. Epilyci Amphipolitani filio, formoso puero, Damippo, Plisthenis donarium Onomarchus dedit. Pharsaliae Thessalae saltatrici lauream ex auro coronam *Philomelus* dederat, Lampsacenorum donarium. Haec *Pharsalia* deinde Metaponti a vatibus [*sive*, ab adole-

ταποντίῳ [1] ὑπὸ τῶν ἐν τῇ ἀγορᾷ μάντεων,[2] γενομένης Φωνῆς ἐκ τῆς δάφνης τῆς χαλκῆς, ἣν ἔστησαν Μεταποντῖνοι κατὰ τὴν Ἀριστέα τοῦ Προκοννησίου [3] ἐπιδημίαν, ὅτε ἔφησεν ἐξ Ὑπερβορέων παραγεγονέναι, ὡς τάχιστα ὤφθη εἰς τὴν ἀγορὰν ἐμβαλοῦσα, ἐμ-
d μανῶν γενομένων τῶν μάντεων, διεσπάσθη ὑπ' αὐτῶν. καὶ τῶν ἀνθρώπων ὕστερον ἀναζητούντων τὴν αἰτίαν, εὑρέθη διὰ [4] τὸν τοῦ θεοῦ στέφανον ἀνῃρημένη."

LXXXIV. Puerorum amor contra naturam.

Ὁρᾶτε οὖν καὶ ὑμεῖς, οἱ Φιλόσοφοι, οἱ παρὰ φύσιν τῇ Ἀφροδίτῃ χρώμενοι, καὶ ἀσεβοῦντες εἰς τὴν θεὸν, μὴ τὸν αὐτὸν διαφθαρῆτε τρόπον. τότε γὰρ καὶ οἱ παῖδές εἰσι καλοὶ, ὡς Γλυκέρα ἔφασκεν ἡ ἑταίρα, ὅσον ἐοίκασι γυναικὶ χρόνον, καθάπερ ἱστορεῖ Κλέαρχος. Ἐμοὶ μὲν γὰρ καὶ κατὰ φύσιν δοκεῖ πεποιηκέναι Κλεώνυμος ὁ Σπαρτιάτης, πρῶτος ἀνθρώπων εἰς

1 Μεταπόντῳ edd. 2 Forſ. νεανιῶν: & ſic mox iterum, ἐμμανῶν γενομένων τῶν νεανιῶν. 3 Προκοννησίου Ms. 4 διὰ τὸ τὸν τοῦ Θ. edd.

ſcentibus] in foro ſtantibus, cum vox edita eſſet ex aenea lauro, quam ſtatuerant Metapontini quo tempore apud eos verſabatur Ariſteas Proconneſius, ex Hyperboreis (ut perhibebat) rediens, utprimum conſpecta eſt forum ingreſſa, in furorem actis vatibus, [*ſive*, adoleſcentibus] discerpta eſt. Quumque poſtea in cauſſam facti inquirerent homines, compertum eſt occiſam eſſe propter Dei coronam.«

84. Videte igitur etiam vos, Philoſophi, qui praeter naturam Venere utimini, & impii eſtis adverſus Deam, ne eodem modo pereatis. Nam etiam *pueri nonniſi tunc pulcri ſunt*, ut aiebat Glycera meretrix, *quousque mulieribus ſimiles ſunt*: quemadmodum Clearchus refert. Mihi vero etiam ſecundum naturam feciſſe Cleonymus Spartanus videtur, qui primus hominum obſides accepit a

ὁμηρίαν λαβὼν παρὰ Μεταποντίνων γυναῖκας, παρ- e
θένους τὰς ἐνδοξοτάτας καὶ καλλίστας διακοσίας, ὡς
ἱστορεῖ Δοῦρις ὁ Σάμιος ἐν τῇ τρίτῃ τῶν Περὶ Ἀγαθο-
κλέα Ἱστοριῶν. κἀγὼ δέ, κατὰ τὴν Ἐπικράτους Ἀν-
τιλαΐδα,

Ἐρωτικὰ μεμάθηκα ταῦτα παντελῶς
Σαπφοῦς μέλη, [ἢ][1] τοῦ Κλεομένους Λαμυν-
θίου.[2]

Ὑμεῖς δέ, ὦ Φιλόσοφοι,[3] κἂν ἐρασθέντες ποτὲ γυ-
ναικῶν ἐν ἐννοίᾳ λαβητε ὡς ἀδύνατόν ἐστιν τὸ τυχεῖν
μάθετε[4] παύονται οἱ ἔρωτες, ὥς φησι Κλέαρχος. τῇ
τε γὰρ περὶ τὴν Πειρήνην[5] χαλκῇ βοῒ βοῦς ἐπανέβη·
καὶ γεγραμμένῃ κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ, τῇ μὲν f
κύων, τῇ δὲ περιστερὰ, τῇ δὲ χὴν προσῆλθον καὶ ἐπε-
πήδησαν· φανέντων δὲ πᾶσι τούτοις ἀδυνάτων ἀπέστη-
σαν, καθάπερ[6] Κλείσοφος ὁ Σηλυμβριανός. οὗτος

1 ἢ *ignorant membr.* 2 Λαμινθίου edd. 3 οἱ φιλόσοφοι ed. Caſ.
4 Defecta aut alioqui turbata oratio. *Poſt* λάβητε, & μάθετε, *commata* ponuntur in ed. Baſ. & Caſ. 5 Πυρήνην edd. 6 Forſ. καθάπερ καὶ Κλείσοφος.

Metapontinis mulieres, virgines nobiliſſimas formoſiſſimasque ducentas, ut Duris Samius narrat tertio libro Hiſtoriarum de rebus Agathoclis. Atque ego etiam, ut eſt apud Epicratem in Antilaide,

Amatoria edidici haec omnia
Sapphûs cantica [*aut*] *Cleomenis Lamynthii.*

Vos vero, o Philoſophi, etiamſi amore aliquando capti mulierum in animum induxeritis fieri non poſſe ut illis potiamini, diſcite * * ceſſant amores, ut ait Clearchus. Nam & aeneam vaccam, quae ad Pirenen eſt, bos conſcendit; & cum picta cane & columba & anſere congredi canis, columba, & anſer, easque inſcendere voluerunt; quod quum fieri non poſſe cognoſcerent omnes, deſtiterunt: quod ipſum etiam Cleiſopho uſu venit Se-

γὰρ τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὐτὸν [1] ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος· καὶ ὡς ἠδυνάτει διά τε τὴν ψυχρότητα καὶ τὸ ἀντίτυπον τοῦ λίθου, τηνικαῦτα τῆς ἐπιθυμίας ἀπέστη, καὶ προβαλλόμενος τὸ σαρκίον [2] ἐπλησίασε. τῆς πράξεως ταύτης μνημονεύει καὶ [3] Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφῇ, λέγων ὧδε· Statuarum amore capti.

a — Γεγένηται δ', ὡς λέγουσι, καὶν Σάμῳ
τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος, ἐγκατέκλεισέ θ' ἑαυτὸν [4] τῷ νεῷ.

καὶ Φιλήμων τοῦ αὐτοῦ μνημονεύων φησίν·

Ἀλλ' ἐν Σάμῳ μὲν τοῦ λιθίνου ζώου ποτὲ
ἄνθρωπος ἠράσθη τίς· εἶτ' εἰς τὸν νεὼν
κατέκλεισεν αὑτόν. —

Κτησικλέους δέ ἐστιν ἔργον τὸ ἄγαλμα, ὥς φησιν Ἀδαῖος ὁ Μιτυληναῖος [5] ἐν τῷ Περὶ Ἀγαλματοποιῶν.

1 αὐτὸν ms. *Ep.* 2 Forſ. σάχιον, aut σαχίον. 3 Deeſt καὶ edd. 4 αὑτὸν edd. 5 Μυτηληναῖος edd. Μυτύλην. Ms.

lymbriano. Hic enim Sami captus amore ſtatuae ex Pario marmore, incluſit ſeſe in templo, quaſi cum illa congredi poſſet: & cum non poſſet ob ſaxi frigiditatem renixumque, tum quidem cupiditate abſtitit, & praetendens carunculam explevit libidinem. Eius facti meminit etiam Alexis poëta in fabula, cui titulus Pictura, ubi ſic ait:

Factum eſt, ut aiunt, Sami quoque
ſimillimum quiddam. Saxeam expetens virginem
homo, ſe ipſum incluſit in templo.

Et Philemon eiusdem meminit, dicens:

At Sami lapideae ſtatuae aliquando amore
captus homo eſt quidam: deinde in templum
incluſit ſe. —

Cteſiclei opus illa ſtatua eſt, ut ait Adaeus Mitylenaeus in libro de Statuariis. Polemon vero, ſive quis-

Πολέμων δὲ, ἢ ὁ ποιήσας τὸν ἐπιγραφόμενον Ἑλλαδικόν· „Ἐν Δελφοῖς, φησὶν, ἐν τῷ [1] πινάκων θη- b
σαυρῷ, παῖδές εἰσι λίθινοι δύο, ὧν τοῦ ἑτέρου Δελφοί φασι τῶν θεωρῶν ἐπιθυμήσαντά τινα συγκατακλεισθῆναι, καὶ τῆς ὁμιλίας καταλιπεῖν στέφανον. φωραθέντος δ' αὐτοῦ, τὸν θεὸν χρωμένοις τοῖς Δελφοῖς συντάξαι ἀφεῖναι τὸν ἄνθρωπον· δεδωκέναι γὰρ αὐτῷ μισθόν."

LXXXV. Animantia hominum amore capta.

Καὶ ἄλογα δὲ ζῶα ἀνθρώπων ἠράσθη· Σεκούνδου μέν τινος βασιλικοῦ οἰνοχόου, ἀλεκτρυών· ἐκαλεῖτο δὲ ὁ μὲν ἀλεκτρυὼν, Κένταυρος· ὁ δὲ Σεκοῦνδος ἦν οἰκέτης Νικομήδους, τοῦ Βιθυνῶν βασιλέως· ὡς ἱστορεῖ Νίκανδρος, ἐν ἕκτῳ Περιπετειῶν. ἐν Αἰγείῳ [2] δὲ c
παιδὸς ἠράσθη χήν, ὡς Κλέαρχος ἱστορεῖ ἐν πρώτῳ Ἐρωτικῶν. τὸν δὲ παῖδα τοῦτον Θεόφραστος ἐν τῷ Ἐρωτικῷ Ἀμφίλοχον καλεῖσθαί φησι, καὶ τὸ γένος

1 ἢ ἐν τῷ πιν. vulgo. 2 Ἀγείῳ vulgo. Rectius fuerit ἐν Αἰγίῳ.

quis auctor est libri qui Helladicus inscribitur: »Delphis, ait, in tabularum pictarum thesauro, duo sunt pueri lapidei: quorum unius cupidine incensus aliquis, qui spectatum venerat, sese cum eo includit, & congressus praemium reliquit coronam. Qui quum facti essent convictus, consultantibus Delphis praecepisse aiunt Deum, liberum dimitterent hominem, quippe qui mercedem sibi dedisset.«

85. Sed & muta animantia homines amarunt: Secundum quempiam, regium pincernam, *gallus gallinaceus*: nominabatur is gallus Centaurus; Secundus vero, minister erat Nicomedis, regis Bithynorum; ut tradit Nicander sexto libro de Fortunae Casibus. Aegii vero, puerum amavit *anser*; ut Clearchus narrat primo libro Eroticorum: pueroque illi Theophrastus in Amatorio ait nomen fuisse Amphilocho, fuisse autem genere Ole-

Ὠλένιον εἶναι. Ἑρμείας δὲ ὁ τοῦ Ἑρμοδώρου, Σάμιος δὲ γένος, ἐρασθῆναι [χῆνα] [1] Λακύδους [2] τοῦ φιλοσόφου. Ἐν δὲ Λευκαδίᾳ, φησὶ Κλέαρχος, οὕτως ἐρασθῆναι ταὼν παρθένου, ὡς καὶ τὸν βίον ἐκλιπούσῃ συναποθανεῖν. Δελφῖνα δ' ἐν Ἰασῷ παιδὸς ἐρασθῆναι λόγος, ὡς ἱστορεῖ Δοῦρις ἐν τῇ ἑνάτῃ. ὁ δὲ λόγος ἐστὶν
d αὐτῷ ὁ [3] περὶ Ἀλεξάνδρου, καὶ λέγει οὕτως· „Μετεπέμψατο δὲ καὶ τὸν ἐκ τῆς Ἰασοῦ παῖδα. περὶ γὰρ τὴν πόλιν ταύτην Διονύσιός τις ἦν παῖς, ὃς μετὰ τῶν ἄλλων ἐκ παλαίστρας παραγενόμενος ἐπὶ τὴν θάλατταν ἐκολύμβα. δελφὶς δὲ πρὸς αὐτὸν ἐκ τοῦ πελάγους ἀπήντα, καὶ ἀναλαμβάνων ἐπὶ τὰ νῶτα ἔφερεν ἐπὶ πλεῖστον νηχόμενος, καὶ πάλιν ἀποκαθίστα εἰς τὴν γῆν." Φιλανθρωπότατον δέ ἐστι καὶ συνετώτατον τὸ ζῶον ὁ δελφὶς, χάριν τε ἀποδιδόναι ἐπιστάμενον. Φύλαρχος γοῦν ἐν τῇ δωδεκάτῃ· [4] „Κοίρανος, Delphinus gratiam rependens.

1 *Abeſt* vox vulgo. 2 Λακύδου malebam. 3 Deeſt ὁ edd. 4 δυοκαιδεκάτῃ edd.

nium. Hermeas vero Hermodori filius, genere Samius, amaſſe anſerem, ſcribit, Lacydem philoſophum. In Leucadia *pavonem*, ait Clearchus, tam vehementer amaſſe virginem, ut illa mortua ipſe cum ea exſpiraret. *Delphinum* vero laſſi puerum amaſſe fama eſt, ut tradit Duris nono libro; ubi de Alexandro verba faciens, ita ſcribit: »Arceſſivit etiam puerum ex Iaſſo. Erat enim in eo oppido puer nomine Dionyſius, qui quum e palaeſtra cum aliis ad mare ſe contuliſſet, ibique urinaretur, Delphinus e pelago ei occurrens dorſo ſuo impoſitum puerum geſtavit longius natans, rurſusque in terram depoſuit.« Eſt autem hominis amantiſſimum animal & intelligentia inprimis praeditum Delphinus, & quod gratiam ſciat rependere. Phylarchus quidem libro duodecimo haec ſcribit: »Coeranus Mileſius, cum piſcatores,

φησὶν, ὁ Μιλήσιος, ἰδὼν ἁλιέας τῷ δικτύῳ λαβόντας e
δελφῖνα, καὶ μέλλοντας κατακόπτειν, ἀργύριον δοὺς,
καὶ παραστησάμενος ἀφῆκεν εἰς τὸ πέλαγος. καὶ με-
τὰ ταῦτα ναυαγίᾳ [1] χρησάμενος περὶ Μύκονον, καὶ
πάντων ἀπολομένων, μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ Κοί-
ρανος. τελευτήσαντος δὲ αὐτοῦ γηραιοῦ ἐν τῇ πατρίδι,
καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνομένης κα-
τὰ τύχην ἐν τῇ Μιλήτῳ, ἐν τῷ λιμένι πλῆθος δελφί-
νων ἐφάνη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, μικρὸν ἀπωτέρω τῶν
συνεκκομιζόντων τὸν Κοίρανον, ὡσεὶ συνεκφερόντων καὶ f
συγκηδευόντων [2] τὸν ἄνθρωπον." Ὁ δ' αὐτὸς ἱστορεῖ
Elephas mire amans infantem. Φύλαρχος διὰ τῆς εἰκοστῆς, ὅσην ἐλέφας τὸ ζῶον φι-
λεστοργίαν ἔσχεν εἰς παιδίον. γράφει δ' οὕτως· „Τού-
τῳ δὲ τῷ ἐλέφαντι συνετρέφετο θήλεια ἐλέφας, ἣν
Νίκαιαν ἐκάλουν· ᾧ τελευτῶσα ἡ τοῦ Ἰνδοῦ γυνὴ παι-
δίον αὐτῆς τριακοσταῖον παρακατέθετο. ἀποθανούσης δὲ

1 ναυαγίῳ edd. 2 Temere συγκυδευόντων ed. Caſ. 1. 2. 3.

qui delphinum reti ceperant, in eo eſſe videret ut in fruſta illum conciderent, data pecunia eis perſuaſit ut mari redderent liberumque dimitterent. Poſt id tempus naufragium paſſus ad Myconum, pereuntibus omnibus, unus a delphino ſervatus eſt Coeranus. Idem cum ſenex vitâ functus eſſet in patriâ, & exſequiae forte fortuna ſecundum mare Mileti fierent, ingens delphinorum multitudo eo die in portu conſpiciebatur haud procul ab eis qui funus Coerani proſequebantur, quaſi & ipſi funus ſequerentur & iuſta viro illi perſolverent.« Idem Phylarchus viceſimo libro docet, quam ſingulari amore *elephas* bellua dilexerit infantem. Scribit autem in hunc modum: » Cum hoc elephante ſimul alebatur foemina elephas, quam Nicaeam vocabant; cui uxor Indi moriens infantem ſuum triginta dies natum cuſtodiendum adpoſuerat. Tum mortua muliere mirus quidam

τῆς ἀνθρώπου, δεινή τις φιλοστοργία γέγονε τοῦ θηρίου πρὸς τὸ παιδίον. οὔτε γὰρ ἀπ' αὐτοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενεν· ὁ δὲ, εἰ μὴ βλέποι τὸ παιδίον, ἤσχαλλεν. ὅτ' οὖν ἡ τροφὸς ἐμπλήσειεν αὐτὸ τοῦ γάλακτος, ἀνὰ μέσον τῶν ποδῶν τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφῃ. [1] εἰ δὲ μὴ τοῦτο πεποιήκοι, [2] τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφας. καὶ μετὰ ταῦτα δι' ὅλης τῆς ἡμέρας τοὺς καλάμους λαμβάνων, καὶ τῶν παρατιθεμένων χορτασμάτων, καθεύδοντος τοῦ βρέφους, τὰς μυίας ἀπεσόβει· ὅτε δὲ κλαίοι, τῇ προβοσκίδι τὴν σκάφην ἐκίνει, καὶ κατεκοίμιζεν [3] αὐτό. τὸ δ' αὐτὸ ἐποίει καὶ ὁ ἄρρην ἐλέφας πολλάκις."

LXXXVI. Qui nimis continentes volunt esse, iidem saepe turpiter se dant.

Ὑμεῖς δὲ, ὦ φιλόσοφοι, καὶ τῶν δελφίνων καὶ τῶν ἐλεφάντων ἐστὲ κατὰ τὴν γνώμην ἀγριώτεροι, ἔτι τε ἀνημερώτεροι· καίτοι Περσαίου τοῦ Κιττιέως ἐν τοῖς Συμποτικοῖς Ὑπομνήμασι βοῶντος, καὶ λέγοντος· „Περὶ ἀφροδισίων ἁρμοστὸν εἶναι ἐν τῷ οἴνῳ μνείαν

1 σκάφει ms. A. & editt. vett. 2 πεποιήκει edd. 3 κατεκοίμισεν edd.

amoris adfectus belluae exstitit adversus infantem. Nec enim sustinuit ut a se infans removeretur: &, nisi praesentem videret parvulum, tristis erat. Igitur quoties lacte infantem nutrivisset nutrix, inter pedes belluae illum in cunis posuit: quod nisi illa feciset, pabulo abstinebat elephas. Et deinde per totum diem arundines sumens & stramina adposita, dormiente infante, muscas ab eo abigebat: & flente illo, proboscide cunas agitabat, eumque sopiebat. Atque idem saepe etiam faciebat elephas mas."

86. At vobis, Philosophi, mens est quam delphinis & elephantibus agrestior & immitior: quamvis Persaeus Cittieus in Convivalibus Commentariis clamet dicatque: »Convenire ut inter pocula mentio fiat rerum venerea-

ποιεῖσθαι· καὶ γὰρ πρὸς ταῦτα ἡμᾶς, ὅταν ὑποπίωμεν, ἐπιῤῥεπεῖς εἶναι. καὶ ἐνταῦθα τοὺς μὲν ἡμέρως τε καὶ μετρίως αὐτοῖς χρωμένους, ἐπαινεῖν δεῖ· τοὺς δὲ θηριωδῶς καὶ ἀπλήστως, ψέγειν. καὶ εἰ διαλεκτικοὶ, συνελθόντες εἰς πότον, περὶ συλλογισμῶν διαλέγοιντο, ἀλλοτρίως ἂν αὐτοὺς ὑπολάβοι τις ποιεῖν τοῦ παρόντος καιροῦ. καὶ ὁ καλὸς κἀγαθὸς ἀνὴρ μεθυσθείη ἄν. οἱ δὲ βουλόμενοι σωφρονικοὶ εἶναι σφόδρα, μέχρι τινὸς διατηροῦσιν ἐν τοῖς πότοις τὸ τοιοῦτον· εἶθ' ὅταν παραδυῇ [1] τὸ οἰνάριον, τὴν πᾶσαν ἀσχημοσύνην ἐπιδείκνυνται. Ὃ καὶ πρώην ἐγένετο ἐπὶ τῶν ἐξ Ἀρκαδίας θεωρῶν πρὸς Ἀντίγονον παραγενομένων. ἐκεῖνοί τε [2] γὰρ ἥριστων σφόδρα σκυθρωπῶς καὶ εὐσχημόνως, ὡς ᾤοντο· οὐχ ὅτι ἡμῶν τινα προσβλέποντες, ἀλλ' οὐδὲ ἀλλήλους. ὡς δὲ ὁ πότος προέβαινε, καὶ εἰσῆλθεν ἄλλα

1 παραδύῃ edd. 2 Deeſt τε edd.

rum: ad eas enim pronos eſſe homines quando ſint adpoti. Et tunc quidem qui placide & moderate illis utuntur, laudandi ſunt; qui vero ferarum more & cupiditate inſatiabili, vituperandi. Quod ſi dialectici, cum ad compotandum convenerint, de ſyllogismis disputant, facere eos rem a praeſenti tempore alienam merito aliquis exiſtimet. Et vir probus & honeſtus inebriabitur nonnumquam. Qui vero temperantiae nimis volunt eſſe ſtudioſi, hi in compotationibus aliquamdiu quidem inſtitutum iſtud ſervant: deinde, poſtquam ſe inſinuavit villum, omnem oſtendunt turpitudinem. Id nuper uſu venit legatis qui ex Arcadia ad Antigonum venerant. Prandebant enim hi triſtes admodum, & modeſte compoſiti, ut ſibi videbantur; ne dicam, noſtrûm neminem intuentes, ſed ne ſe quidem inter ſe. At progrediente compotatione, poſtquam & alia acroamata introierunt,

τε ἀκροάματα, καὶ αἱ Θετταλαὶ αὗται ὀρχηστρίδες, καθάπερ αὐταῖς ἔθος ἐστὶν, ἐν ταῖς διαζώστραις [1] γυμναὶ ὠρχοῦντο, οὐκ ἔτι κατεῖχον αὐτοὺς οἱ ἄνδρες, ἀλλὰ ἐκ τῶν κλινῶν ἀνώρμων [2] καὶ ἐβόων, ὡς θαυμαστόν τι θέαμα θεώμενοι· καὶ μακάριον τὸν βασιλέα ἀπεκάλουν, ὅτι ἔξεστιν αὐτῷ τούτων ἀπολαύειν· καὶ ἕτερα τούτοις παραπλήσια πάνυ πολλὰ τῶν Φορτικῶν ἐποίουν. Τῶν Φιλοσόφων δέ τις, συμπίνων ἡμῖν, εἰσελθούσης αὐλητρίδος, καὶ οὔσης εὐρυχωρίας παρ' αὐτῷ, βουλομένης τῆς παιδίσκης παρακαθίσαι, οὐκ ἐπέτρεψεν, ἀλλὰ σκληρὸν αὐτὸν [3] εἰσῆγεν. εἶθ' ὕστερον πωλουμένης τῆς αὐλητρίδος (καθάπερ ἔθος ἐστὶν ἐν τοῖς πότοις γίνεσθαι) ἐν τῷ ἀγοράζειν πάνυ νεανίσκος ἦν· [4] καὶ τῷ πωλοῦντι, ἄλλῳ τινὶ θᾶττον προσθέντι, [5] ἠμφισβήτει, καὶ οὐκ ἔφη αὐτὸν πεπρακέναι· καὶ τέλος εἰς πυγμὰς ἦλθεν ὁ σκληρὸς ἐκεῖνος Φιλόσοφος,

1 Forſ. ἐν αὐταῖς διαζώστρ. Perperam διαζώσφαις edd. 2 ἀφώρμων edd. 3 αὐτὸν edd. 4 Forſ. νεανικὸς ἦν. 5 προσθέντος vulgo.

& Theſſalae hae ſaltatrices (quemadmodum conſueverunt) nudae cum ſubligaculis ſaltarunt; tum vero non amplius ſe continere homines; ſed e lectulis ſubſilire, clamareque tamquam mirificum aliquod ſpectaculum ſpectantes, & beatum praedicare regem, cui his talibus frui liceret; denique multa alia inepte his ſimilia facere. Philoſophorum vero aliquis, qui intererat compotationi, ingrediente puellâ tibicinâ, & iuxta eum, quum ſpatii ſatis ſupereſſet, adſidere volente, paſſus non eſt, ſed durum ſe ac ſeverum praebuit. Idem vero deinde, cum auctione veniret tibicina, quemadmodum in compotationibus ſolet fieri, in emendo valde iuvenem ſe prodidit: & cum vendente, poſtquam is iuſto citius alii cuidam addixiſſet puellam, expoſtulavit, negans illum vendidiſſe: denique ad pugnos venit ſeverus ille

καὶ [1] ἐν ἀρχῇ οὐδ' ἂν παρακαθίσαι ἐπιτρέπων τῇ αὐλητρίδι. " Μή ποτε αὐτός ἐστιν [2] ὁ Περσαῖος ὁ περὶ τῆς αὐλητρίδος διαπυκτεύσας; Φησὶ γὰρ Ἀντίγονος ὁ Καρύστιος ἐν τῷ Περὶ Ζήνωνος, γράφων ὧδε· „Ζήνων ὁ Κιτιεὺς, Περσαίου παρὰ πότον αὐλητρίδιον πριαμένου, διοκνοῦντος εἰσαγαγεῖν πρὸς αὐτὸν διὰ τὸ τὴν αὐτὴν οἰκεῖν οἰκίαν, συναισθόμενος συνείλκυσε τὴν παι- f δίσκην, καὶ συγκατέκλεισε τῷ Περσαίῳ." Οἶδα δὲ καὶ Πολύστρατον Ἀθηναῖον, μαθητὴν [3] Θεοφράστου, τὸν ἐπικαλούμενον Τυῤῥηνὸν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυεν.

Perſaeus, Zenonis diſcipulus.

LXXXVII. Muſicae mulieres.

Ἐσπουδάκεσαν δὲ καὶ οἱ βασιλεῖς περὶ τὰς μουσουργούς· ὡς δῆλον ποιεῖ Παρμενίων ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ, ἣν ἐπέστειλεν αὐτῷ μετὰ τὸ Δαμασκὸν ἑλεῖν, καὶ τῆς ἀποσκευῆς τῆς [4] Δαρείου

1 ὁ ἐν ἀρχῇ malim, aut ὁ καὶ ἐν ἀρχῇ. 2 Forſ. δ' αὐτός ἐστιν, aut ὁ ὢν αὐτός ἐστιν. 3 μαθητὴν δὲ Θεοφρ. Ms. 4 τοῦ Δαρείου edd.

philoſophus, qui initio ne paſſus quidem erat ut iuxta ſe adſideret tibicina. « — Is autem philoſophus de tibicinâ pugnis decertans, ipſe fortaſſe Perſaeus fuerit. Scribit enim Antigonus Caryſtius in libro DE Zenone his verbis: »Zeno Cittieus, cum Perſaeus aliquando in compotatione tibicinam emiſſet, & illam domum deducere non auderet, quoniam easdem cum illo aedes habitabat, re intellecta intro pertraxit puellam, & Perſaeum cum ea concluſit.« Novimus vero etiam, Polyſtratum Athenienſem, Theophraſti diſcipulum, qui Tyrrhenus eſt cognominatus, veſtes tibicinarum induiſſe.

87. Studium vero etiam reges adhibuerunt, ut penes ipſos *mulieres* eſſent *muſicae artis peritae*: quod Parmenio declarat in Epiſtola ad Alexandrum, quam ad eum ſcripſit, poſtquam Damaſcum cepit, & impedimentis Darii

ἐγκρατὴς γενέσθαι. καταριθμησάμενος οὖν τὰ αἰχμάλωτα, γράφει καὶ ταῦτα· „Παλλακίδας εὗρον μου-
a σουργοὺς τοῦ βασιλέως τριακοσίας εἰκοσιεννέα, ἄνδρας στεφανοπλόκους ἓξ καὶ τεσσαράκοντα, ὀψοποιοὺς διακοσίους ἑβδομήκοντα ἑπτὰ, χυτρεψοὺς εἰκοσιεννέα, γαλακτουργοὺς τρεῖς καὶ δέκα, ποτηματοποιοὺς [1] ἑπτακαίδεκα, οἰνοηθητὰς ἑβδομήκοντα, μυροποιοὺς τεσσαράκοντα." Καὶ ὑμῖν δέ, ὦ ἑταῖροι, λέγω, ὅτι οὐδέν ἐστιν ὀφθαλμῶν οὕτως εὐφραντικὸν, ὡς γυναικὸς κάλλος. ὁ γοῦν τοῦ τραγικοῦ Χαιρήμονος Οἰνεὺς περὶ παρθένων τινῶν διηγουμένος, ὧν ἐθεᾶτο, φησὶν ἐν τῷ ὁμωνύμῳ δράματι· Mulierum formam celebrat Chaeremon.

b Ἔκειτο γὰρ ἡ μὲν λευκὸν εἰς [2] σεληνόφως [3]
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος.
τῆς δ' αὖ χορεία [4] λαγόνα τὴν ἀριστερὰν
ἔλυσε· γυμνῆς [5] δ' αἰθέρος θεάμασιν

1 ποτιματοποιοὺς edd. 2 Deest εἰς ed. Caſ. 2. & 3. 3 σελνάφως edd. 4 χορίας edd. χορείας Ms. 5 γυμνοῖς edd. γυμνὴ corr. Valck.

potitus eſt. Igitur recenſu facto captivorum, haec deinde ſcribit: *Pellices regis inveni muſicae peritas trecentas viginti novem, viros corollarum textores quadraginta ſex, obſoniorum parandorum artifices ducentos ſeptuaginta ſeptem, qui in ollis coquunt viginti novem, lactarios tredecim, varia potionum genera parantes ſeptemdecim, vini colatores ſeptuaginta, unguentarios quadraginta.* Vobis vero, Sodales, dico, nihil eſſe tam oblectans oculos, quam pulcra mulieris forma. Igitur Chaeremonis tragici poëtae Oeneus, de virginibus quibusdam loquens, quas conſpexerat, in cognomine dramate ſic ait:

Alia iacebat candidas papillulas
oſtendens lunae retroiecto pallio.
Alius chorea laevum nudarat latus,
nudum ſideribus exhibens ſpectaculum,

ζῶσαν γραφὴν ἔφαινε· χρῶμα δ' ὄμμασι
λευκὸν μελαίνης ἔργον ἀνταύγει [1] σκιᾶς.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας,
ἄλλη [2] προσαμπέχουσα θῆλυν αὐχένα,
ἡ δ' ἐκραγέντων [3] χλανιδίων [4] ὑπὸ πτύχας
ἔφαινε μηρόν· καὶξεπεσφραγίζετο,
ὥρας γελώσης, χωρὶς ἐλπίδων ἔρως.
Ὑπτώμεναι [5] δ' ἔπιπτον ἐλενίων ἔπι,
ἴων τε μελανόφυλλα συγκλῶσαι [6] πτερὰ,
κρόκον θ', ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων [σκιᾶς] [7] εἴδωλον εἰσομόργνυται.
Πέρσης δὲ θαλερὸς ἐκτραφεὶς [8] ἀμάρακος
λειμῶσι μαλακοῖς ἐξέτεινεν [9] αὐχένας.

1 ἀντηύγει ſaltem malebam. 2 ἄλλης Ms. 3 ἡ δὲ χλαγέντων vulgo. 4 χλανίδων edd. 5 Forſ. ὑπτιώμεναι. Videntur autem *ſex postremi verſus reiiciendi poſt illos* qui mox *ex Alpheſiboea* recitantur: ac fortaſſe *illi huc transponendi.* 6 σκυλῶσαι legebat Grot. 7 οἰκίας vulgo. ἰεὶς corr. Grot. ἐναχρ' Weſton. 8 εὖ τραφεὶς Grot. 9 μαλθακοῖσιν ἐξέτεινον vulgo.

viventem imaginem: lacteus viſu color
contra certabat umbris nigricantibus.
Monſtrabat ulnas alia & formoſas manus.
Alia obtegebat tenera colli columina:
ſed ea, disrupto tenuis interulae ſinu,
femur oſtendebat: arridente Gratiâ,
mihi ſe imprimebat ſpem non adducens Amor.
Et iam volvuntur lapſabundae per inulas,
iam nigricolores violas populantes legunt, [ſive, *violas paſſim obterunt,*]
crocique florem, qui purpureis ſupparis
iniectus rutilum ſolis imitatur iubar: [ſive, *& crocum qui candida pepla flavis tingit maculis:*]
tum vero Perſa ſuave-virens amaracus
in molli prato collum protendit ſuum.

d Ἐπικατάφορος δὲ ὢν ὁ ποιητὴς οὗτος καὶ ἐπὶ τὰ ἄνθη, ἐν Ἀλφεσιβοίᾳ [1] φησίν· LXXXVIII. Flores celebrare amat Chaeremon.

Καὶ σώματος μὲν ὄψανα κατηυγάζετο [2]
στίλβοντα λευκῷ χρώματι διαπρεπῆ· [3]
αἰδὼς δ' ἐπερρύθμιξεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·
κόμαι δὲ κηροχρῶτες, ὡς ἀγάλματος
αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένοι,
ξουθοῖσιν ἀνέμοις ἐνετρύφων φορούμενοι.

Ἐν δὲ τῇ Ἰοῖ „ἔαρος τέκνα" προσηγόρευε τὰ ἄνθη·

e — Ἀνθηροῦ τέκνα
ἔαρος [4] πέριξ στρώσαντες. —

ἐν δὲ Κενταύρῳ, ὅπερ δρᾶμα πολύμετρόν ἐστιν „λειμῶνος τέκνα" ·

1 Ἀλευσιβόᾳ edd. Ἀλεσιβοᾷ Ms. 2 ὄψεις κατειργάζετο vulgo. 3 λευκοχρώματ', εἶδεν διαπρεπῆ corr. viri docti. 4 Perperam ἀέρος ed. Ven. & Baſ. cum Ms.

88. Idem poëta etiam *flores* ſingulariter amans, in Alpheſiboea dicit:

Egregia ſpecies candicantis corporis
tamquam ſidereâ luce radiabat nitens:
at virginalis pudor affuſâ molliter
niveum colorem temperabat purpurâ:
tum cericolores, tamquam ſimulacri, comae
interpolatae criſpulis cincinnulis
luxuriabantur auris alludentibus.

[*Hîc videntur* inſerendi ſex poſtremi verſus ſuperioris eclogae. *Aut intercideruntur hoc loco verſus nonnulli, ubi florum facta erat mentio.*]

In Io vero *flores* vocavit *veris filios*:

Floridi veris filios circum ſternentes.

In Centauro vero, quod drama vario genere carminis conſtat, *prati filios* dicit:

Ἔνθεν μὲν αὐτῶν εἰς ἀπείρονα στρατὸν
ἀνθέων ἁλόχων [1] ἐστράτευσαν, ἡδοναῖς
θηρωμένων [2] τὰ λειμώνων τέκνα. [3] —

ἐν δὲ Διονύσῳ·

Χορῶν ἐραστὴς κισσὸς, ἐνιαυτοῦ δὲ παῖς.

περὶ δὲ ῥόδων ἐν Ὀδυσσεῖ φησὶν οὕτως·

Κόμαισιν ὡρῶν σήματ' [4] εὐανθῆ ῥόδα
εἶχον, τιθήνημ' ἔαρος ἐκπρεπέστατον.

καὶ ἐν Θυέστῃ· f

Ῥόδ' ὀξυφεγγῆ κρίνεσιν [5] ἀργεννοῖς ὁμοῦ.

ἐν δὲ Μινύαις·

Πολλὴν ὀπώραν Κύπριδος εἰσορᾶν παρῆν,
ἄκραισι περκάζουσαν οἰνάνθαις χρόνου.

LXXXIX. Formosarum mulierum recensus.

Ἐπὶ κάλλει δὲ, („Ἔτι γὰρ γέρων ἀοιδὸς κελαδεῖ Μναμοσύναν" κατὰ τὸν Εὐριπίδην,) διαβόητοι γε-

1 ἀρτιλόχων hariolabar. ἀκρολόγων corr. Fior. 2 θηρώμενοι legebam. 3 Forſ. τὰ τέκνα λειμώνων. 4 σώματ' vulgo. 5 κρίνοισιν edd.

Ibi quidem ipſorum in infinitum exercitum florum recens-natorum expeditionem ſusceperunt, voluptatibus venantes pratorum filios. —

In Baccho vero:

Chororum amica hedera, anni filia.

Tum de roſis in Ulyſſe ſic ait:

In comis inſignia Horarum floridas roſas habebant, veris alumnos omnium pulcerrimos.

& in Thyeſte:

Praenitentes roſae cum candidis liliis.

tum in Minyis: [*i. e.* Argonautis:]

Largam vindemiam Cypridis conſpicere licebat, ſummis nigricantem uvis in tempore.

89. Ob formae ſpeciem (nam, quod ait Euripides, *Etiam ſenex adhuc cantor celebrat Mnemoſynen*) clarae mu-

γόνασι γυναῖκες· Θαργηλία ἡ Μιλησία, ἥτις καὶ
a τεσσαρεσκαίδεκα ἀνδράσιν ἐγαμήθη, οὖσα καὶ τὸ εἶ-
δος πάνυ καλὴ καὶ σοφή· ὥς φησιν Ἱππίας ὁ σοφι-
στὴς ἐν τῷ ἐπιγραφομένῳ Συναγωγή. Δίνων δ' ἐν
τῇ πέμπτῃ τῶν Περσικῶν τῆς πρώτης συντάξεως φη-
σὶν, ὅτι ἡ Βαγάζου [1] γυνὴ, ἥτις ἦν ὁμοπάτριος Ξέρ-
ξου [2] ἀδελφὴ, ὄνομα Ἀνοῦτις, [3] καλλίστη ἦν τῶν ἐν
τῇ Ἀσίᾳ γυναικῶν, καὶ ἀκολαστοτάτη. Φύλαρχος δ'
ἐν τῇ ἐννεακαιδεκάτῃ, Τιμῶσαν, φησὶ, τὴν Ὀξυάρτου
παλλακίδα, πάσας γυναῖκας ὑπερβεβληκέναι κάλ-
b λει. ταύτην δ' ἀπεστάλκει δῶρον ὁ τῶν Αἰγυπτίων
βασιλεὺς [4] Στατίρᾳ τῇ βασιλέως γυναικί. Θεόπομ-
πος δ', ἐν τῇ ἕκτῃ καὶ πεντηκοστῇ τῶν Ἱστοριῶν, Ξε-
νοπείθειαν, τὴν Λυσανδρίδου μητέρα, πασῶν τῶν κα-
τὰ Πελοπόννησον γυναικῶν γεγονέναι καλλίονα. ἀπέ-
κτειναν δὲ αὐτὴν Λακεδαιμόνιοι, καὶ τὴν ἀδελφὴν αὐ-

1 Μεγαβύζου forsan. 2 Ξέρξη edd. Forſ. Ἀρταξέρξου debuit.
3 Ἀνούτις edd. Ἄμυτις apud Cteſiam. 4 σατράπης deſiderabam.

lieres fuerunt: *Targelia* Mileſia; quae ad quatuordecim viris nupſit, & formoſa admodum & ſolers; ut ait Hippias Sophiſta, in libro qui inſcribitur Synagoge. Dinon vero in priore parte Rerum Perſicarum libro quinto ait, Bagazi [*ſive* Megabazi *aut* Megabyzi] uxorem, quae ſoror Xerxis [*ſive*, Artaxerxis] erat ex eodem patre, Anutis [*ſive*, Amytis] nomine, pulcerrimam fuiſſe Aſiae mulierum, eamdemque intemperantiſſimam. Phylarchus vero, libro decimo nono, Timoſam, ait, Oxyartae pellicem, omnes mulieres formae pulcritudine ſuperaſſe. Dono miſerat hanc rex [*ſive*, ſatrapa] Aegyptiorum Statirae, regis uxori. Theopompus vero Hiſtoriarum libro ſexto & viceſimo ſcribit, Xenopeitheam, Lyſandridae matrem, omnibus in Peloponneſo mulieribus formâ antecelluiſſe. Interfecerunt autem illam Lacedae-

τῆς Χρύσην,[1] ὅτε καὶ τὸν Λυσανδρίδαν, ἐχθρὸν ὄντα, Ἀγησίλαος ὁ βασιλεὺς καταστασιάσας φυγαδευθῆναι ἐποίησεν ὑπὸ Λακεδαιμονίων. Καλλίστη δ' ἦν καὶ Παντίκα ἡ Κυπρία, περὶ ἧς φησι Φύλαρχος ἐν τῇ δεκάτῃ τῶν Ἱστοριῶν, ὅτι παρ' Ὀλυμπιάδι οὖσαν, τῇ c Ἀλεξάνδρου μητρὶ, ἤτει πρὸς γάμον Μόνιμος ὁ Πυθίωνος. καὶ, ἐπεὶ ἦν ἀκόλαστος ἡ γυνὴ, ἔφη ἡ Ὀλυμπιάς· „Ὦ πόνηρε, τοῖς ὀφθαλμοῖς γαμεῖς, καὶ οὐ τῷ νῷ." Καὶ τὴν κατάγουσαν δὲ Πεισίστρατον ἐπὶ τὴν τυραννίδα ὡς Ἀθηνᾶς Σωτείρας εἶδος[2] ἔχουσαν, καλήν φασι[3] γεγονέναι, ἥτις καὶ τῇ θεῷ εἴκαστο τὴν μορφήν. στεφανόπωλις δὲ ἦν· καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχῳ τῷ υἱῷ· ὡς Κλείδημος ἱστορεῖ ἐν ὀγδόῳ Νόστων. „Ἐξέδωκε δὲ καὶ Ἱππάρχῳ τῷ υἱεῖ τὴν παραιβατήσασαν αὐ- d

1 Χρυσῆν edd. 2 Ἀθηνᾶς πεῖραν εἶδος vulgo. πεῖραν καὶ εἶδος corr. Toup. 3 καλὴν φησὶ γεγ. vulgo.

monii, & ſororem eius Chryſen, cum Lyſandridem ſibi adverſarium Ageſilaus rex, excitatâ ſeditione, ut in exſilium pellerent Lacedaemonii, perfecit. Formoſiſſima fuit etiam Pantica Cypria, quam Phylarchus Hiſtoriarum libro decimo ſcribit, cum apud Olympiadem verſaretur, Alexandri matrem, in matrimonum petitam eſſe a Monimo, Pythionis filio. Cui, quoniam perditis moribus mulier erat, Olympias dixit: *O miſer! oculis uxorem quaeris, non mente.* Illam etiam mulierem, quae Piſiſtratum in tyrannidem reduxit Minervae Servatricis ſpeciem referens, pulcram aiunt fuiſſe, quippe quae ob formae ſpeciem etiam Deae ſimilis habebatur. Fuerat autem illa corollarum mercatrix: eamque in matrimonium dedit Piſiſtratus Hipparcho filio, ut Cleidemus narrat octavo libro Reverſionum. »Dedit vero (inquit) etiam Hipparcho filio in matrimonium mulierem illam,

τῷ γυναῖκα Φύην, τὴν Σωκράτους θυγατέρα. καὶ Χάρμου τοῦ πολεμαρχήσαντος θυγατέρα ἔλαβεν Ἱππίᾳ,[1] περικαλλεστάτην οὖσαν, τῷ μετ' αὐτὸν τυραννεύσαντι." συνέβη δὲ, ὥς φησι,[2] τὸν Χάρμον ἐραστὴν τοῦ Ἱππίου γενέσθαι, καὶ τὸν πρὸς Ἀκαδημίᾳ Ἔρωτα ἱδρύσασθαι πρῶτον, ἐφ' οὗ ἐπιγέγραπται·

Ποικιλομήχαν' Ἔρως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου.

e Ἡσίοδος δ', ἐν τρίτῳ Μελαμποδίας, τὴν ἐν Εὐβοίᾳ Χαλκίδα καλλιγύναικα εἶπεν. εὐπρεπεῖς γὰρ αὐτόθι γίνονται γυναῖκες, ὡς καὶ Θεόφραστος εἴρηκε. καὶ Νυμφόδωρος δ', ἐν τῷ τῆς Ἀσίας Περίπλῳ, καλλίονάς φησι γίνεσθαι γυναῖκας τῶν πανταχοῦ γυναικῶν ἐν Τενέδῳ, τῇ Τρωϊκῇ νήσῳ.

Οἶδα δὲ καὶ περὶ κάλλους γυναικῶν ἀγῶνά πο- XC.

1 Ἱππίας edd. 2 Forſ. ὥς φασι.

quae curru urbem cum ipſo invecta erat, Phyam Socratis filiam. Et Charmi, qui Polemarchus fuerat, filiam formâ praeſtantiſſimam Hippiae dedit uxorem, qui poſt ipſum tyrannidem occupavit." Fuerat autem, ut aiunt, Charmus ille amator Hippiae, & primus omnium Cupidinem illum apud Academiam poſuit, qui hos verſiculos inſcriptos habet:

Vafer Amor, tibi hanc aram erexit
Charmus ad umbroſum limitem gymnaſii.

Heſiodus vero, tertio libro Melampodiae, Chalcidem Euboeae *formoſarum-mulierum-feracem* adpellat. Sunt enim ibi mulieres formâ praeſtantes, ut Theophraſtus etiam dixit. Porro Nymphodorus, in Aſiae Periplo, formoſiores nusquam, ait, mulieres eſſe quam in Tenedo, Troicâ inſulâ.

90. Novimus vero etiam, publice propoſitum fuiſſe

Publica certamina de Pulcritudine.

τε διατεθέντα· περὶ οὗ ἱστορῶν [1] Νικίας ἐν τοῖς Ἀρκαδικοῖς, διαθεῖναί φησιν αὐτὸν Κύψελον, πόλιν κτίσαντα ἐν τῷ πεδίῳ περὶ τὸν Ἀλφειόν· εἰς ἣν κατοικίσαντα [2] Παρρασίων τινὰς, τέμενος καὶ βωμὸν ἀναστῆσαι Δήμητρι Ἐλευσινίᾳ, ἧς ἐν τῇ ἑορτῇ καὶ τὸν τοῦ κάλλους ἀγῶνα ἐπιτελέσαι· καὶ νικῆσαι πρῶτον αὐτοῦ τὴν γυναῖκα Ἡροδίκην. Ἐπιτελεῖται δὲ καὶ μέχρι νῦν ὁ ἀγὼν οὗτος· καὶ αἱ [3] ἀγωνιζόμεναι γυναῖκες χρυσοφόροι ὀνομάζονται. Θεόφραστος δὲ, ἀγῶνα κάλλους, φησὶ, γενέσθαι παρὰ Ἠλείοις, καὶ τὴν κρίσιν ἐπιτελεῖσθαι μετὰ σπουδῆς, λαμβάνειν τε τοὺς νικήσαντας ἆθλα ὅπλα· ἅπερ ἀνατίθεσθαί φησι Διονύσιος ὁ Λευκτρικὸς τῇ Ἀθηνᾷ, τὸν δὲ νικήσαντα ταινιούμενον ὑπὸ τῶν φίλων καὶ πομπεύοντα ἕως τοῦ ἱεροῦ παραγίνεσθαι. τὸν στέφανον δ' αὐτοῖς δίδοσθαι μυρρίνης [4]

1 ἱστορεῖ edd. 2 κατοικίσαντας vulgo. 3 Deest αἱ edd. 4 τὸν δὲ στέφ. αὐτ. δίδ. μυρίνην edd.

Certamen mulierum de pulcritudine: de quo narrans Nicias in Arcadicis, inſtituiſſe illud ait Cypſelum, condito oppido in planitie circa Alpheum: in quod cum colonos legiſſet Parrhaſiorum nonnullos, fanum & altare Cereri Eleuſiniae ſtatuiſſe, & feſto Deae die certamen pulcritudinis inſtituiſſe; in quo primam victoriam retulit uxor eiusdem Herodica. Celebratur autem etiam nunc certamen illud: &, quae in eo contendunt mulieres, *Chryſophorae* adpellantur, id eſt, *aurum geſtantes.* Theophraſtus vero ait, pulcritudinis certamen fuiſſe apud Eleos, & magno ſtudio exerceri ſolitum iudicium; praemium autem eorum, qui viciſſent, fuiſſe arma. Illa arma ab eis Minervae dedicari ſolita eſſe, ſcribit Dionyſius Leuctricus; victorem autem, taeniis ornatum ab amicis, in pompa proceſſiſſe usque ad Deae templum. Coronam vero, qua donabantur, ex myrto fuiſſe tra-

ἱστορεῖ Μυρσίλος ἐν Ἱστορικοῖς Παραδόξοις. Ἐνιαχοῦ δέ, φησὶν ὁ αὐτὸς Θεόφραστος, καὶ κρίσεις γυναικῶν περὶ σωφροσύνης γίνεσθαι [1] καὶ οἰκονομίας, ὥσπερ ἐν τοῖς βαρβάροις· ἐτέρωθι δὲ κάλλους, ὡς δέον καὶ τοῦτο τιμᾶσθαι, καθάπερ καὶ παρὰ Τενεδίοις καὶ Λεσβίοις· ταύτην δὲ τύχης ἢ φύσεως εἶναι, τιμὴν δὲ δέον [2] προκεῖσθαι σωφροσύνης. τὸ κάλλος γὰρ οὕτως
b καλόν· εἰ δὲ μή, κίνδυνον ἔσχεν ἐπ' ἀκολασίαν.

XCI. Inutilis multifaria doctrina.

Τοσαῦτα τοῦ Μυρτίλου ἑξῆς καταλέξαντος, καὶ πάντων αὐτὸν ἐπὶ τῇ μνήμῃ θαυμασάντων, ὁ Κύνουλκος ἔφη·

Πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον [3] οὐδέν,
Ἵππων, ἔφη, ὁ ἄθεος. ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖος φησί· „Πολυμαθίη [4] νόον ἔχειν, οὐ διδάσκει." [5] καὶ ὁ Τίμων δὲ ἔφη·

1 γίγνεσθαι edd. 2 εἶναι τιμὴν, δέον προκεῖσθαι edd. εἶναι· τιμὴν δὲ νέον προκεῖσθαι Ms. 3 οὔ κε, νεώτερον Ms. & sic dein iterum. 4 πολυμαθῆ vulgo. 5 διδάσκειν edd.

dit Myrſilus in Hiſtoricis Paradoxis. Nonnullis vero in locis, ait idem Theophraſtus, iudicia etiam fieri mulierum de morum modeſtia & adminiſtrandae rei familiaris prudentia atque induſtria, quemadmodum apud barbaros: alibi vero de pulcritudine, tamquam cui & ipſi honos debeatur, ut apud Tenedios & Lesbios: at hanc fortunae eſſe aut naturae, honorem vero & praemium propoſitum eſſe debere bonis moribus. Pulcritudo enim nonniſi hactenus pulcra: absque hoc, praeceps eſt in laſciviam.

91. Haec omnia quum Myrtilus continuo tenore diſſeruiſſet, memoriam illius admirantibus cunctis, Cynulcus dixit:

Multifariâ hâc ſcientiâ nihil vanius,

Hippon, ait, Atheus. Sed & divinus Heraclitus ait: *Multifaria doctrina ſapere non docet.* Et Timon ſimiliter dixit:

— Ἐν δὲ πλατυσμὸς
πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον ἄλλο.

Τί γὰρ ὄφελος τῶν τοσούτων ὀνομάτων, ὦ γραμματικὲ, πάντας ἐπιτρίψαι μᾶλλον, ἢ σωφρονίσαι δυναμένων τοὺς ἀκούοντας. καὶ ἐάν μέν τις σου πύθηται, τίνες ἦσαν οἱ εἰς τὸν δούριον[1] ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, (σχολῇ γὰρ)[2] ἀλλ' ἐκ τῆς Σακάδου[3] Ἀργείου Ἰλίου πέρσιδος·[4] οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν. ἀλλὰ μὴν οὐδὲ τῶν Ὀδυσσέως ἑταίρων ἔχοις ἂν οὕτως εὐρύθμως καταλέξαι τὰς προσηγορίας, καὶ τίνες οἱ ὑπὸ τοῦ Κύκλωπος αὐτῶν καταβρωθέντες, ἢ ὑπὸ τῶν Λαιστρυγόνων, καὶ εἰ ὄντως κατεβρώθησαν· ὅστις οὖν οὐδὲ τοῦτ' οἶδας, καὶ συνεχῶς[5] Φυλάρχου μνήμην ποιούμενος, ὅτι ἐν ταῖς Κίων πόλεσιν

1 δούρειον edd. 2 σχολὴ γὰρ edd. Forſ. σχολῇ γὰρ ἂν ἐκ τῆς &c. 3 ἐκ τῆς Ἀχάτου edd. ἐκ τῆς Σακάτου Ms. Forſ. ἐκ τῆς Σακάδα τοῦ Ἀργείου debuit. 4 Ἰλιοπερσίδος edd. Ἰλίου πέρσεως corrigunt viri docti. 5 Forſ. καί τοι συνεχῶς.

— *Ineſt oſtentatio*
multifariae ſcientiae, qua vanius nihil quidquam.

Quaenam enim eſt utilitas tot nominum, o Grammatice, quae corrumpere magis, quam emendare valent audientes. Quod ſi quidem ex te quaerat aliquis, quinam fuerint qui in ligneo equo fuerunt concluſi, unius fortaſſe aut alterius nomen tu edes: & ne hoc quidem ex Steſichori carminibus, (vix enim;) ſed ex Sacadae Argivi Expugnatione Ilii: nam hic ſane multos nominavit. Immo ne ſodalium quidem Ulyſſis nomina tam commode ediſſerere poſſis; aut quinam ex illis fuerint a Cyclope devorati, aut a Laeſtrigonibus; & revera-ne devorati ſint: qui ſane ne hoc quidem noſti, (frequenter licet Phylarchi feceris mentionem) in Ciorum oppidis

οὔτε ἑταίρας, οὔτε αὐλητρίδας ἰδεῖν ἐστί. καὶ ὁ Μυρτίλος, Τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; κατανέγνων γὰρ αὐτοῦ πᾶσαν τὴν ἱστορίαν. εἰπόντος δὲ, Ἐν τῇ τρίτῃ καὶ εἰκοστῇ· ὁ Μυρτίλος ἔφη·

Εἶτ' οὐκ ἐγὼ δικαίως πάντας ὑμᾶς [1] τοὺς Φιλοσόφους μισῶ, μισοΦιλολόγους ὄντας· οὓς οὐ μόνον e Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ὡς ὁ Καρύστιός Φησιν ἐν Ἱστορικοῖς Ὑπομνήμασιν, ἀλλὰ καὶ Ἀθηναῖοι. Ἄλεξις γοῦν ἐν Ἵππῳ [2] Φησίν·

Τοῦτ' ἔστιν Ἀκαδημία, τοῦτο Ξενοκράτης;
Πολλ' ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ
καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
ὥς Φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις,
ἐς κόρακας ἔρρειν [3] Φασὶν ἐκ τῆς Ἀττικῆς.

XCII. Philosophi Athenis & Româ pulsi.

Καὶ Σοφοκλῆς δέ τις ψηφίσματι ἐξήλασε πάντας

1 Deest ὑμᾶς edd. 2 Forſ. Ἵππεῖ, vel Ἱππίσκῳ. 3 αἴρειν edd.

nec meretrices reperiri, nec tibicinas. Tum Myrtilus: Ubi vero hoc dixit Phylarchus? nam totam illius perlegi Hiſtoriam. Cui cum reſpondiſſet Cynulcus, libro tertio & viceſimo; Myrtilus ait:

92. Atqui nonne merito vos ego omnes philoſophos odi, eruditionis inimicos: quos non modo Lyſimachus rex publico edicto e regno ſuo expulit, ut Caryſtius ait in Hiſtoricis Commentariis; verum etiam Athenienſes. Alexis quidem in Equo [*ſive*, in Equite] ait:

Hic eſt Xenocrates ergo, haec Academia?
Demetrio atque legum conditoribus
bona multa Dî dent, quod eos, qui ſe praedicant
tradere iuventae bene dicendi copiam,
iuſſerunt fine ex Attico ire in rem malam.

Atque etiam Sophocles quidam, propoſito publico de-

Φιλοσόφους τῆς Ἀττικῆς, καθ' οὗ λόγον ἔγραψε Φί- f
λων, Ἀριστοτέλους γνώριμος· ἀπολογίαν ὑπὲρ τοῦ Σο-
φοκλέους Δημοχάρους πεποιηκότος, τοῦ Δημοσθένους
ἀνεψιοῦ. Καὶ Ῥωμαῖοι δὲ οἱ πάντα ἄριστοι ἐξέβαλον
τοὺς σοφιστὰς τῆς Ῥώμης, ὡς διαφθείροντας τοὺς νέους·
ἔπειτ' οὐκ οἶδ' ὅπως κατεδέξαντο. Ἐμφανίζει δ' ὑμῶν
καὶ τὸ ἀνόητον Ἀνάξιππος ὁ κωμῳδιοποιὸς,[1] ἐν Κε-
ραυνουμένῳ, λέγων οὕτως·

Οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τούς γε[2] φιλοσόφους
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον· a
ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

Εἰκότως οὖν πολλαὶ τῶν πόλεων, καὶ μάλιστα ἡ Λα-
κεδαιμονίων, ὡς Χαμαιλέων φησὶν ἐν τῷ Περὶ Σι-
μωνίδου, οὐ προσίενται οὔτε ῥητορικὴν, οὔτε φιλοσο-
φίαν,[3] διὰ τὰς ἐν τοῖς λόγοις ὑμῶν φιλοτιμίας καὶ
ἔριδας, καὶ τοὺς ἀκαίρους ἐλέγχους· δι' οὓς Σωκράτης

1 καμῳδοποιὸς edd. 2 τούς τε vulgo. 3 Deſunt duo verba msstis. Nude οὐ προσίενται τὴν ῥητορικὴν habet *Epit.*

creto, omnes philoſophos ex Attica expulit. Contra quem orationem ſcripſit Philo, Ariſtotelis diſcipulus; apologiam vero pro Sophocle Democharis confecit, Demoſthenis conſobrinus. Sed & Romani, praeſtantiſſimi viri, ſophiſtas Româ eiecerunt, ut qui iuvenes corrumperent: deinde vero, neſcio quo pacto, rurſus receperunt. Declarat autem ſtultitiam veſtram etiam Anaxippus, comicus poëta, in Fulgurito, his verbis:

Hem, philoſopharis. At ego reapſe comperi
ſapere philoſophos tantum verborum tenus;
at rebus ipſis eſſe inſipientiſſimos.

Quare merito multae civitates, & maxime Lacedaemonii, ut ait Chamaeleon in libro de Simonide, nec rhetoricam admittunt, nec philoſophiam, propter veſtras in diſputando contentiones & rixas & intempeſtivas reprehenſiones: propter quas etiam Socrates periit, qui

μὲν ἀπέθανεν, ὁ πρὸς τοὺς εἰς τὰ δικαστήρια διακληρουμένους διαλεγόμενος περὶ τοῦ δικαίου, κλεπτιστάτους ὄντας· ἀπέθανε δὲ διὰ ταῦτα καὶ [1] Θεόδωρος ὁ
b ἄθεος, καὶ Διαγόρας ἐφυγαδεύθη· ὅτε καὶ πλέων [2] ναυαγίᾳ [3] ἐχρήσατο· Θεότιμος [4] δ', ὁ γράψας τὰ κατ' Ἐπικούρου βιβλία, ὑπὸ Ζήνωνος τοῦ Ἐπικουρείου ἐξαιτηθεὶς ἀνῃρέθη, ὡς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις.

XCIII. Invectiva in Cynicos.

Συνελόντι δὲ εἰπεῖν, κατὰ τὸν Σολέα Κλέαρχον, οὐ καρτερικὸν βίον ἀσκεῖτε, κυνικὸν δὲ τῷ ὄντι ζῆτε· καίτοι τοῦ ζώου τούτου ἐν τέτταρσι τὴν φύσιν περιττὴν ἔχοντος, ὧνπερ ὑμεῖς τὰ χείρω μερισάμενοι τηρεῖτε. αἰσθήσει τε γὰρ τῇ πρὸς ὄσφρησιν [5] καὶ πρὸς
c τὸ οἰκεῖον καὶ ἀλλότριον, θαυμαστόν· τό τε συνανθρωπίζον, καὶ οἰκουρὸν εἶναι καὶ φυλακτικὸν τοῦ τῶν εὖ

1 Deest καὶ edd. 2 Perperam πλέον ed. Cas. 3 ναυαγίῳ edd. 4 Διότιμος corr. viri docti. 5 ὄσφρησιν edd.

apud iudices forte lectos de iuſtitia diſſeruit, cum eſſent illi furaciſſimi: ob eamdemque cauſſam Theodorus Atheus periit, & Diagoras in exſilium pulſus eſt; in quod cum navi exiret, naufragium fecit: item Theotimus [*ſive*, Diotimus], qui Epicuri nomine libros edidit, a Zenone Epicureo accuſatus, capite poenas luit, ut ait Demetrius Magnes in Homonymis.

93. Sed ut paucis concludam, quod ait Solenſis Clearchus, vos non *tolerantiam conſtantiamque vitae* exercetis, (quam καρτερικὴν *vitam* dicitis) ſed *caninam* (κυνικὴν) revera *vitam* agitis: quamquam, cum in quatuor rebus excellat canum natura, vos ex his peiora feligentes imitamini. Eſt enim in illis ſenſus olfactus, & facultas diſcernendi eos qui ad familiam pertinent ab alienis, admirabilis: tum conſueſcere cum hominibus, & domum cuſtodire, & vitam tueri eorum qui bene ipſis faciunt,

δρώντων βίου, πάντων περιττότατον. ὧν οὐδέτερον πρόσεστιν ὑμῖν τοῖς τὸν κυνικὸν βίον μιμουμένοις. οὔτε γὰρ συνανθρωπίζετε, οὔτε διαγινώσκετε οὐδένα τῶν ὁμιλούντων· αἰσθήσει τε πολλῷ [1] ὑστεροῦντες, ἀργῶς καὶ ἀφυλάκτως ζῆτε. λοιδόρου δὲ καὶ παμφάγου τοῦ ζώου πεφυκότος, ἔτι δὲ ταλαιπώρου καὶ γυμνοῦ τὸν βίον, ἄμφω ταῦτα μελετᾶτε, κακολόγοι [2] καὶ βοροὶ, πρός τε τούτοις ἀνοικοι καὶ ἀνέστιοι βιοῦντες· ἐξ ὧν ἁπάντων [3] ἀλλότριοι μὲν ἀρετῆς, μάταιοι δὲ εἰς τὸ τοῦ βίου d χρήσιμον. Οὐδὲν γάρ ἐστι τῶν καλουμένων φιλοσόφων ἀφιλοσοφώτερον. Τίς γὰρ ἤλπισεν, Αἰσχίνην τὸν Σωκρατικὸν τοιοῦτον γεγενῆσθαι τοὺς τρόπους, οἱοῖόν φησι Λυσίας ὁ ῥήτωρ ἐν τοῖς τῶν συμβολαίων λόγοις; ὃν ἐκ τῶν φερομένων ὡς αὐτοῦ διαλόγων θαυμάζομεν ὡς ἐπιεικῆ καὶ μέτριον· πλὴν εἰ μὴ ὡς ἀληθῶς τοῦ σοφοῦ Σωκράτους ἐστὶ συγγράμματα, ἐχαρίσθη δὲ

Aeschines Socraticus graviter accusatur.

1 πολλῶν edd. 2 καὶ κακολόγοι edd. 3 ἔξω ἁπάντων edd.

omnium excellentissimum. Quorum neutrum habetis vos, cynicam vitam aemulantes: nec enim cum hominibus consuescitis, nec quemquam eorum qui vobiscum versantur dignoscitis: & nullo sensu praediti, otiosam vitam & nihil curantem agitis. Cum vero sit canis animal oblatrans & vorax admodum, & praeterea durum in victu & nudum; haec duo vos exercetis, maledici & gulosi, adhaec absque domo & foco viventes: quibus rebus fit ut alieni sitis a virtute, & ad omnes vitae usus inutiles. Nihil est enim a philosophia magis alienum, quam hi ipsi qui Philosophi vocantur. Quis enim putasset, Aeschinem Socraticum talibus fuisse moribus, qualem Lysias dicit in Orationibus de Contractibus? quem e Dialogis qui sub ipsius nomine feruntur, ut aequum & moderatum hominem admiramur: nisi revera sapientis Socratis sunt scripta illa, huic vero donata

αὐτῷ ὑπὸ Ξανθίππης τῆς Σωκράτους γυναικὸς μετὰ
e τὸν ἐκείνου θάνατον, ὡς οἱ ἀμφὶ τὸν Ἰδομενέα φασίν.

Ἀλλ' ὅ γε Λυσίας ἐν τῷ ἐπιγραφομένῳ λόγῳ οὑτωσί· „Πρὸς Αἰσχίνην τὸν Σωκρατικὸν χρέως·“ [1] (ἀπομνημονεύσω δ' ἐγὼ, εἰ καὶ πολλά ἐστι τὰ λεχθέντα, διὰ τὸν βρίθον ὑμῶν τὸν πολὺν, ὦ Φιλόσοφοι·) ἄρχεται δ' οὕτως ὁ ῥήτωρ· „Οὐκ ἄν ποτ' ᾠήθην, ἄνδρες δικασταὶ, Αἰσχίνην τολμῆσαι οὕτως αἰσχρὰν δίκην δικάσασθαι· νομίζων οὐκ ἂν ῥᾳδίως αὐτὸν ἑτέραν ταύτης συκοφαντωδεστέραν ἐξευρεῖν. Οὗτος γὰρ, ὦ f ἄνδρες δικασταὶ, ὀφείλων ἀργύριον ἐπὶ τρισὶ δραχμαῖς Σωσινόμῳ [2] τῷ τραπεζίτῃ καὶ Ἀριστογείτονι, [3] προσελθὼν πρὸς ἐμὲ, ἐδεῖτο μὴ περιϊδεῖν αὐτὸν διὰ τοὺς τόκους ἐκ τῶν ὄντων ἐκπεσόντα. κατασκευάζομαι [4] δὲ, ἔφη, τέχνην μυρεψικήν· ἀφορμῆς δὲ δέομαι, καὶ οἴσω δέ σοι ἐννέ' ὀβολοὺς [5] τῆς μνᾶς τόκους.“ — Ka-

XCIV. Lysiae oratio contra Aeschinem.

1 χρέους edd. 2 Σωσίμῳ edd. 3 Ἀριστογείτονι edd. 4 κατασκευάσομαι edd. 5 ἐννέα ὀβολοὺς edd.

a Xanthippe, uxore Socratis, post eius obitum; ut Idomeneus ait, & alii qui cum eo faciunt auctores.

94. At *Lysias* certe, in ea Oratione quae inscribitur *Contra Aeschinem Socraticum aeris alieni caussâ:* (recitabo enim equidem, licet longior sit locus, ob nimium vestrum fastum, o Philosophi!) in hunc igitur modum infit orator: *Numquam equidem existimaram, Iudices, ausurum esse Aeschinem adeo turpem caussam coram vobis dicere, quâ non puto aliam facile reperiri posse calumniosiorem. Hic enim, Iudices, cum pecuniam deberet, pacto foenore trium drachmarum, Sosinomo mensario & Aristogitoni, me conveniens oravit, ne eum paterer propter usuras bonis suis exui. Sum autem in eo, inquit, ut artem exerceam unguentariam: opus est autem mihi in ipso principio, praesenti pecuniâ; & tibi novem obolos pro mina usurae nomine pendam.* — Praeclarus sane

λόν γε τὸ τέλος τῆς εὐδαιμονίας τῷ φιλοσόφῳ ἡ μυ- a
ρεψικὴ τέχνη, ἀκόλουθός τε τῇ Σωκράτους φιλοσοφίᾳ,
ἀνδρὸς τοῦ καὶ τὴν τοιαύτην χρῆσιν τῶν μύρων ἀπο-
δοκιμάσαντος· Σόλωνος δὲ τοῦ νομοθέτου οὐδ' ἐπιτρέ-
ποντος ἀνδρὶ τοιαύτης προίστασθαι τέχνης. διὸ καὶ Φε-
ρεκράτης ἐν Ἴπνῳ [1] ἢ Παννυχίδι φησί·

„Κἄτα [2] μυροπωλεῖν τί μαθόντ' ἂν δὲ χρῆν καθή-
μενον ὑψηλῶς ὑπὸ σκιαδίῳ, κατεσκευασμένον
συνέδριον, οὗ τοῖς μειρακίοις ἐλάλει δι' ἡμέρας;"

εἶθ' ἑξῆς φησίν·

„Αὐτίκ' οὐδεὶς οὔτε μαγείραιναν εἶδε πώποτε,
οὐ μὴν οὐδ' ἰχθυοπώλαιναν. ἑκάστῳ γὰρ γένει b
ἁρμόζοντα δεῖ εἶναι [3] καὶ τὰ τῆς τέχνης."

Ἑξῆς δὲ τούτοις ὁ ῥήτωρ τάδε λέγει· „Πεισθεὶς δ' ὑπ'
αὐτοῦ τοιαῦτα λέγοντος, καὶ ἅμα οἰόμενος τοῦτον Αἰ-

1 Ὑπνῳ edd. Ἰπνῷ corr. Casaub. 2 In edd. sic legebatur: Κα-
ταμυροπωλεῖν τι, μαθὼν τάνδε &c. Et versuum sequentium ini-
tia signabantur in verbis Ὑψηλῶς & Οὗ τοῖς. deinde vero, in
Αὐτίκα, in Οὐ μὴν, & in Ἁρμόζοντα. 3 δεῖν εἶναι vulgo.

vitae beatae finis philosopho propositus, ars unguenta-
ria, & conveniens philosophiae Socratis, viri qui ipsum
etiam usum unguentorum, qualis vulgo obtinet, im-
probaverat: cui eidem arti Solon lege caverat ne vir
quisquam praeesset. Quare etiam Pherecrates, in Cu-
linâ sive Pervigilio, ait:

Deinde vero, unguenta vendere cur oportuit sedentem
sublime sub umbraculo, consessum sibi comparantem,
ubi cum adolescentulis totum dissereret diem?

Deinde sic pergit idem poëta:

Statim nemo nec coquam vidit unquam, nec sane pi-
scium mercatricem. Cuique enim generi apta & con-
veniens esse debet ars, quam quisque exercet.

Post ista vero haec subiicit orator: *Ego igitur fidem illi*
adhibens haec dicenti; simulque existimans, hunc Aeschinem,

σχίνην Σωκράτους γεγονέναι [1] μαθητὴν, καὶ περὶ δικαιοσύνης καὶ ἀρετῆς πολλοὺς καὶ σεμνοὺς λέγοντα λόγους, οὐκ ἄν ποτε ἐπιχειρῆσαι οὐδὲ τολμῆσαι ἅπερ οἱ πονηρότατοι καὶ ἀδικώτατοι ἄνθρωποι ἐπιχειροῦσι πράττειν."

XCV. Continuatur Lysiae oratio.

Καὶ μετὰ ταῦτα πάλιν, καταδρομὴν αὐτοῦ ποιησάμενος, ὡς ἐδανείσατο, ὡς οὔτε τόκους οὔτε τ' ἀρχαῖον [2] ἀπεδίδου, καὶ ὅτι ὑπερήμερος ἐγένετο γνώμῃ δικαστηρίου ἐρήμην καταδικασθεὶς, καὶ ὡς ἠνεχυράσθη [3] οἰκέτης αὐτοῦ στιγματίας, καὶ πολλὰ ἄλλα κατειπὼν αὐτοῦ, ἐπιλέγει ταῦτα· „Ἀλλὰ γὰρ, ὦ ἄνδρες δικασταὶ, οὐκ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ' ὧν προπόσεις [4] λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται

1 γεγονότα malebam. 2 οὔτε ἀρχαῖον edd. 3 ἠνεχυράθη edd. 4 προδόσεις Ms.

discipulus qui fuisset Socratis, & qui de iustitia & virtute multos atque graves habere soleret sermones, numquam adgressurum nec ausurum esse ea, quae non nisi pessimi iniquissimique hominum facere conantur.

95. Idem deinde, postquam accusationem Aeschinis peregit, expositque quo pacto & pecuniam mutuo accepisset, & nec usuras pependisset, nec sortem reddidisset; tum quo pacto sententiae iudicum, qui absentem damnaverant, ad diem non satisfeciisset, pignori vero dedisset servum punctis notatum; his adversum illum dictis & multis aliis, sic rursus peroravit: *At enim, Iudices, non in me unum talis est, sed & in alios omnes, qui cum illo quidquam negotii habuerunt. Nonne caupones in vicinia habitantes, apud quos vinum, quod aliis propinat, capere solet, nec umquam debitum solvit, legibus nunc adversus illum*

αὐτῷ, συγκλείσαντες τὰ καπηλεῖα; οἱ δὲ γείτονες οὕτως ὑπ' αὐτοῦ δεινὰ πάσχουσιν, ὥστ' ἐκλιπόντες τὰς d αὐτῶν [1] οἰκίας, ἑτέρας πόρρω μισθοῦνται. ὅσους δ' ἐράνους συνείλεκται, τὰς μὲν ὑπολοίπους Φορὰς οὐ κατατίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαΦθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀΦειλόμενα ἔρχονται, ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ' ἐκΦορὰν αὐτοὺς ἥκειν τούτου τεθνεῶτος. [2] οὕτω δ' οἱ ἐν τῷ Πειραιεῖ διάκεινται, ὥστε πολὺ ἀσΦαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν, ἢ τούτῳ συμβάλλειν. πολὺ γὰρ μᾶλλον, ἃ e ἂν δανείσηται, αὐτοῦ νομίζει εἶναι, ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου, τὴν γυναῖκα διαΦθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος, οὕτω διέθηκεν, ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς

1 αὐτῶν edd. 2 τεθνειῶτος edd.

agunt, & cauponas ei occludunt? Vicini autem eiusdem tot ab eodem iniuriis premuntur, ut relictis propriis aedibus alienas procul sitas suo aere conducant. Idem, quando symbolae ei conferuntur, reliquias pensionum quae pro collatitiis conviviis debentur, non exsolvit; sed apud hunc veteratorem omnis quam debet pecunia, tamquam ad columnam impacta, perit. Tantus vero hominum numerus debita petentium ad eius aedes quotidie prima luce convenit, ut existiment praetereuntes mortuum hunc esse, & ad eius funus illos convenire. Qui in Piraeeo versantur, ita de hoc sentiunt, ut tutius existiment in Adriaticum mare navigare, quam cum hoc aliquid habere commercii: nam hic, quae mutuo accepit, ea multo magis sua esse arbitratur, quam quae a patre ei relicta sunt. At nonne etiam bona intercepit Hermaei unguentarii, uxore eius corruptâ septuaginta natâ annos? Quam cum amare sese simularet, ita sibi conciliavit, ut maritum

πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν· οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο,
f τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι, ὅσῳ [1] ἐλάττους ἦσαν, ἢ τῆς χειρὸς τοὺς δακτύλους. καί μοι ἀνάβητε τούτων μάρτυρες. ὁ μὲν οὖν βίος τοῦ σοφιστοῦ τοιοῦτος."

Ὁ μὲν οὖν Λυσίας, ὦ Κύνουλκε, οὕτως. Ἐγὼ δὲ, κατὰ τὸν Ἀρίσταρχον τὸν τραγικὸν ποιητὴν, Conclusio libri.

Ταῦ' οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος·

καταπαύσω τὸν πρός σε καὶ τοὺς ἄλλους κύνας ἐνταῦθα λόγον.

1 ὅσου vulgo. Tria verba ὅσ. ἐλ. ἦσ. delenda cenſuerunt viri docti.

ſuum & filios pauperes redderet, ipſum autem ex inſtitore unguentarium faceret: ita amanter puellulam tractabat, tenellâ eius aetate fruens, cuius tanto facilius erat dentes numerare, quanto pauciores fuerant quam alterius manus digiti. Iam vero mihi adſcendite, qui harum rerum teſtes adeſtis! Vita igitur huius ſophiſtae talis eſt.

Lyſias igitur, Cynulce, haec dixit. Ego vero, ut Ariſtarchus ait, tragicus poëta,

Non haec ultro dicens, ſed me vindicans,

huic adverſus te aliosque Canes orationi finem hîc impono.

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

I. Bacchus furens.

Τὸν Διόνυσον, ἑταῖρε Τιμόκρατες, μαινόμενον οἷα πολλοὶ λέγουσιν, ἀπὸ τοῦ τοὺς πλείονος ἀκράτου σπῶντας θορυβώδεις γίνεσθαι.

Οἶνός σε τρώει μελιηδὴς, ὅστε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μήδ' αἴσιμα πίνῃ.
Οἶνος καὶ κένταυρον ἀγακλυτὸν Εὐρυτίωνα
ὤλεσ' ἐνὶ μεγάρῳ [1] μεγαθύμου Πειριθόοιο,

1 ἐνὶμ μεγάρῳ ms. *A.* ἄασεν ἐν μεγ. vulgo apud Homer. Alii ἄασ' ἐνὶ μεγ.

ATHENAEI
DEIPNOSOPHISTARUM

LIBER DECIMUSQUARTUS.

BACCHUM, amice Timocrates, *furentem* vulgo aiunt eo, quod, qui multum meri hauriunt, tumultuosi fiunt.

Vinum te laedit, quod quidem & aliis
nocet, quisquis illud avidius haurit, nec modice bibit.
Vinum etiam Centaurum inclytum Eurytiona
perdidit in domo magnanimi Pirithoi,

ἐς Λαπίθας ἐλθόνθ'· ὁ δ' ἐπεὶ Φρένας ἄατεν οἴνῳ,
b μαινόμενος κάκ' ἔρεξε δόμοις ἐνὶ Πειριθόοιο.

Κατιόντος γοῦν τοῦ οἴνου ἐς [1] τὸ σῶμα, ὥς φησιν Ἡρόδοτος, ἐπαναπλέει κακὰ ἔπεα καὶ μαινόμενα. Κλεάρχός τε ὁ κωμῳδιοποιὸς [2] ἐν Κορινθίοις φησίν·

Εἰ τοῖς μεθυσκομένοις ἑκάστης ἡμέρας
ἀλγεῖν συνέβαινε τὴν κεφαλὴν πρὸ τοῦ πιεῖν
τὸν ἄκρατον, ἡμῶν οὐδὲ εἷς ἔπινεν ἄν.
Νῦν δὲ πρότερόν γε τοῦ πόνου τὴν ἡδονὴν
προλαμβάνοντες, ὑστεροῦμεν τἀγαθοῦ.

c Ξενοφῶν [3] δὲ τὸν Ἀγησίλαον μέθης μὲν ἀπέχεσθαι ὁμοίως ᾤετο χρῆναι καὶ μανίας, σίτων δὲ ὑπερκαίρων ὁμοίως καὶ ἀργίας. [4] Ἀλλ' οὐχ ἡμεῖς γε [5] οὔτε τῶν πλεῖον πινόντων ὄντες, οὔτε [6] τῶν ἐξοίνων γινομένων

1 εἰς edd. 2 κωμῳδοποιὸς edd. 3 Ξενοφῶντος ms. *A.* recte, ut videtur. Sed oportebat Ξενοφῶντος δὲ ὁ Ἀγησίλαος, vel Ὁ δὲ τοῦ Ξενοφῶντος Ἀγησίλαος. 4 λαιμαργίας ed. Caſ. 5 ἡμεῖς τε Ms. 6 Deeſt vulgo οὔτε h. l.

ad Lapithas profectum: hic enim poſtquam mentem vino corrupit,
furens mala patravit in aedibus Pirithoi.

»Nam poſtquam deſcendit vinum in corpus, (ut ait Herodotus) innatant exundantque prava verba & furentia.« Et Clearchus, comicus poëta, in Corinthiis ait:

Hominibus ſi vinoſis ſemper pridie
caput doleret antequam biberent merum,
nemo eſſet noſtrûm deditus temulentiae.
Nunc ante dolorem praecipientes gaudia,
a concupito mox bono relinquimur.

Xenophontis vero Ageſilaus ebrietatem fugiendam cenſuit perinde atque furorem, cibum vero immodicum perinde atque inertiam. At nos ad erudita haec convivia non ut ii accedimus, qui nimium bibant, aut qui

πληθούσης ἀγορᾶς, ἐπὶ τὰ μουσικὰ ταῦτα ἐρχόμεθα συμπόσια. καὶ γὰρ ὁ Φιλεπιτιμητὴς Οὐλπιανὸς πάλιν τινὸς ἐπείληπτο εἰπόντος, Ἔξοινος οὐκ εἰμί· λέγων, ὁ δ' ἔξοινος πῦ; καὶ ὃς, παρ' Ἀλέξιδι ἐν Εἰσοικιζομένῳ „Ἔξοινος ἐποίει ταῦτ'." ἔφη.

II. Γελωτοποιοί.

Ἐπεὶ δὲ ἑκάστης ἡμέρας, μετὰ τοὺς παρ' ἡμῶν καινοὺς ἀεὶ λεγομένους λόγους, καὶ ἀκροάματα ἑκάστοτε διάφορα ἐπεισάγει ὁ λαμπρὸς ἡμῶν ἑστιάτωρ Λαρήνσιος, ἔτι τε καὶ γελωτοποιούς· Φέρε λέγωμέν τι καὶ ἡμεῖς περὶ τούτων. καίτοι γε οἶδα καὶ Ἀνάχαρσιν τὸν Σκύθην ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστον διαμείναντα, πιθήκου δ' ἐπεισαχθέντος, γελάσαντα, φάναι, ὡς „οὗτος μὲν φύσει γελοῖός ἐστιν, ὁ δ' ἄνθρωπος ἐπιτηδεύσει." [1] καὶ Εὐριπίδης δὲ ἐν τῇ δεσμώτιδι Μελανίππῃ ἔφη·

1 ἐπιτηδεύει mssti.

qua hora frequentiſſimum forum eſt, iam tum *ebrii* (ἔξοινοι) ſint. Ἔξοινοι dico: nam hoc eodem vocabulo utentem aliquem convivarum, dicentemque, Ἔξοινος *non ſum*, reprehendens reprehenſionum id genus ſtudioſus Ulpianus, ait: At vocabulum ἔξοινος apud quem reperitur auctorem? Cui ille: Apud Alexidem, reſpondit, in fabula cui titulus Εἰσοικιζόμενος, ubi ait: *Ebrius* (ἔξοινος) *iſta patravit.*

2. Quoniam vero quotidie, poſt novos ſemper ſermones ultro citroque inter nos habitos, etiam diverſa ſemper *acroamata* introducit ſplendidus noſter convivator Larenſius, atque etiam *homines feſtivos riſum movenres;* age, de his quoque nonnihil dicamus. Quamquam non ſum neſcius, Anacharſin Scytham, introductis in convivium ridiculis ſcurris, unum omnium non riſiſſe; introductâ autem ſimiâ riſiſſe, dicentem: *Haec quidem naturâ ridicula eſt, homo vero arte.* Et Euripides in Melanippa vincta dixit:

Ἀνδρῶν δὲ πολλοὶ τοῦ γέλωτος οὕνεκα
ἀσκοῦσι χάριτας κερτόμους. ἐγὼ δέ πως
μισῶ γελοίους, οἵτινες μὲν ἐπὶ σοφῶν [1]
a ἀχάλιν' ἔχουσι στόματα· κ' εἰς ἀνδρῶν μὲν οὐ
τελοῦσιν ἀριθμὸν, ἐν γέλωτι δ' εὐπρεπεῖς· 5
οἰκοῦσι δ' οἴκους, καὶ τὰ ναυστολούμενα
ἔσω δόμων σώζουσι.

Παρμενίσκος δὲ ὁ Μεταποντῖνος, ὥς φησι Σῆμος ἐν πέμπτῳ Δηλιάδος, καὶ γένει καὶ πλούτῳ πρωτεύων, εἰς Τροφωνίου καταβὰς, καὶ ἀνελθὼν, οὐκ ἔτι γελᾶν ἐδύνατο. καὶ χρηστηριαζομένῳ περὶ τούτου ἡ Πυθία ἔφη· Trophonii antrum.

Εἴρη μ' ἀμφὶ γέλωτος, ἀμείλιχε, μειλιχίοιο·
b δώσει σοι μήτηρ οἴκῳ, τὴν ἔξοχα τῖε.

Ἐλπίζων δ', ἂν ἐπανέλθῃ εἰς τὴν πατρίδα, γελάσειν· ὡς οὐδὲν ἦν πλέον, οἰόμενος ἐξηπατῆσθαι, ἔρχεταί πο-

1 οἵ τινες τι εἴ τι σοφῶν Ms.

Eſt excitandis riſibus natum genus
convicioſâ venere. Sed tales ego
lepidos perodi. Quippe ſapientes ſolent
ore impudenti laedere, in rebus virûm
nullius uſus, gratioſi riſibus:
bene interim habitant, atque corraſas opes
intra coërcent limen.

Parmeniſcus vero Metapontinus (ut tradit Semus, quinto libro Deliadis) vir & genere & opibus excellens, cum in Trophonii antrum deſcendiſſet, ex eo rediens ridere poſthac non potuit. Cui de ea re oraculum conſulenti Pythia reſpondit:

De iucundo riſu me rogas, ridere – neſcius homo:
dabit tibi mater domi; eam prae caeteris tu venerare.

Ille igitur ſperans, ſe in patriam reverſum riſurum eſſe, poſtquam nihil profecit, deceptum ſe ratus, Delum

τε κατὰ τύχην εἰς Δῆλον· καὶ πάντα τὰ κατὰ τὴν νῆσον θαυμάζων, ἦλθε καὶ εἰς τὸ Λητῷον, νομίζων τῆς Ἀπόλλωνος μητρὸς ἄγαλμά τι θεωρήσειν ἀξιόλογον· ἰδὼν δ' αὐτὸ ξύλινον ἄμορφον, παραδόξως ἐγέλασεν. καὶ τὸν τοῦ θεοῦ χρησμὸν ξυμβάλλων, καὶ τῆς ἀῤῥωστίας ἀπαλλαγεὶς, μεγαλωστὶ τὴν θεὸν ἐτίμησεν.

III. Ridiculorum dictorum inventores.

Ἀναξανδρίδης δ', ἐν Γεροντομανίᾳ, καὶ εὑρετὰς c τῶν γελοίων, φησὶ, γένεσθαι Ῥαδάμανθυν καὶ Παλαμήδην, λέγων οὕτως·

Καίτοι πολύ γε πονοῦμεν.
τὸν ἀσύμβολον εὗρε γελοῖα λέγειν
Ῥαδάμανθυς καὶ Παλαμήδης.

Γελωτοποιῶν [1] δὲ μέμνηται Ξενοφῶν, ἐν τῷ Συμποσίῳ, Φιλίππου μὲν, [2] περὶ οὗ καὶ οὑτωσὶ λέγει· „Φί-

1 Γελωτοποιοῦ edd. cum *Epit.* 2 Forſ. Ξενοφῶν μὲν, ἐν τῷ Συμποσίῳ, Φιλίππου· περὶ οὗ &c.

forte venit. Ibi quum omnia, quae in illa inſula viſuntur, eſſet admiratus, intravit etiam Latonae templum, exiſtimans ſe matris Apollinis ſtatuam aliquam inſignem viſurum: quam ubi & ligneam & deformem eſt conſpicatus, praeter opinionem in riſum effuſus eſt. Et intelligens oraculum Deae, & infirmitate illa liberatus, magnifice Deam coluit.

3. Anaxandrides vero, in Gerontomania, eo etiam progreſſus eſt, ut inventores ridiculorum dictorum Rhadamanthum diceret fuiſſe & Palamedem. Cuius haec ſunt verba:

Atqui nimium profecto laboramus.
Ut ridicula dicat qui absque ſymbola coenat,
invenit Rhadamanthus & Palamedes.

Ridiculorum vero ſcurrarum meminit primus Xenophon, in Sympoſio, ubi Philippum inducit, de quo cum alia,

λιππος δ' ὁ γελωτοποιὸς κρούσας τὴν θύραν, εἶπε τῷ ὑπακούσαντι, εἰσαγγεῖλαι ὅστις τε εἴη, καὶ διότι κατάγεσθαι βούλεται· συνεσκευασμένος δὲ ἔφη παρεῖναι πάντα τἀπιτήδεια, ὥστε δειπνεῖν [1] τἀλλότρια. καὶ τὸν παῖδα δὲ, ἔφη, πάνυ πιέζεσθαι, διά τε τὸ φέρειν μηδὲν, καὶ διὰ τὸ ἀνάριστον εἶναι." Ἱππόλοχος δὲ ὁ Μακεδὼν, ἐν τῇ πρὸς Λυγκέα Ἐπιστολῇ, γελωτοποιῶν μέμνηται Μανδρογένους καὶ Στράτωνος τοῦ Ἀττικοῦ. Πλῆθος δ' ἦν Ἀθήνησι τῆς σοφίας [2] ταύτης. ἐν γοῦν τῷ Διομέων Ἡρακλείῳ [3] συνελέγοντο, ἑξήκοντα ὄντες τὸν ἀριθμὸν, καὶ ἐν τῇ πόλει δὲ ὠνομάζοντο· ὡς „οἱ ἑξήκοντα τοῦτ' εἶπον." καὶ „ἀπὸ τῶν ἑξήκοντα ἔρχομαι." ἐν δὲ τούτοις ἦσαν Καλλιμέδων τε ὁ Κάραβος, καὶ Δεινίας· [4] ἔτι τε Μνασιγείτων, [5] καὶ Μέναιχμος· ὥς φησι Τηλεφάνης, ἐν τῷ Περὶ τοῦ Ἀ- Collegium ſexaginta ſcurrarum.

1 ὥστε καὶ δειπνεῖν edd. 2 σοφιστείας ms. *Ep.* 3 τῷ Διομείῳ ἢ Ἡρακλείῳ edd. 4 Δινίας ms. *A.* 5 Μασιγείτων edd.

tum haec ſcribit: »Philippus vero, ridiculus ſcurra, pulſatis foribus, eum qui ſubauſcultaverat, renunciare intus iuſſit, quis eſſet, & introмitti ſe velle: *venire ſe autem omnibus rebus inſtructum, quae commodae eſſent ut aliena menſa coenaret. Atque etiam puerum ſuum*, ait, *valde premi, eo quod nihil ferret, & quod impranſus eſſet.*« Hippolochus vero Macedo in Epiſtolâ ad Lynceum, ſcurrarum meminit Mandrogenis & Stratonis Attici. Multitudo vero Athenis erat hominum artem hanc profitentium: qui in Diomenſium Heracleo congregabantur, ſexaginta numero, atque etiam hoc ipſo nomine in urbe adpellabantur, ut vulgo diceretur verbi cauſſa, *Sexaginta-viri hoc dixerunt*; aut, *venio a ſexaginta-viris.* Quorum in numero erant Callimedon Carabus, & Dinias, item Mnaſigeiton, & Menaechmus; ut tradit Telephanes in libro de Urbe.

στεος. τοσαύτη δ' αὐτῶν δόξα τῆς ῥαθυμίας ἐγένετο, ὡς καὶ Φίλιππον ἀκούσαντα τὸν Μακεδόνα πέμψαι αὐτοῖς τάλαντον, ἵν' ἐγγραφόμενοι τὰ γελοῖα πέμπωσιν αὐτῷ. ὅτι δὲ ἦν περὶ τὰ γελοῖα ἐσπουδακὼς ὁ βασιλεὺς οὗτος, μαρτυρεῖ Δημοσθένης ὁ ῥήτωρ ἐν τοῖς Φιλιππικοῖς. Φιλόγελως δ' ἦν καὶ Δημήτριος ὁ Πολιορκητὴς, ὡς Φησι Φύλαρχος ἐν τῇ ἕκτῃ τῶν Ἱστοριῶν· ὅς γε καὶ [1] „τὴν Λυσιμάχου αὐλὴν [2] κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν" ἔλεγεν· „ἐξιέναι γὰρ ἀπ' αὐ- f
τῆς πάντας δισυλλάβους." (τόν τε Βίθυν [3] χλευάζων καὶ τὸν Πάριν, μεγίστους ὄντας παρὰ τῷ Λυσιμάχῳ, καί τινας ἑτέρους τῶν φίλων·) „παρὰ δ' αὐτοῦ Πευκέστας, καὶ Μενελάους, ἔτι δὲ Ὀξυθέμιδας." Ταῦτα δ' ἀκούων ὁ Λυσίμαχος· „Ἐγὼ τοίνυν, ἔφη, πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ ἑώρακα ἐξιοῦσαν·" τὴν αὐλητρίδα Λαμίαν [4] λέγων. Ἀπαγγελθέντος δὲ καὶ a

Demetrius Polioreeta iocosus.

1 Deeſt καὶ edd. 2 ἀρχὴν edd. 3 Βίθην edd. 4 Λάμιαν h. l. mssti.

Tanta autem erat fama hilaritatis horum hominum, ut *Philippus* Macedo, re cognita, talentum eis mitteret hac conditione, ut ſcripto conſignata ridicule dicta ad ipſum transmitterent. Studuiſſe autem dictis ridiculis regem illum, Demoſthenes etiam orator teſtatum facit in Philippicis. Riſuum iocorumque amicus quoque fuit *Demetrius Poliorceta*, ut Phylarchus ait ſexto libro Hiſtoriarum. Cuius etiam dictum fertur huiusmodi: *Lyſimachi aulam a comica ſcena nil differre: nam ex ea non progredi niſi diſyllabos;* (*Bithyn* nempe irridens, & *Parin*, qui plurimum apud Lyſimachum valebant, & alios nonnullos ex eius amicis:) *a ſe vero egredi Peucestas, & Menelaos, item Oxythemidas.* Quibus auditis, Lyſimachus: *Atqui ego*, inquit, *meretricem numquam vidi e tragica ſcena prodeuntem:* Lamiam dicens tibicinam. Quod dictum cum rurſus

τούτου, πάλιν ὑπολαβὼν ὁ Δημήτριος ἔφη· „Ἀλλ' ἡ παρ' ἐμοὶ πόρνη σωφρονέστερον τῆς παρ' ἐκείνῳ Πηνελόπης ζῇ."

IV. L. Anicius ridicula ſpectacula edit.

Ὅτι δὲ καὶ Σύλλας, ὁ Ῥωμαίων [1] στρατηγὸς, φιλόγελως ἦν, προείρηται. Λεύκιος δὲ Ἀνίκιος,[2] καὶ αὐτὸς Ῥωμαίων στρατηγήσας, Ἰλλυριοὺς καταπολεμήσας, καὶ αἰχμάλωτον ἀγαγὼν Γένθιον,[3] τὸν τῶν Ἰλλυριῶν βασιλέα, σὺν τοῖς τέκνοις, ἀγῶνας ἐπιτελῶν τοὺς ἐπινικίους ἐν τῇ Ῥώμῃ, παντὸς γέλωτος ἄξια πράγματα ἐποίησεν, ὡς Πολύβιος ἱστορεῖ ἐν τῇ τριακοστῇ. „Μεταπεμψάμενος γὰρ τοὺς ἐκ τῆς Ἑλλάδος ἐπιφανεστάτους τεχνίτας, καὶ σκηνὴν κατασκευάσας μεγίστην ἐν τῷ κίρκῳ, πρώτους εἰσῆγεν αὐλητὰς ἅμα πάντας. οὗτοι δ' ἦσαν [4] Θεόδωρος ὁ Βοιώτιος, Θεόπομπος, Ἕρμιππος ὁ Λυσίμαχος,[5] οἵτινες ἐπιφανέστατοι ἦσαν. τούτους δὲ στήσας ἐπὶ τὸ προσκήνιον, με-

1 ὁ τῶν Ῥωμαίων edd. 2 Ἀννίκιος ms. *Ep.* 3 Γένιον ed. Ven. cum msstis. Γέντιον ed. Baſ. & Caſ. 4 Forſ. τούτων δ' ἦσαν. 5 καὶ Λυσίμαχος coni. Dalec. Forſ. ὁ Λυσιμαχεὺς, aut ὁ Λυσιμάχου.

Demetrio eſſet relatum, regeſſit ille: *At quae apud me eſt meretrix, ea honeſtius vivit quam illius Penelope.*

4. Fuiſſe etiam *Syllam*, Romanorum imperatorem, ridiculorum ſtudioſum, ſupra dictum eſt. *Lucius* vero *Anicius*, qui & ipſe Romano exercitui praefuerat, poſtquam Illyrios debellavit, & Genthium regem Illyriorum cum ipſius liberis captivos duxit, ludos triumphales Romae edens, quovis riſu digna multa fecit; ut Polybius narrat libro trigeſimo. » Accitis enim e Graecia celeberrimis artificibus, exſtructâ in Circo ampliſſimâ ſcenâ, primos introduxit tibicines ſimul omnes. Hi erant Theodorus Boeotius, Theopompus, Hermippus Lyſimachus; [*ſive*, Lyſimachenſis, *aut* Lyſimachi filius:] qui erant nobiliſſimi. Hos vero iuſſit in proſcenio ſtan-

τὰ τοῦ χοροῦ αὐλεῖν ἐκέλευσεν ἅμα πάντας. τῶν δὲ διαπορευομένων τὰς κρούσεις μετὰ [1] τῆς ἁρμοζούσης κινήσεως, προσπέμψας, οὐκ ἔφη καλῶς αὐτοὺς αὐλεῖν, ἀλλ' ἀγωνίζεσθαι μᾶλλον ἐκέλευε. [2] τῶν δὲ διαπορούντων, ὑπέδειξέ τις τῶν ῥαβδούχων, ἐπιστρέψαντας ἀπαγαγεῖν [3] ἐπ' αὐτοὺς, καὶ ποιεῖν ὡσανεὶ μάχην. ταχὺ δὲ συννοήσαντες οἱ αὐληταὶ, καὶ λαβόντες οἰκείαν κίνησιν [4] ταῖς ἑαυτῶν ἀσελγείαις, μεγάλην ἐποίησαν σύγχυσιν. συνεπιστρέψαντες δὲ τοὺς μέσους χοροὺς πρὸς τοὺς ἄκρους, οἱ μὲν αὐληταὶ φυσῶντες ἀδιανόητα, καὶ διαφέροντες τοὺς αὐλοὺς, ἀπῆγον ἀνὰ μέρος ἐπ' ἀλλήλους. ἅμα δὲ τούτοις ἐπικτυποῦντες οἱ χοροὶ, καὶ συνεπεισιόντες τὴν σκηνὴν ἐπεφέροντο τοῖς ἐναντίοις, καὶ πάλιν ἀνεχώρουν ἐκ μεταβολῆς. ὡς δὲ καὶ περιζωσάμενός τις τῶν χορευτῶν ἐκ τοῦ καιροῦ [5] στρα-

1 Temere κατὰ ed. Caſ. 2 ἐκέλευσε ms. *Ep.* 3 Forſ. ἐπαγαγεῖν. 4 οἰκίαν † ταῖς edd. οἰκίαν ταῖς Ms. absque lacunae notâ. ἔννοιαν ſupplet Caſaub. Nos cum Corayo κίνησιν ſupplevimus. 5 ἐκ τοῦ χοροῦ ed. Caſ.

tes cum choro tibias inflare ſimul omnes. Qui quum modos ſuos exſequerentur cum conveniente motu, miſit ad eos qui admoneret, non recte illos tibiis canere, iuberetque magis contendere. Dubitantes vero illos docuit unus e lictoribus, converſione facta denuo adverſus ſe invicem pergere debere, & veluti pugnam committere. Mox tum intelligentes tibicines, & capientes motum petulantiae ſuae convenientem, ingentem fecere confuſionem. Medios quippe choros convertentes adverſus extremos, ipſi quidem inſana quaedam ac diſſonantia tibiis canentes, in ſe mutuo alternis vicibus impetum faciebant. Simul vero perſtrepentes chori, & in ſcenam procurrentes, in adverſos ruebant, ac rurſus quaſi terga dantes recedebant. Sed ubi etiam aliquis e choro, praecincta veſte, de improviſo ſeſe convertens,

φεὶς, ἦρε τὰς χεῖρας ἀπὸ πυγμῆς πρὸς τὸν ἐπιφερόμενον αὐλητὴν, τότ' ἤδη κρότος ἐξαίσιος ἐγένετο, καὶ κραυγὴ τῶν θεωμένων. Ἔτι δὲ τούτων ἐκ παρατάξεως ἀγωνιζομένων, ὀρχησταὶ δύο εἰσήγοντο μετὰ συμφωνίας εἰς τὴν ὀρχήστραν· καὶ πύκται τέσσαρες ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ βυκανιστῶν. ὁμοῦ δὲ τούτων πάντων ἀγωνιζομένων, ἄλεκτον ἦν τὸ συμβαῖνον. Περὶ δὲ τῶν τραγῳδῶν, φησὶν ὁ Πολύβιος, ὅ τι ἐὰν ἐπιβάλωμαι λέγειν, δόξω τισὶν διαχλευάζειν."

V. Plani, sive Circulatores.

Ταῦτα τοῦ Οὐλπιανοῦ διεξελθόντος, καὶ πάντων ἀνακαχασάντων [1] ἐπὶ ταῖς ἀνικίοις [2] ταύταις θέαις, ἐγένοντό τινες λόγοι καὶ περὶ τῶν καλουμένων πλάνων· καὶ ἐζητεῖτο, εἰ μνήμη τις καὶ περὶ τούτων ἐγένετο παρὰ τοῖς παλαιοτέροις· περὶ γὰρ θαυματοποιῶν ἤδη προειρήκαμεν. Καὶ ὁ Μάγνος ἔφη· Διονύ-

1 ἀναχαχασάντων edd. 2 ἀνοικείαις ed. Ven. & Baf. ἀνικίοις ed. Caf.

manus ſuſtulit adverſus ſibi occurrentem tibicinem, tamquam pugilatu dimicaturus, tum vero immanis plauſus clamorque ſpectantium excitatus eſt. Dum vero illi adhuc inter ſe veluti conſerta acie dimicant, in orcheſtram prodierunt duo ſaltatores cum ſymphonia, & quatuor pugiles cum tubicinibus & buccinatoribus ſcenam conſcenderunt: qui dum ſimul omnes contendunt, dici non poteſt quale id fuerit ſpectaculum. De tragoedis vero (ait idem Polybius) ſi quid dicere adgrediar, vereor ne illudere velle videar nonnullis. «

5. Haec poſtquam narravit Ulpianus, in riſum effuſis omnibus ſuper *Aniciis* iſtis *ſpectaculis*, ſermones quoque nonnulli habiti ſunt de *Planis* qui vocantur: quaerebaturque, an horum etiam mentio aliqua apud vetuſtiores auctores occurrat? nam de *praeſtigiatoribus* iam ante diximus. Tum Magnus ait: Dionyſius quidem Sinopen-

σιος μὲν ὁ Σινωπεὺς, ὁ τῆς κωμῳδίας ποιητὴς, ἐν τῷ
Cephisodorus. ἐπιγραφομένῳ Ὁμώνυμοι,[1] μνημονεύει Κηφισοδώρου τοῦ Πλάνου διὰ τούτων·

Κηφισόδωρον φασὶν,[2] ἐπικαλούμενον f
Πλάνον, τιν' ἐν Ἀθήναις γενέσθαι, τὴν σχολὴν
εἰς τοῦτο τὸ μέρος τοῦ βίου καταχρώμενον.
τοῦτον ἐντυχόντα πρὸς τὸ σιμὸν ἀνατρέχειν,
ἢ συγκαθεῖναι τῇ[3] ἐπὶ τῇ βακτηρίᾳ.

μνημονεύει δ' αὐτοῦ καὶ Νικόστρατος, ἐν Σύρῳ·

Κηφισόδωρον οὐ κακῶς, μὰ τὸν Δία, [τὸν πλάνον][4]
φασὶ στενωπὸν εἰς στενὸν στῆσαί τινας
ἀγκαλίδας ἔχοντας,[5] ὥστε μὴ παρελθεῖν μηδένα.

Pantaleon. Πανταλέοντος δὲ μνημονεύει Θεόγνητος, ἐν Φιλοδε- a
σπότῳ·

Ὁ Πανταλέων μὲν αὐτὸς αὐτοὺς τοὺς ξένους,

1 Ὁμωνύμῳ vulgo. 2 φησὶν edd. 3 γῇ fortasse: & καὶ συγκ. malles. 4 Extra versum sunt duae voces. 5 Delendum verbum ἔχοντας aut vocula μὴ.

sis, comicus poëta, in fabula quae inscribitur Homonymi, Cephisodori meminit plani, his verbis:

Cephisodorum aiunt quemdam, cognomine
Planum, fuisse Athenis; qui otio
vitae hanc in partem sit abusus.
Hunc aiunt, quoties ad adclivem accessisset locum, cursu adscendisse,
tum in planitiem descendisse vectum baculo.

Eiusdem meminit Nicostratus, in Syro:

Cephisodorum non male, per Iovem, (planum)
aiunt in angusto angiportu quosdam constituisse
lignorum fasces (gestantes,) ut nemo transire posset.

Pantaleontis vero meminit Theognetus, in Philodespoto: (Servo-domini-amante:)

Pantaleon ipse quidem non nisi peregrinos,

τούς τ' [1] ἀγνοοῦντας αὐτὸν, ἐπλάνα· καὶ σχεδὸν ἀπεκραιπάλα τὰ πλεῖστα, τοῦ γελάσαι χάριν ἰδίαν τιν' αὐτῷ θέμενος ἀδολεσχίαν.

Καὶ Χρύσιππος δ' ὁ φιλόσοφος, ἐν πέμπτῳ Περὶ τοῦ Καλοῦ καὶ τῆς Ἡδονῆς, περὶ τοῦ Πανταλέοντος ταῦτα γράφει· „Ὁ δὲ πλάνος Πανταλέων τελευτᾶν μέλλων, b ἑκάτερον τῶν υἱῶν κατ' ἰδίαν ἐξηπάτησεν, φήσας μόνῳ αὐτῷ λέγειν ὅπου κατορωρύχοι τὸ χρυσίον· ὥστε μάτην ὕστερον κοινῇ σκάπτοντας, αἰσθέσθαι ἐξηπατημένους."

VI. Scommata amantes.

Οὐκ ἠπόρει δὲ ἡμῶν [2] τὸ συμπόσιον οὐδὲ τῶν φιλοσκωπτούντων. περὶ δὲ τοιούτου τινὸς πάλιν ὁ Χρύσιππος ἐν τῷ αὐτῷ γράφει· „Φιλοσκώπτης μέλλων ὑπὸ τοῦ δημίου [3] σφάττεσθαι, εἶπε θέλειν [4] ὥσπερ τὸ κύκνειον ἆσας ἀποθανεῖν. ἐπιτρέψαντος δ' ἐκείνου, ἔσκωψεν." Ὑπὸ δὴ τῶν τοιούτων πολλάκις ὁ Μυρτί-

1 τοὺς δ' edd. 2 Perperam ὑμῶν Ms. 3 ὑπὸ Δημητρίου *Epit.* 4 εἰπεῖν ἔφη θέλειν edd. cum ms. *A*.

& qui ipsum non nossent, decepit: ac fere in crapulâ evomuit pleraque, quum movendi risus caussâ propriam quamdam sibi finxisset loquacitatem.

Chrysippus etiam philosophus, quinto libro de Honestate & Voluptate, de Pantaleonte haec scribit: » Planus Pantaleon, cum moriturus esset, utrumque suorum filiorum seorsim decepit; dicens utrique, se soli illi indicare ubi aurum defossum haberet. Itaque deinde communi operâ frustra fodientes, deceptos se esse intellexerunt. «

6. Nec vero deerant convivio nostro homines, qui *mordacibus dicteriis* (*scommata* Graeci dicunt) *ludificari* alios amant. De huius generis quopiam rursus Chrysippus eodem libro scribit: »Derisor aliquis cum in eo esset ut a carnifice iugularetur, dixit *mori se velle velut cygni canens carmen*. Cui quum ille permisisset, nil nisi scommata & ludibria profudit. « Ab eiusdem generis homi-

λος σκωφθεὶς, καὶ ἀγανακτήσας, εἶπεν, καλῶς Λυ- c
σίμαχον τὸν βασιλέα πεποιηκέναι. Τελεσφόρον γὰρ,
ἕνα τῶν ὑπάρχων αὐτοῦ, ἐπειδή ἔσκωψέ ποτε ἐν συμ-
ποσίῳ τὴν Ἀρσινόην, (γυνὴ δὲ ἦν τοῦ Λυσιμάχου,)
ὡς ἐμετικὴν οὖσαν·

Κακῶν κατάρχεις, την δε μουσαν [1] εἰσάγων·
ὁ Λυσίμαχος ἀκούσας, ἐμβληθῆναι αὐτὸν ἐκέλευσεν
εἰς γαλεαγραν, καὶ δίκην θηρίου περιφερόμενον καὶ
τρεφόμενον, κολαζόμενον [2] οὕτως ἐποίησεν ἀποθανεῖν.
Σὺ δὲ, ὦ Οὐλπιανὲ, εἰ τὴν γαλεάγραν ζητεῖς, ἔχεις
παρὰ Ὑπερίδῃ [3] τῷ ῥήτορι· ὅπου δὲ, σὺ ζήτει. Καὶ d
Tachos, rex Aegypti. Ταχαὼς [4] δ' ὁ Αἰγυπτίων βασιλεὺς Ἀγησίλαον σκώ-
ψας τὸν Λακεδαιμονίων βασιλέα, ὅτ' ἦλθεν αὐτῷ
συμμαχήσων, (ἦν γὰρ βραχὺς τὸ σῶμα,) ἰδιώτης
ἐγένετο, ἀποστάντος ἐκείνου τῆς συμμαχίας. τὸ δὲ
σκῶμμα τοῦτ' ἦν·

1 τήνδ' ἐμοῦσαν edd. cum ms. *A*. 2 κεκολοβαμένον malebam.
3 Ὑπερείδῃ edd. 4 Ταχὼς edd.

nibus cum saepius irrideretur Myrtilus, indignatus ait, recte feciſſe Lyſimachum. Nam Telesphorum, unum e ſuis praefectis, cum in convivio ludificatus eſſet Arſinoën, uxorem regis, tamquam vomere ſolitam, dicens:

Malorum auctor es, την δε μουσαν introducens:

audito hoc cavillo Lyſimachus caveâ includi hominem iuſſit, & veluti feram circumvectum nutritumque, ita cruciatum mori paſſus eſt. Tu vero, Ulpiane, ſi Graeci vocabuli γαλεάγρα auctorem requiris, habes illud apud Hyperidem oratorem: quonam autem loco, tu ipſe quaere. Atque etiam *Tachaos* (ſive, *Tachos*) rex Aegyptiorum, ludificatus Ageſilaum Lacedaemoniorum regem, cum adveniſſet ſuppetias ei laturus, eſſetque brevi ſtaturâ, regno excidit, deficiente ab illius ſocietate Ageſilao. Erat autem dicterium eius hoc:

Ὠδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν.

ὅπερ ἀκούσας ὁ Ἀγησίλαος, καὶ ὀργισθεὶς, ἔφη· „Φανήσομαί σοι ποτὲ καὶ λέων.“ ὕστερον γὰρ ἀφισταμένων τῶν Αἰγυπτίων, ὥς φησι Θεόπομπος, καὶ Λυκέας [1] ὁ Ναυκρατίτης ἐν τοῖς Αἰγυπτιακοῖς, οὐδὲν e αὐτῷ συμπράξας, ἐποίησεν ἐκπεσόντα τῆς ἀρχῆς φυγεῖν εἰς Πέρσας.

VII. Tibiae.

Πολλῶν οὖν πολλάκις ὄντων τῶν ἀκροαμάτων, καὶ τῶν αὐτῶν οὐκ αἰεὶ, [2] ἐπειδὴ πολλοὶ περὶ αὐτῶν ἐγένοντο λόγοι, τὰ ὀνόματα τῶν εἰπόντων παραλιπὼν, τῶν πραγμάτων μνησθήσομαι. Περὶ μὲν γὰρ αὐλῶν ὁ μέν τις ἔφη, τὸν Μελανιππίδην καλῶς ἐν τῷ Μαρσύᾳ, διασύροντα τὴν αὐλητικὴν, εἰρηκέναι περὶ τῆς Ἀθηνᾶς·

— Ἃ μὲν [3] Ἀθαναί' [4] ὄργανα,
ἔῤῥιψέ τε [5] ἱερᾶς ἀπὸ χειρὸς,

1 Alibi Λυγκέας: rectius fortaſſe. 2 ἀεὶ edd. 3 τὰ μὲν edd. Articulus abeſt *Epit.* 4 ἀθάνατα ed. Ven. & Baſ. cum ms. *A.* Ἀθάνα ms. *Ep.* Ἀθαναία ed. Caſ. 5 ἐῤῥιψέν θ' corrigunt viri docti.

Parturibat mons, timebatque Iupiter: at ille peperit murem. Quo audito iratus Ageſilaus ait: *Ego vero tibi aliquando videbor eſſe leo.* Deinde deficientibus ab illo Aegyptiis, ut Theopompus narrat, & Lyceas (*ſive*, Lynceas) Naucratita in Aegyptiacis, nullam ei opem ferens Ageſilaus eo adegit, ut amiſſo regno apud Perſas ſalutem peteret.

7. Cum igitur multa fuerint acroamata, nec illa ſemper eadem, quumque multi ſuper his agitati ſint ſermones, nomina omittens eorum qui verba fecerunt, res ipſas commemorabo. Igitur de *Tibiis* dixit unus e convivis: recte Melanippidem in Marſya, calumniantem tibicinum artem, dixiſſe de Minervâ:

— *Athene quidem inſtrumenta*
proiecit ſanctâ manu,

εἶπέ τε· Ἐρρέτε αἴσχεα, σώματι λύμα.[1]
ἐμὲ[2] δ' ἐγὼ κακότατι[3] δίδωμι; f

Πρὸς ὃν ἀντιλέγων ἄλλος, ἔφη· Ἀλλ' ὅ γε Σελινούντιος Τελέστης, τῷ Μελανιππίδῃ ἀντικορυσσόμενος, ἐν Ἀργοῖ ἔφη· (ὁ δὲ λόγος ἐστὶ περὶ τῆς Ἀθηνᾶς·)

„Οὐ σοφὸν[4] σοφὼν λαβοῦσαν οὐκ ἐπέλπομαι νόῳ δρυμοῖς ὀρείοις ὄργανον δῖαν Ἀθανᾶν,[5] δυσόφθαλμον αἶσχος ἐκφοβηθεῖσαν, αὖθις ἐκ χερῶν βαλεῖν, νυμφαγενεῖ χειροκτύπῳ φηρὶ Μαρσύᾳ κλέος. τί γαρ νιν εὐηρατοιο κάλλεος a
ὀξὺς ἔρως ἔτειρεν,[6] ἃ γὰρ[7] παρθενίαν ἄγαμον[8]
καὶ ἄπαιδ' ἀπένειμε Κλωθώ;"

ὡς οὐκ ἂν εὐλαβηθείσης τὴν αἰσχρότητα τοῦ εἴδους διὰ τὴν παρθενίαν. ἐξῆς τε φησίν·

1 λύματα corrigunt iidem. 2 ἧ με iidem. 3 κακότητι edd. 4 Ἔμφρονα corrigit vir doctus. Ἐν σοφὸν legebam. 5 Rectius fuerit Ἀθάναν. Iſta autem verba, δῖαν Ἀθ. uſque ἐκφοβηθεῖσαν, extra verſum ex interpretatione adiecta cenſuerunt nonnulli. 6 ἤγειρεν *Epit.* 7 αἱ γὰρ vulgo. καὶ γὰρ corr. Caſaub. 8 ἀγανὸν vulgo.

dixitque: Abite probra, foedum corpori dedecus!
ego – ne huic turpitudini me tradam?

Cui contradicens alius, ait: At Selinuntius Teleſtes, repugnans Melanippidi, in Argo dixit: (agitur autem de Minerva:)

Non mihi credibile videtur, unum omnium ſapientiſſimum inſtrumentum acceptum Divam ſapientem Athenen in montium nemoribus, verentem oris deformitatem adſpectu turpem, rurſus e manibus proieciſſe, Nymphâ – genito manibus – perſtrepenti Sileno Marſyae gloriam. Quî enim illam optabilis pulcritudinis vehemens amor vexaſſet, cui virginitatem abſque nuptiis liberisque tribuit Clotho?

Significans non verituram illam fuiſſe indecoram formam, ob virginitatem. Deinde ait:

„Ἀλλὰ μάταν ἀχόρευτος [1] ἄδε ματαιολόγων
φήμα προσέπτατο Ἑλλάδα μουσοπόλων [2] σο-
φᾶς ἐπίφθονον βροτοῖς τέχνας ὄνειδος.“

μετὰ ταῦτα δὲ ἐγκωμιάζων τὴν αὐλητικὴν, λέγει·

„Τὰν οὖν ἐριθειοτάταν [3] Βρομίῳ παρέδωκε σεμ-
νᾶς δαίμονος ἀερθὲν πνεῦμ' αἰολοπτερύγων [4] σὺν
ἀγλαᾶν ὠκυτᾶτι χειρῶν.“

b Κομψῶς δὲ καὶν [5] τῷ Ἀσκληπιῷ ὁ Τελέστης ἐδήλω-
σε τὴν τῶν αὐλῶν χρείαν ἐν τούτοις·

„Ἡ Φρύγα καλλιπνόων αὐλῶν ἱερῶν βασιλῆα
αὐδὰν ὃς [6] ἥρμοσε [7] πρῶτος, Δώριδος ἀντίπα-
λον μούσης· νομοαίολον ὀμφᾷ [8] πνεύματος εὔ-
πτερον αὔραν ἀμφιπλέκων καλάμοις.“

VIII. Pratinae carmen hyporchematicum.

Πρατίνας δὲ ὁ Φλιάσιος, αὐλητῶν καὶ χορευ-
τῶν μισθοφόρων κατεχόντων τὰς ὀρχήστρας, ἀγανα-

1 ἀναχόρευτος vulgo. 2 Ἑλλάδα, μουσοπόλου σοφᾶς &c. ms. *Ep.* 3 περιθειοτάταν edd. Corrupte prorsus λεγεγαν ου μεριθοτάταν Ms. 4 ἀελλοπτερύγων edd. 5 χειρῶν κόμψω † δὲ καὶν &c. edd. & κόμψω etiam Ms. 6 αὔδονος vulgo. 7 ἥρσε vulgo. 8 ὀρφναὶ vulgo.

Sed temere haec chororum – inimica fama pervolavit Graeciam, convicium muſicae huius ſapientis artis invidioſum hominibus.

Deinde laudans tibicinum artem, dicit:

Hanc igitur maxime divinam Bromio dedit venerandae Deae elatus ſpiritus cum volubilium ſplendidarum velocitate manuum.

Scite vero etiam in Aeſculapio idem Teleſtes tibiarum uſum his verbis declaravit:

Phrygem regem, qui ſuaviter-perſonantium ſacrarum tibiarum ſonum primus aptavit, Doricae aemulum Muſae, volucrem auram varias-modulationes-admittentem per ſpiritus flatum arundinibus complectens.

8. *Pratinas* vero Philiaſius, quum mercenarii tibicines & chori occupaſſent orcheſtras, indignari ait nonnul-

κτεῖν τινας ἐπὶ τῷ τοὺς αὐλητὰς μὴ συναυλεῖν τοῖς χοροῖς, καθαπερ ἦν πατριον, ἀλλὰ τοὺς χορους συνᾴδειν τοῖς αὐληταῖς. ὃν οὖν εἶχε θυμὸν κατὰ τῶν ταῦτα ποιούντων ὁ Πρατίνας ἐμφανίζει διὰ τοῦδε τοῦ ὑπορχήματος· c

Τίς ὁ θόρυβος ὅδε;
τί [1] τάδε τὰ χορεύματα;
τίς ὕβρις ἔμολεν
ἐπὶ Διονυσιάδα
πολυπάταγα θυμέλαν; 5
Ἐμὸς, ἐμὸς ὁ Βρόμιος·
ἐμὲ δεῖ κελαδεῖν·
ἐμὲ δεῖ παταγεῖν, d
ἀν' ὄρεα θύμενον [2]
μετὰ Ναΐδων, [3] 10
οἷά τε κύκνον, ἄγοντα [4]

1 τίνα Henr. Steph. & Fior. 2 ἐσσύμενον edd. συόμενον Fior.
3 Ναϊάδων Fior. 4 ᾄδοντα corr. viri docti.

los, quod non, ut patrius mos fuerat, tibicines succinerent choris; ſed quod chori tibicinibus ſuccinerent. Quo igitur animo fuerit adverſus eos qui haec committerent, declarat Pratinas hoc hyporchemate:

Quisnam tumultus hicce?
quinam hi ſaltantium cantus?
quae contumelia invaſit
Dionyſiacum
ſtrepitu-plenum pulpitum?
Meus, meus eſt Bromius:
meum eſt perſonare,
meum eſt perſtrepere,
per montes discurrentem
cum Naiadibus,
cygni ad inſtar, peragentem

ποικιλόπτερον μέλος.
Τᾶν ἀοιδᾶν
κατέστας [1] σὺ Πιερὶς [2] βασίλεια·
ὁ δ' αὐλὸς [3] ὕστερον χορευέτω.
καὶ γὰρ ἔσθ' ὑπηρέτας [4] κώμων [5] μόνον
Θυραμάχοις τε [6] πυγμαχίαισιν [7]
e εων θεα, [8] εἰς πάροινον ἔμμεναι στρατηλάτας.
Παῖε τὸν Φρυναίου ποικίλου προανέχοντα,
φλέγε τὸν ὁλοσίαλον κάλαμον, [9]
λαλοβαρυπαραμελορυθμοβάταν [10]
Θυπατρυπάνω δέμας πεπλασμένον ἠνιδοῦ [11]
f ἄδε σοι δεξιὰ, καὶ πόλος διάρεφα [12]
θριαμβοδιθύραμβε κισσοχαίτ' [13] ἄναξ,
ἄκουε τὰν ἐμὰν Δώριον [14] χορείαν.

1 κατεᾶς edd. 2 ἐπιερεῖς vulgo, & abeſt σὺ. 3 οὐδ' αὐλὸς edd. 4 ὑπηρέτης edd. 5 κωμῶν ms. *A*. 6 θήροα μάχοις τε ms. *Ep*. θηρομάχοις τε coni. Caſ. πυραμάχοις τε edd. 7 Forſ. πυγμαχίαις τε. 8 ἔων † θέα edd. πυγμαχίαι σινέων θέα ms. *Ep*. 9 ὁλοσιαλοχάλαμον edd. 10 λαλοβαρυοπαρ. edd. 11 νηνιδόνα edd. & verſ. ſeq. δέ σοι. 12 διάροφα edd. ut videri poſſet διάφορα oportuiſſe. 13 κισσόχαιτ' malim. 14 Δώριον edd.

varium volucreque carmen.
Cantuum ſane
tu es, Muſa, regina:
tibia vero poſt te partes ſuas agat.
Eſt enim famula comiſſationum ſolum
his qui ad fores pugnant, & qui pugnis contendunt.
. . ut ferox fiat belli dux.
Feri eum qui Phrynaeo vario eminet,
crema ſputo-refertum calamum
garrulum, importunum, cantici rhythmum praetergredientem
. . . . . .
. . . . . .
triumpho-dithyrambe hederâ-comam-cinctæ Rex,
audi meum Doricum cantum.

IX.

Tibiarum cum Lyra concentus.

Περὶ δὲ τῆς αὐλῶν πρὸς λύραν κοινωνίας, (ἐπεὶ πολλάκις καὶ αὐτὴ ἡμᾶς συναυλία ἔθελγεν) Ἔφιππος ἐν Ἐμπολῇ φησίν·

— Κοινωνεῖ γὰρ, ὦ μειράκιον, a
ἡ ἦν [1] τοῖσιν αὐλοῖς μουσικὴ κἀν τῇ λύρᾳ
τοῖς ἡμετέροισι παιγνίοις. ὅταν γὰρ εὖ
συναρμόσῃ τις [2] τοῖς συνοῦσι τὸν τρόπον,
τόθ' ἡ μεγίστη τέρψις ἐξευρίσκεται.

Τὴν δὲ συναυλίαν τί ποτ' ἐστὶν, ἐμφανίζει Σῆμος ὁ Δήλιος ἐν πέμπτῳ Δηλιάδος, γράφων οὕτως· „Ἀγνοουμένης δὲ παρὰ πολλοῖς τῆς συναυλίας, [3] λεκτέον. ἦν τις ἀγὼν συμφωνίας ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ, χωρὶς λόγου τοῦ προσμελῳδοῦντος.“ Ἀστείως δὲ αὐτὴν Ἀντιφάνης φανερὰν ποιεῖ, ἐν τῷ Αὐλητῇ, λέγων· b

Ποίαν, φράσον γὰρ, ᾗδε τὴν συναυλίαν

1 ἢν edd. 2 συναρμόσωσι edd. 3 ξυναυλίας edd.

9. De *Tibiarum* vero *cum Lyrâ coniunctione* (quoniam ſaepe hic etiam nos delectavit concentus) Ephippus in fabulâ Capturâ ait:

— *Plane, adoleſcens, convenit*
vel tibiarum cantus vel teſtudinis
cum noſtris iſtis ludicris: utrumque enim
eorum qui adſunt ingenio ſi conſonat,
ea demum magnam res voluptatem parit.

Tibiarum concentus autem (ἡ συναυλία) quid ſit, declarat Semus Delius quinto libro Deliadis, ubi ſic ſcribit: » Quum vero ignorent multi συναυλία quid ſit, dicendum eſt nobis. Erat aliquod certamen ſymphoniae tibiarum viciſſim & rhythmi, nullo ſermone modos tibiae comitante. « Lepide vero eam declarat Antiphanes, in Tibicine, ubi ait:

Qualem, dic quaeſo, cecinit ſynauliam

ταύτην; ἐπίσταται [1] γὰρ, ἀλλ' ηὔλουν ἔτι
μαθόντες ὥστε τοὺς . . [2] αὐλοὺς, σύ τε
αὐτὴ τελετῇ ψεθείθαμεν συντυγχάνεις
αὐλῶν πέραινε. δέξεται δὲ τ' ἄλλα σοι
ἡδύ τι κοινόν [3] ἐστι νου χωρὶς [4] πάλιν [5]
συννεύματ' οὐ προβλήμαθ' οἷς [6] σημαίνεται
ἕκαστα. —

„Λίβυν δὲ τὸν αὐλὸν προσαγορεύουσιν οἱ ποιηταὶ, Φησὶ Δοῦρις ἐν δευτέρῳ τῶν Περὶ Ἀγαθοκλέα, ἐπειδὴ Σειρίτης, ὃς δοκεῖ πρῶτον [7] εὑρεῖν τὴν αὐλητικὴν, Λίβυς ἦν τῶν Νομάδων, ὃς καὶ κατηύλησε τὰ μητρῷα πρῶτος." Αὐλήσεων δ' εἰσὶν ὀνομασίαι, [8] ὥς φησι Τρύφων ἐν δευτέρῳ Ὀνομασιῶν, αἵδε· „Κῶμος, βουκολιασμὸς, γίγγρας, τετράκωμος, ἐπίφαλλος, χορεῖος, καλλίνικος, πολεμικὸν, ἡδύκωμος, σικυννοτύρ- *Lybica* tibia unde dicta. Modorum tibialium nomina.

1 Forſ. ἐπίστασαι. 2 Excidiſſe hic videtur vocabulum. 3 ἡδυτικὸν edd. ἡδυντικὸν coni. Caſ. 4 ἐστιν, οὗ χωρὶς edd. ἐστὶ, νοῦ χωρὶς corr. Caſ. 5 πάλιν & dein συννευμάτων, corr. idem. 6 προβλημάθοις edd. 7 πρῶτος ms. *Ep.* 8 ὀνόματα edd.

hanc? Novit (ſive, *Noſti*) *enim: ſed canebant adhuc diſcentes, ita ut . . tibias, & tu*

. . . . . .

. . . . . .

Iucundum in commune eſt, absque mente certamen concentuum, quibus ſignificatur quodlibet propoſitum argumentum. —

»*Libycam* vero *tibiam* vocant poëtae, ut ait Duris ſecundo librorum De Rebus Agathoclis, quoniam Siritis, qui perhibetur primus inveniſſe artem tibiâ canendi, Libycus fuerat e Nomadibus: qui etiam carmina in Matrem Deorum primus cecinit.« *Modorum* vero, qui *tibiis* peraguntur, *nomina* ſunt, ut ait Trypho ſecundo libro Nomenclaturarum, haecce: »*Comus, bucoliasmus, gingras, tetracomus, epiphallus, choreus, callini-*

βη, θυροκοπικὸν, τὸ δ' αὐτὸ [1] καὶ κρουσίθυρον, κνισμὸς, μόθων. Ταῦτα δὲ πάντα μετ' ὀρχήσεως ηὐλεῖτο."

X.

Cantuum varia nomina.

Καὶ ᾠδῆς δὲ ὀνομασίας καταλέγει ὁ Τρύφων τάσδε· „Ἰμαῖος, ἡ ἐπιμύλιος καλουμένη, ἣν παρὰ d τοὺς ἀλέτους ᾖδον· ἴσως ἀπὸ τῆς ἰμαλίδος. Ἰμαλὶς δ' ἐστὶ παρὰ Δωριεῦσιν ὁ Νόστος, καὶ τὰ ἐπίμετρα τῶν ἀλέτων. [2] ἡ δὲ τῶν ἱστουργούντων ᾠδὴ ἔλινος· [3] ὡς Ἐπίχαρμος ἐν Ἀταλάνταις ἱστορεῖ. ἡ δὲ ταλασιουργῶν, ἴουλος." Σῆμος δ' ὁ Δήλιος, ἐν τῷ Περὶ Παιάνων, φησί· „Τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ' αὑτὰ προσηγόρευον ἀμάλας· [4] συναθροισθέντα δὲ καὶ ἐκ πολλῶν μίαν γενόμενα δέσμην, οὖλους καὶ ἰούλους· καὶ τὴν Δήμητρα, ὁτὲ μὲν Χλόην, ὁτὲ δὲ Ἰουλώ. ἀπὸ [5] τῶν οὖν τῆς Δήμητρος εὑρημάτων τούς τε e καρπιοὺς, καὶ τοὺς ὕμνους τοὺς εἰς τὴν θεὸν, οὖλους καλοῦσι, καὶ ἰούλους. δημήτρουλοι, [6] καὶ καλλίουλοι. καὶ,

1 τὸ αὐτὸ edd. 2 ἀλετῶν ms. *Ep.* 3 αἴλινος ms. *Ep.* 4 Forſ. ἀμάλλας. 5 ὑπὸ edd. 6 δημητρίουλοι *Epit.* Supplet au-*cus*, *polemicum*, *hedycomus*, *ſicynnotyrbe*, *thyrocopicum*, quod & *cruſithyron*, (*i. e.* cum pulſantur fores,) *cnismus*, *mothon*. Qui omnes modi cum ſaltatione tibiis canebantur. «

10. Iam & *Cantuum nomina* recenſet Tryphon haecce: » *Himaeus*, qui etiam *epimylius* (*i. e.* molendinarius) vocatur, quem inter molendum canebant. Fortaſſe ab Himalide. Himalis vero Dorienſibus eſt Noſtus, & auctaria farinae. Cantus telas texentium, *elinus*; ut Epicharmus in Atalantis docet: lanificium exercentium, *iulus*. « Semus vero Delius, in libro de Paeanibus, ait: » Manipulos hordei ſingulos per ſe *amalas* vocabant; collectos vero & ex pluribus in unum faſciculum colligatos, *ulos* & *iulos*: & Cererem nunc *Chloën* adpellabant, nunc *Iulo*. A Cereris igitur inventis, & ipſas fruges, & hymnos in Deam, *ulos* vocant, & *iulos*. Sic δημήτρουλοι, & καλλίουλοι: & iſtud,

Πλεῖστον οὖλον οὖλον ἴει, ἴουλον ἴει.

ἄλλοι δέ φασιν ἐριουργῶν εἶναι τὴν ᾠδήν. Αἱ δὲ τῶν τιτθευουσῶν [1] ᾠδαὶ, καταβαυκαλήσεις [2] ὀνομάζονται. Ἦν δὲ καὶ ἐπὶ ταῖς ἑώραις τις, ἐπ' Ἠριγόνῃ, ἣν καὶ Ἀλῆτιν [3] λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· „Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ. λέγεται δὲ γενέ-
f σθαι τρυφῶν τις, [4] ὡς ἐκ τῆς ποιήσεως δῆλον ἐστίν. ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη πε-
a ρὶ τὰς ἑώρας." Ἡ δὲ τῶν θεριστῶν ᾠδὴ, Λιτυέρσης καλεῖται. καὶ τῶν μισθωτῶν δέ τις ἦν ᾠδὴ τῶν ἐς τοὺς ἀγροὺς φοιτώντων, ὡς Τηλεκλείδης φησὶν ἐν Ἀμφικτύοσι· καὶ βαλανείων [5] ἄλλαι, ὡς Κράτης ἐν Τόλμαις· καὶ τῶν πτισσουσῶν ἄλλη τις, ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις, καὶ Νικοχάρης ἐν Ἡρα-

tem Caſaubonus: οἱ αὐτοὶ καὶ δημητρ. 1 τιθηνουσῶν edd. τιτθευουσῶν ms. *A.* τιτθᾶν *Epit.* 2 καταβλυχαλήσεις mssti. 3 αὐλῆτιν vulgo. 4 Τρύφων τις edd. 5 Forſ. βαλανέων.

Plurimum ulum, ulum mitte, iulum mitte!

Alii vero aiunt, eſſe cantum illum eorum qui lanam tractant. Iam nutricum lactantium cantilenae, καταβαυκαλήσεις vocantur. Fuit vero etiam aliqua Oſcillorum feſtis diebus (ἐπὶ ταῖς Ἑώραις) in honorem Erigonae: quam *Aletin* vocant cantilenam. Ariſtoteles quidem in Colophoniorum Republica ait: *Mortuus vero eſt deinde ipſe etiam Theodorus violentâ morte. Dicitur autem fuiſſe homo luxuriae indulgens, quod etiam ex eius carminibus patet. Nam etiam nunc mulieres carmina illius canunt Oſcillorum feſtis diebus.* Meſſorum cantilena, *Lityerſes* vocatur. Eſt vero etiam mercenariorum cantilena rus euntium, ut ait Teleclides in Amphictyonibus: & alia balneatorum, ut Crates ait in Audaciis: item alia pinſentium, ut Ariſtophanes in Theſmophoriazuſis, & Nicochares in

κλεῖ χορηγῷ. ἦν δὲ καὶ τοῖς ἡγουμένοις τῶν βοσκημάτων, ὁ βουκολιασμὸς [1] καλούμενος. Δίομος δὲ ἦν, ὁ βουκόλος Σικελιώτης, ὁ πρῶτος εὑρὼν τὸ εἶδος· μνημονεύει δ' αὐτοῦ Ἐπίχαρμος ἐν Ἀλκυόνι καὶ ἐν b Ὀδυσσεῖ ναυαγῷ. ἡ δ' ἐπὶ τοῖς θανάτοις καὶ λύπαις ᾠδὴ, ὀλοφυρμὸς καλεῖται. αἱ δὲ ἴουλοι καλούμεναι ᾠδαὶ, Δήμητρι καὶ Φερσεφόνῃ πρέπουσιν. ἡ δὲ εἰς Ἀπόλλωνα ᾠδὴ, φιληλιάς· [2] ὡς Τελέσιλλα παρίστησιν· Οὔπιγγοι δὲ, αἱ [3] εἰς Ἄρτεμιν. ᾄδοντο δὲ Ἀθήνῃσι καὶ οἱ Χαρώνδου νόμοι παρ' οἶνον· ὡς Ἕρμιππός φησιν ἐν ἕκτῳ Περὶ Νομοθετῶν." Ἀριστοφάνης δ' ἐν Ἀττικαῖς φησι Λέξεσιν· „Ἱμαῖος, ᾠδὴ μυλωθρῶν· ἐν δὲ γάμοις, ὑμέναιος· ἐν δὲ πένθεσιν, ἰάλεμος. Λίνος δὲ καὶ αἴλινος, οὐ μόνον ἐν πέν- c θεσιν, ἀλλὰ καὶ ἐπ' εὐτυχεῖ μολπᾷ, [4] κατὰ τὸν Εὐριπίδην."

1 βουκολισμὸς ms. *Ep.* 2 φηλικίας ms. *A.* 3 Deeſt artic. edd. 4 μολπῷ edd. μολπῇ ms. *Ep.*

Hercule chorago. Erat rurſus alia eorum qui pecora in paſcua agunt, quae vocabatur *Bucoliaſmus:* quod genus primus reperit Diomus, bubulcus Siculus: meminit autem illius Epicharmus in Halcyone & in Ulyſſe naufrago. Cantus funebris & in rebus triſtibus, *olophyrmus* dicitur. Quae vero *iuli* vocantur cantica, Cereri & Proſerpinae dicata ſunt: in Apollinem autem hymnus, *philelias* vocatur, ut docet Teleſilla: *upingi* vero, hymni ſunt in Dianam. Canebantur vero Athenis etiam *Charondae leges* inter pocula; ut Hermippus ait ſexto libro De Legumlatoribus. « Ariſtophanes vero, in Dictionibus Atticis, ſcribit: »*Himaeus*, cantus molitorum: in nuptiis vero, *hymenaeus:* in luctu, *ialemus. Linus* vero & *aelinus*, non modo in rebus triſtibus, verum etiam in laeto cantu, ſecundum Euripidem. «

Κλέαρχος δ' ἐν πρώτῳ Ἐρωτικῶν, νόμιον καλεῖσθαί τινα, φησὶν, ᾠδὴν ἀπ' Ἠριφανίδος, γράφων οὕτως· „Ἠριφανὶς ἡ μελοποιὸς, Μενάλκου κυνηγετοῦντος ἐρασθεῖσα, ἐθήρευε μεταθέουσα ταῖς ἐπιθυμίαις. φοιτῶσα γὰρ καὶ πλανωμένη πάντας τοὺς ὀρείους [1] ἐπεξῄει δρυμοὺς, ὡς μῦθον εἶναι τοὺς λεγομένους Ἰοῦς [2] δρόμους· ὥστε μὴ μόνον τῶν ἀνθρώπων τοὺς ἀστοργίᾳ διαφέροντας, ἀλλὰ καὶ τῶν θηρῶν [3] τοὺς ἀνημερωτάτους συνδακρῦσαι τῷ πάθει, λαβόντας αἴσθησιν ἐρωτικῆς ἐλπίδος. ὅθεν ἐποίησέ τε, καὶ ποιήσασα περιῄει κατὰ τὴν ἐρημίαν, ὥς φασιν, ἀναβοῶσα καὶ ᾄδουσα τὸ καλούμενον νόμιον, ἐν ᾧ ἐστί· „Μακραὶ δρύες, ὦ Μέναλκα.“ Ἀριστόξενος δὲ ἐν τετάρτῳ Περὶ Μουσικῆς· „Ἦιδον, φησὶν, αἱ ἀρχαῖαι γυναῖκες Καλύκην τινὰ ᾠδήν. Στησιχόρου δ' ἦν ποίημα, ἐν ᾧ Καλύ-

XI. Singularia quaedam cantilenarum genera.

1 ὀρίους ms. *A*. 2 Ἰνοῦς edd. & mssti. 3 θηρίων edd.

11. Clearchus vero, libro primo Eroticorum, *nomium* (i. e. *paſtorale*) vocari ait canticum quoddam, ab Eriphanide ductum. Scribit autem in hunc modum: »*Eriphanis* poëtria melica, amore capta Menalcae venatoris, venabatur & ipſa, ſua perſequens deſideria. Discurrens igitur & errans omnia montana nemora emetiebatur, ita ut fabulae ſint *Iûs* qui dicuntur curſus, utque non modo hominum ii etiam qui naturalis omnis amoris maxime expertes erant, verum etiam belluarum feriſſimae malis illius illacrymarentur, ſenſu quodam amatoriae ſpei tactae. Itaque etiam carmina fecit, cum illisque per deſerta oberravit, ut aiunt, altâ voce clamans, cantansque *nomium* quod vocatur carmen, in quo eſt iſtud, *Ingentes quercus, o Menalca.*« Ariſtoxenus vero quarto libro de Muſicâ ſcribit: »Canebant priſcis temporibus mulieres *Calycam* quamdam cantilenam. Steſichorus carminis auctor fuit; in quo puella, cui Caly-

κή τις ὄνομα, ἐρῶσα Εὐάθλου νεανίσκου, σωφρόνως εὔχεται τῇ Ἀφροδίτῃ γαμηθῆναι αὐτῷ. ἐπεὶ δὲ ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. ἐγένετο δὲ τὸ c πάθος περὶ Λευκάδα. σωφρονικὸν δὲ πάνυ κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς παρθένου ἦθος, οὐκ ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανίσκῳ· ἀλλ' εὐχομένης, εἰ δύναιτο, γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία, ἢ, εἰ τοῦτο μὴ δυνατὸν, ἀπαλλαγῆναι τοῦ βίου." Ἐν δὲ τοῖς κατὰ βραχὺ Ὑπομνήμασιν ὁ Ἀριστόξενος· „Ἴφικλος, φησὶν, Ἁρπαλύκην ἐρασθεῖσαν ὑπερεῖδεν. ἡ δὲ ἀπέθανε, καὶ γίνεται ἐπ' αὐτῇ παρθένοις ᾠδῆς ἀγὼν, ἥτις Ἁρπαλύκη, φησὶ, καλεῖται." Νύμφις δ' ἐν πρώτῳ Περὶ Ἡρακλείας, περὶ Μαριανδυνῶν διη- f γούμενος, φησίν· „Ὁμοίως δὲ καὶ τῶν ᾠδῶν ἐνίας καταισήσειεν ἄν τις, ἃς ἐκεῖνοι κατά τινα ἐπιχωριαζομένην παρ' αὐτοῖς συνήθειαν ᾄδοντες, ἀνακαλοῦνται

ca nomen, amans iuvenem Euathlum, modeſte precatur Venerem, ut ſibi contingat ei nubere. Spreta vero a iuvene, voluntario ſuſpendio vitam finiit. Modeſtos autem admodum poëta mores depingit virginis; quae non omnino quolibet pacto nubere vult iuveni; ſed precatur, ut, fieri ſi poſſit, fiat Euathli ſponſa; ſin fieri id non poſſit, ut vitae ſuae imponatur finis. « In brevibus vero Commentariis idem Ariſtoxenus ait: »Iphiclus Harpalycam, amore ipſius captam, ſprevit. Quae cum moerore mortua eſſet, inſtitutum eſt in illius memoriam virginibus cantionis certamen; quod canticum *Harpalyca* vocatur. « Nymphis vero, primo libro de Heracleâ, de Maryandinis verba faciens, ait: »Similiter vero etiam animadvertat aliquis apud eos cantica quaedam, quae illi ex patrio inſtituto canentes invocant priſcum

τινα τῶν ἀρχαίων, προσαγορεύοντες Βῶρμον. [1] τοῦτον δὲ λέγουσιν υἱὸν γενέσθαι ἀνδρὸς ἐπιφανοῦς καὶ πλου-
a σίου, τῷ δὲ κάλλει καὶ τῇ κατὰ τὴν ἀκμὴν ὥρᾳ, πολὺ τῶν ἄλλων διενεγκεῖν· ὃν ἐφεστῶτα ἔργοις ἰδίοις, καὶ βουλόμενον τοῖς θερίζουσι δοῦναι πιεῖν, βαδίζοντα ἐφ' ὕδωρ ἀφανισθῆναι. ζητεῖν οὖν αὐτὸν τοὺς ἀπὸ τῆς χώρας μετά τινος μεμελωδημένου θρήνου καὶ ἀνακλήσεως, ᾧ καὶ νῦν ἔτι πάντες χρώμενοι διατελοῦσι. Τοιοῦτος δ' ἐστὶ καὶ ὁ παρ' Αἰγυπτίοις καλούμενος Μάνερως." [2]

XII. Rhapsodi & Homeristae.

Οὐκ ἀπελίποντο δὲ ἡμῶν τῶν συμποσίων οὐδὲ
b ῥαψῳδοί. ἔχαιρε γὰρ τοῖς Ὁμήρου ὁ Λαρήνσιος, ὡς ἄλλος οὐδὲ εἷς, ὡς λῆρον ἀποφαίνειν Κάσσανδρον [3] τὸν Μακεδονίας βασιλεύσαντα, περὶ οὗ φησι Καρύστιος ἐν ἱστορικοῖς Ὑπομνήμασιν, ὅτι οὕτως ἦν Φιλόμηρος, ὡς διὰ στόματος ἔχειν τῶν ἐπῶν τὰ πολλά· καὶ Ἰλιὰς

1 Βῶρχον edd. Βωρβον ms. *A.* Βόρβον ms. *Ep.* 2 Μάνερος edd. Apud alios vulgo Μανέρως. 3 Κάσανδρον edd. & ms. *Ep.*

aliquem *Bormum*, quem vocant. Hunc aiunt filium fuisse viri illustris & opulenti, formâ & aetatis flore insignem, & longe aliis omnibus praestantem. Eum rebus suis intentum, & opus facientes inspicientem, quum vellet potum dare messoribus, ad aquam profectum evanuisse. Hunc igitur quaesivisse, aiunt, cunctos illius regionis, cum lamentatione & invocatione, musicis modis comprehensa: qua etiam nunc omnes frequenter uti consueverunt. Eiusdem modi est Aegyptiorum illud canticum, quod *Maneros* nominatur.«

12. Porro conviviis nostris ne *Rhapsodi* quidem deerant. Homericis enim carminibus ita delectabatur Larensius, ut sit nemo qui cum eo conferri possit: ut prae illo nugas egisse Cassandrum Macedoniae regem putes; quem, in Historicis Commentariis tradit Carystius, adeo studiosum fuisse Homeri, ut maiorem carminum eius partem

ἦν αὐτῷ καὶ Ὀδυσσεία ἰδίως γεγραμμένη. Ὅτι δ' ἐκαλοῦντο οἱ ῥαψῳδοὶ καὶ Ὁμηρισταὶ, Ἀριστοκλῆς εἴρηκεν ἐν τῷ Περὶ Χορῶν. τοὺς δὲ νῦν Ὁμηριστὰς ὀνομαζομένους πρῶτος εἰς τὰ θέατρα παρήγαγε Δημήτριος ὁ Φαληρεύς. Χαμαιλέων δ' ἐν τῷ Περὶ Στησι- c
χόρου καὶ μελῳδηθῆναί φησιν, οὐ μόνον τὰ Ὁμήρου, ἀλλὰ καὶ τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου, ἔτι δὲ Μιμνέρμου καὶ Φωκυλίδου. Κλέαρχος δ' ἐν τῷ προτέρῳ Περὶ Γραφῶν· [1] „τὰ Ἀρχιλόχου,[2] φησὶν, ὁ Σιμωνίδης ὁ Ζακύνθιος ἐν τοῖς θεάτροις ἐπὶ δίφρου καθήμενος ἐῤῥαψῴδει.“ Λυσανίας δ' ἐν τῷ πρώτῳ Περὶ Ἰαμβοποιῶν, Μνασίωνα τὸν ῥαψῳδὸν, λέγει, ἐν ταῖς δείξεσι τῶν Σιμωνίδου τινὰς ἰάμβων ὑποκρίνεσθαι. τοὺς δ' Ἐμπεδοκλέους Καθαρμοὺς ἐῤῥαψῴδησεν Ὀλυμπιάσι Κλεο- d
μένης ὁ ῥαψῳδὸς, ὥς φησι Δικαίαρχος ἐν τῷ Ὀλυμπικῷ. Ἰάσων δ', ἐν τρίτῳ Περὶ τῶν Ἀλεξάνδρου Ἰε-

1 παραγράφων edd. περὶ Γρίφων coni. Caſ. 2 Ἀντιλόχου edd. & ms. *A*.

conſtanter in ore haberet: qui etiam Iliadem atque Odyſſeam proprio ſtudio ſibi ipſe deſcripſerat. *Rhapſodos* vero etiam *Homeriſtas* eſſe adpellatos, Ariſtocles ait in libro De Choris. Qui autem nunc Homeriſtae dicuntur, eos primus in theatris produxit Demetrius Phalereus. Chamaeleon vero in ſermone De Steſichoro ſcribit, iuſtis modulis decantari etiam ſolita eſſe non modo Homeri carmina, ſed & Heſiodi, & Archilochi, item Mimnermi & Phocylidis. Clearchus vero, priore libro De Picturis, ait: »Archilochi carmina in theatris decantavit Simonides Zacynthius, ſuper ſellâ ſedens.« Lyſanias vero, primo libro De Poëtis Iambicis, Mnaſionem rhapſodum, ait, in publicis recitationibus iambos Simonidis quosdam agere. Empedoclis vero Purgationes decantavit Olympiae Cleomenes rhapſodus, ut ait Dicaearchus in Olympico. Iaſon vero libro tertio De Alexandri ſolen-

ρῶν, ἐν Ἀλεξανδρείᾳ, φησὶν, ἐν τῷ μεγάλῳ θεάτρῳ ὑποκρίνασθαι Ἡγησίαν τὸν κωμῳδὸν τὰ Ἡροδότου· Ἑρμόφαντον δὲ τὰ Ὁμήρου.

XIII. Hilarodi, Simodi.

Καὶ οἱ καλούμενοι δὲ Ἱλαρῳδοὶ (οὓς νῦν τινες Σιμῳδοὺς [1] καλοῦσιν, ὡς Ἀριστοκλῆς φησιν ἐν πρώτῳ Περὶ Χορῶν, τῷ τὸν Μαγνῆτα Σῖμον [2] διαπρέψαι μᾶλλον τῶν διὰ τοῦ ἱλαρῳδεῖν ποιητῶν) συνεχῶς ε ἡμῖν ἐπιφαίνονται. καταλέγει δὲ ὁ Ἀριστοκλῆς καὶ τούσδε ἐν τῷ Περὶ Μουσικῆς, γράφων ὧδε· „Μαγῳδός· οὗτος δέ ἐστιν ὁ αὐτὸς τῷ λυσιῳδῷ.“ Ἀριστόξενος δέ φησι, τὸν μὲν ἀνδρεῖα καὶ γυναικεῖα πρόσωπα [3] ὑποκρινόμενον, μαγῳδὸν καλεῖσθαι· τὸν δὲ γυναικεῖα ἀνδρείοις, λυσιῳδόν· τὰ αὐτὰ δὲ μέλη ᾄδουσι, καὶ τἆλλα πάντα δ' ἐστὶν ὅμοια. Ὁ δὲ Ἰωνικὸς λόγος τὰ Σωτάδου καὶ τὰ πρὸ τούτου Ἰωνικὰ καλούμενα

Magodi, Lysiodi.

Sotades, poëta obscoenus.

1 Σημῳδοὺς ms. *Ep.* 2 Σῆμον h. l. mssti ambo. 3 Corrigunt viri docti: τὸν μὲν ἀνδρεῖα γυναικείοις προσώποις.

nibus Sacrificiis, [*sive*, de Alexandri Templis] ait, Alexandriae in magno theatro Hegesiam comoedum Historias Herodoti, Hermophantum vero Homeri carmina, recitasse egisseque.

13. Etiam *Hilarodi* qui vocantur (quos nunc *Simodos* nonnulli adpellant, ut ait Aristocles primo libro de Choris, eo quod Simus Magnes inter omnes, qui hoc genus *hilarium carminum* tractarunt, maxime excelluerat) frequenter nobis sese offerunt. Recenset autem etiam hos Aristocles, in libro de Musica, ita scribens: »*Magodus*: hic vero idem est atque *lysiodus*.« Aristoxenus vero ait, eum qui & virorum & mulierem personas agat, *magodum* vocari; qui vero mulierum partes sub persona virili, *lysiodum*: eadem vero carmina hi canunt; & reliqua omnia similia sunt. Ionicus vero sermo exhibet Sotadis poëmata, &, quae ante hunc *Ionica carmina* dicta sunt, Alex-

ποιήματα, Ἀλεξάνδρου τε τοῦ Αἰτωλοῦ, καὶ Πύρητος [1] τοῦ Μιλησίου, καὶ Ἀλέξου, καὶ ἄλλων τοιούτων ποιητῶν προφέρεται. καλεῖται δὲ οὗτος καὶ κιναιδολόγος. Ἤκμασε δὲ ἐν τῷ εἴδει τούτῳ Σωτάδης ὁ Μαρωνίτης, ὡς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ περὶ αὐτοῦ Σωτάδου συγγράμματι, καὶ ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. ἔγραψε δὲ καὶ οὗτος περὶ τῶν τοῦ πατρὸς ποιημάτων σύγγραμμα· ἐξ οὗ ἐστι κατιδεῖν τὴν ἄκαιρον παῤῥησίαν τοῦ Σωτάδου, κακῶς μὲν [2] εἰπόντος Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων. διόπερ τῆς δεούσης ἔτυχε τιμωρίας. ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας, ὡς φησιν Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι, καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον· εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινὰ, ἀτὰρ καὶ τόδε, ὅτε [3] τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει· f a

1 Πύῤῥου apud Suid. 2 Deeſt μὲν edd. 3 ὅτι ms. *A*.

andri Aetoli, & Pyretis Mileſii, & Alexae, & aliorum id genus poëtarum: vocatur autem hic etiam *cynaedologus*. Floruit autem in hoc genere *Sotades* Maronita, ut ait Caryſtius Pergamenus in libro quem de ipſo hoc Sotade edidit, item Sotadis filius Apollonius. Nam & hic de patris ſui carminibus librum edidit; e quo perſpicitur intempeſtiva Sotadis maledicendi licentia, qui Alexandriae probroſa dixit in Lyſimachum regem, apud Lyſimachum vero in Ptolemaeum Philadelphum, & adverſus alios reges aliis in urbibus. Quamobrem etiam meritas luit poenas. Navi enim profectum Alexandriâ, ut tradit Hegeſander in Commentariis, cum videretur effugiſſe periculum, (nam & multa alia in regem Ptolemaeum acerba dixerat, tum & iſtud, poſtquam ſororem Arſinoën duxiſſet uxorem:

Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖ. [1]

Πάτροκλος οὖν ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν αὐτὸν, καὶ εἰς μολυβῆν [2] κεραμίδα ἐμβαλὼν, καὶ ἀναγαγὼν [3] εἰς τὸ πέλαγος, κατεπόντωσε. Τοιαύτη δ' ἐστὶν αὐτοῦ ἡ ποίησις· Θεοδώρου τοῦ
b αὐλητοῦ [4] Φίλητος [5] ἦν πατὴρ, εἰς ὃν ταῦτα ἔγραψεν·

Ὁ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθεν λαύρης,
διὰ δενδροφόρου [6] φάραγγος ἐξέωσε βροντὴν
ἠλέματον, οἵην ἀροτὴρ γέρων χαλᾷ βοῦς.

XIV. Honestior hilarodus magodo.

Σεμνότερος δὲ τῶν τοιούτων ἐστὶ ποιητῶν ὁ ἱλαρῳδὸς καλούμενος. οὐδὲ γὰρ [7] σχινίζεται· [8] χρῆται δ' ἐσθῆτι λευκῇ ἀνδρείᾳ, καὶ στεφανοῦται χρυσοῦν στέφανον· καὶ τὸ μὲν παλαιὸν ὑποδήμασιν ἐχρῆτο, ὥς φησιν ὁ Ἀριστοκλῆς, νῦν δὲ κρηπῖσι. ψάλλει δ' αὐτῷ ἄῤῥην ἢ θήλεια, ὡς καὶ τῷ αὐλῳδῷ. δίδοται δὲ

1 ἀθεῖς edd. ὠθεῖ ms. *A.* 2 μολιβῆν ms. *Ep.* μολύβην edd. 3 ἀπαγαγὼν ms. *Ep.* 4 Deerat vox ed. Ven. & Baf. 5 Φιλῖνος ms. *Ep.* 6 ἐκ δενδρ. edd. 7 οὐδὲν γὰρ edd. 8 σχοινίζεται coniectabant nonnulli.

Nefandum foramen ſtimulo pertundit:)

captum in Cauno inſula Patroclus, dux Ptolemaei, plumbeo vaſe incluſum, & in altum abductum, mari merſit. Eſt autem poëſis illius huiusmodi: Theodori tibicinis pater Philenus fuit, in quem haec ſcripſit:

Aperiens ille foramen poſterioris angiportus
per frondoſam convallem extudit tonitru
brutum, quale laxet ſenex arator bos.

14. Gravior vero honeſtiorque poëtis huiusmodi eſt *hilarodus.* Nec enim molliter aut indecore agit: utitur autem virili veſte candida, & auream geſtat coronam: & olim quidem calceamentis utebatur, ut ait Ariſtocles; nunc vero crepidis. Lyram ei pulſat mas aut foemina; quemadmodum & auloedo ſive mas ſive foemina tibiis ſuccinit. Corona autem tribuitur hilarodo, [*ſi-*

ὁ στέφανος τῷ ἱλαρῳδῷ καὶ τῷ αὐλῳδῷ· οὐ τῷ ψάλ- c
τῃ, οὐδὲ τῷ αὐλητῇ. Ὁ δὲ μαγῳδὸς καλούμενος,
τύμπανα ἔχει, καὶ κύμβαλα, καὶ πάντα τὰ περὶ
αὐτὸν ἐνδύματα γυναικεῖα· σχινίζεταί τε, καὶ πάντα
ποιεῖ τὰ ἔξω κόσμου, ὑποκρινόμενος ποτὲ μὲν γυναῖ-
κα,[1] καὶ μοιχούς, καὶ μαστροπούς· ποτὲ δὲ ἄνδρα
μεθύοντα, καὶ ἐπὶ κῶμον [2] παραγενόμενον πρὸς τὴν
ἐρωμένην.[3] Φησὶ δὲ ὁ Ἀριστόξενος, τὴν μὲν ἱλαρῳδίαν,
σεμνὴν οὖσαν, παρὰ τὴν τραγῳδίαν εἶναι· τὴν δὲ μαγ-
ῳδίαν, παρὰ τὴν κωμῳδίαν. πολλάκις δὲ οἱ μαγῳ- d
δοὶ καὶ κωμικὰς ὑποθέσεις λαβόντες, ὑπεκρίθησαν
κατὰ τὴν ἰδίαν ἀγωγὴν καὶ διάθεσιν. ἔσχε δὲ τοὔνο-
μα ἡ μαγῳδία ἀπὸ τοῦ οἰονεῖ μαγικὰ [4] προφέρε-
σθαι,[5] καὶ φαρμάκων ἐμφανίζειν δυνάμεις.

XV. Παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις
Diceliſtae apud Lacedaemonios. τρόπος παλαιὸς, ὡς φησι Σωσίβιος, οὐκ ἄγαν σπου-

1 γυναῖκας ms. *Ep.* 2 Forſ. ἐπίκωμον unâ voce. 3 εἰς τὴν ἐρ. ms. *Ep.* 4 μαγικά τινα *Epit.* 5 προσφέρεσθαι ms. *Ep.*

ve hilaroedum *dicere malueris*] quemadmodum & auloedo; non lyram pulſanti, nec tibicini. Qui vero *magodus* vocatur, is tympana habet, & cymbala, & omnia circa ipſum indumenta muliebria: & molliter ille agit, & omnia facit quae parum modeſta ſunt; modo mulieris partes agens, aut moechi, aut lenonis; modo viri ebrii, aut comeſſatum euntis ad amaſiam. Dicit autem Ariſtoxenus, hilarodiam, cum ſit gravior, eſſe imitationem quamdam tragoediae; magodiam vero, comoediae. Saepe vero etiam magodi comica ſumentes argumenta, ex ſuo inſtituto habituque illa agebant. Nomen autem inde invenit *magodia*, quod veluti magica quaedam proferat, & medicamentorum vires declaret.

15. Apud Lacedaemonios vero, ut ait Soſibius, eſt comici ludicri genus quoddam vetuſtum, non magni uti-

δαῖος, ἅτε δὴ καὶν τούτοις τὸ λιτὸν τῆς Σπάρτης μεταδιωκούσης. ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ λέξει κλέπτοντάς τινας ὀπώραν, ἢ ξενικὸν ἰατρὸν τοιαυτὶ [1] λέγοντα, ὡς Ἄλεξις ἐν Μανδραγοριζομένῃ διὰ τούτων παρίστησιν·

— Ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ, τρυβλίον τούτῳ δότε
πτισάνης ἕωθεν, καταφρονοῦμεν εὐθέως·
ἐὰν δὲ πτισάναν καὶ τρυβλίον,[2] θαυμάζομεν.
καὶ πάλιν, ἐὰν μὲν σευτλίον, παρείδομεν·
ἐὰν δὲ τευτλίον, ἀσμένως ἠκούσαμεν·
ὡς οὐ τὸ σεῦτλον ταυτὸν ὂν τῷ τευτλίῳ.

Ἐκαλοῦντο δὲ οἱ μετίοντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δικηλισταὶ,[3] ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς. τοῦ δὲ εἴδους τῶν δικηλιστῶν πολ-

1 τοιαῦτα ms. *Ep.* τοιοῦτό τι malebam. 2 Forſ. λιδρίον.
3 δεικηλισταὶ *Epit.*

que ſtudii, nam in his quoque tenuitatem ſequitur Sparta. Imitabatur enim aliquis tenui dictione quosdam, qui arborum fructus furantur, aut medicum peregrinum tale quidpiam dicentem, quale Alexis in Muliere-mandragoris-utente indicat his verbis:

— *Indigena ſi*
medicus dicat, patinam huic date
ptiſanae mane; ſpernimus ſtatim:
ſin peregrino idiomate eadem pronunciet, miramur.
Rurſus ſi quis betam σευτλίον dicat, contemnimus:
ſin τευτλίον, libenter tunc audimus:
quaſi non idem eſſet σεῦτλον atque τευτλίον.

Vocabantur autem qui hoc ludicrum exercebant apud Lacedaemonios, *diceliſtae*; quaſi quis dicat, *qui adparatus ſcenicos & perſonas conficiunt*, aut *imitatores*. Sunt autem eiusdem generis *diceliſtarum* diverſa diverſis locis

λαὶ κατὰ τόπους εἰσὶ προσηγορίαι. Σικυώνιοι μὲν γὰρ Φαλλοφόρους αὐτοὺς καλοῦσιν, ἄλλοι δ' αὐτοκαβδάλους· οἱ δὲ Φλύακας,[1] ὡς Ἰταλοί· σοφιστὰς δὲ οἱ πολλοί· Θηβαῖοι δὲ, τὰ πολλὰ[2] ἰδίως ὀνομάζειν εἰωθότες, ἐθελοντάς. Ὅτι δὲ καινουργοῦσι κατὰ τὰς Φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων·

Thebanorum propria nomenclatura.

Ξυνίετ' οὐδὲν, πᾶσα Θηβαίων πόλις,
οὐδέν ποτ' ἄλλ'· [3] οἱ πρῶτα μὲν τὴν σηπίαν
ὀπιτθοτίλαν, ὡς λέγουσιν, ὀνομάζετε·
τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σακτὰν,[4] βλέφυραν [5] δὲ τὴν γέφυραν, τῦκα δὲ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δ' ἐκκριδδέμεν,[6]
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.[7]

1 φλοίακας ms. *Ep.* inter lin. 2 κατὰ πολλὰ ed. Ven. & Baſ. 3 ἄλλο ms. *A.* 4 σάκταν *Epit.* 5 φλέφυραν edd. 6 δὲ ἐκκριδδαίωμεν Ms. δὲ χριαδέμεν corr. Caſ. Forſ. δὲ χριδδέμεν oportuerat. 7 Deeſt edd. poſtremum verbum.

nomina. Sicyonii enim *phallophoros* nominant; alii *autocabdalos*; (quaſi *improviſatores*;) alii *phlyacas*, ut Itali: vulgus vero *ſophiſtas* vocat: Thebani autem, qui plerisque rebus propria imponere nomina ſolent, ἐθελοντάς. (*voluntarios* aut *ſpontaneos*.) Multa autem innovare Thebanos in dictionibus, Strattis oſtendit in Phoeniſſis, ubi ait:

Nihil noſtis, cuncti Thebarum cives,
nihil quidquam aliud: qui primum quidem ſepiam
opithotilam, ut audio, nominatis;
gallum gallinaceum vero ortalichon; medicum vero
ſactam; blephyram, pontem; tyca vero
ficos; cotiladas, hirundines;
buccam, acolon; ridere, cridere;
neaſpatoton, calceum cui recens ſuppacta ſolea.

XVI. Iambi. Ithyphalli, & Phallophori.

Σῆμος δ' ὁ Δήλιος ἐν τῷ περὶ Παιάνων· „Οἱ
b αὐτοκάβδαλοι, φησὶν, καλούμενοι, ἐστεφανωμένοι κιττῷ σχέδην [1] ἐπέραινον [2] ῥήσεις. ὕστερον δὲ ἴαμβοι ὠνομάσθησαν αὐτοί τε καὶ τὰ ποιήματα αὐτῶν. Οἱ δὲ ἰθύφαλλοι, φησὶ, καλούμενοι, προσωπεῖον μεθυόντων ἔχουσιν, καὶ ἐστεφάνωνται, χειρίδας ἀνθινὰς ἔχοντες· χιτῶσι δὲ χρῶνται μεσολεύκοις, καὶ περιέζωνται ταραντῖνον [3] καλύπτον αὐτοὺς μέχρι τῶν σφυρῶν. σιγῇ δὲ διὰ τοῦ πυλῶνος εἰσελθόντες, ὅταν κατὰ μέσην τὴν ὀρχήστραν γένωνται, ἐπιστρέφουσιν εἰς τὸ θέατρον λέγοντες·

c Ἀνάγετ', εὐρυχωρίαν [4]
ποιεῖτε τῷ θεῷ.
ἐθέλει γὰρ ὁ θεὸς ὀρθὸς ἐσφυρωμένος [5]
διὰ μέσου βαδίζειν.

1 αὐτοσχέδην malebam cum Corayo. 2 ἐπέρραινον edd. cum ms. *A*. 3 ταραντίνιον edd. 4 Primum versum sic constituendum coniectavit Tyrwh.
Ἀνάγετ', ἀνάγετε χῶμον, εὐρυχωρίαν
5 An ἐσφηκωμένος? aut ἐσφηνωμένος?

16. Semus Delius vero, in libro de Paeanibus: »Qui *autocabdali*, inquit, vocantur, hi hederâ caput cincti, lente ingredientes, [*sive*, ex tempore] versus recitabant. Iidem postea *iambi* nominati sunt, cum ipsi, tum eorum carmina. Qui *ithyphalli* vocantur, ait, personas induunt ebriorum, coronanturque [& ipsi hederâ,] manicas habentes variegatas, tunicis vero utuntur medio albo intertexto, & Tarentina stola cinguntur, quae ad malleolos pedis usque eos tegit. Hi tacite maiorem portam ingressi, postquam circa mediam sunt orchestram, versus theatrum se convertunt, dicentes:

Decedite de via, latum spatium
praebete Deo!
vult enim Deus rectus malleo ductus [sive, *cuneatus*]
per medium ingredi.

Οἱ δὲ Φαλλοφόροι, φησὶ, προσωπεῖον μὲν οὐ λαμβάνουσι, προπόλιον [1] δὲ ἐξ ἐρπύλλου περιτιθέμενοι, καὶ παιδέρωτας ἐπάνω τούτου ἐπιτίθενται, στέφανόν τε δασὺν ἴων καὶ κιττοῦ· αὔναξ τε [2] περιβεβλημένοι, παρέρχονται, οἱ μὲν ἐκ παρόδου, οἱ δὲ κατὰ μέσας τὰς θύρας, [3] βαίνοντες ἐν ῥυθμῷ, καὶ λέγοντες·

Σοὶ, Βάκχε, τάνδε μοῦσαν ἀγλαΐζομεν,
ἁπλοῦν ῥυθμὸν χέοντες αἰόλῳ μέλει,
καὶ μὰν ἀπαρθένευτον. οὔτι ταῖς πάρος
νεχρήμεθα μὰν ᾠδαῖσιν, [4] ἀλλ' ἀκήρατον
κατάρχομεν τὸν ὕμνον. d

εἶτα προτρέχοντες [5] ἐτώθαζον οὓς ἂν προέλοιντο, στάδην δὲ ἔπραττον· ὁ δὲ Φαλλοφόρος ἰθὺ βαδίζων, καταπλησθεὶς αἰθάλῳ."

XVII. Ἐπεὶ δὲ ἐνταῦθα τοῦ λόγου ἐσμὲν, οὐκ ἄξιον ἡγοῦ-

1 Forſ. προβόλιον. 2 Immo καυνάκας τε. 3 τὰς χεῖρας edd. 4 κεχρήμεθα πανώδασιν edd. νῦν ᾠδαῖσιν coni. Caſ. κεχρημε πανωδαισιν Ms. 5 προστρέχοντες edd.

Phallophori vero, inquit, perſonam quidem non induunt, ſed tegmen quoddam ſibi circumponunt ex ſerpillo, cui paederotas (acanthos) inſuper imponunt, ſpiſſamque coronam ex violis & hedera: & caunacis amicti prodeunt, alii a latere, alii mediâ portâ egredientes, modulato greſſu incedentes, dicentesque:

Tibi, Bacche, hancce Muſam ornamus,
ſimplicem rhythmum fundentes vario carmine,
virginibus quidem non convenientem. Nec vero priſtinis
utimur cantibus, ſed illibatum
auſpicamur hunc hymnum.

Deinde procurrentes, ſannis inſectabantur quoscumque voluiſſent: & ſtando hoc agebant: is autem qui ipſum phallum geſtabat, lente incedens, & fuligine impletus."

17. Quoniam vero in hoc verſatur noſtra disputa-

μαι παραλιπεῖν τὰ περὶ Ἀμοιβέως, τοῦ καθ' ἡμᾶς κιθαρῳδοῦ, ἀνδρὸς τεχνίτου κατὰ νόμους τῆς μουσικῆς. οὗτός ποτε βράδιον ἥκων ἐπὶ τὸ συμπόσιον ἡμῶν, e ὡς ἔμαθεν παρά τινος τῶν οἰκετῶν ἀποδειπνήσαντας, ἐβουλεύετο τί χρὴ ποιεῖν, ἕως παρελθὼν ὁ Σόφων αὐτῷ μάγειρος γεγωνότερον ἐφθέγγετο, [1] ὡς πάντας ἀκούειν, τὰ ἐξ Αὔγης ἔπη Εὐβούλου· Sero veniens ad coenam.

Τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις [2] ἔτι, Coculi ῥῆσις.
ἀλλ' οὐ βαδίζεις; τοῖσδε γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόηται [3] γαστρὸς ἐν μέσῳ κύκλος, 5
κατησίμωται πάντα τ' ἀκροκώλια,
f ἐνωγάλισται σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,

1 γεγονώτερον δ' ἔφθεγγ. vulgo. 2 πάλαις edd. 3 κατηλόϊσται ms. A.

tio, ne illud quidem alienum fuerit commemorare quod Amoebeo accidit, noſtrae aetatis citharoedo, viro muſicorum modorum inſigniter perito. Is aliquando ſero veniens ad noſtrum convivium, cum cognoviſſet e famulorum quodam coenae finem eſſe factum, deliberavit quid faceret, donec prodiens Sophon coquus alta voce, ut omnes exaudirent, Eubuli hos verſiculos ex Auge ei recitavit:

Quid, miſer, ſtas ad fores adhuc,
nec vero intras? Iſtis fortiter dudum
diſcerpta ſunt anſerum calida membra,
diſciſſa praeclara porcellorum fruſta,
comminutus medius in ventre orbis,
abſumti omnes trunculi,
abliguritum inſigne lucanicae ſegmen,
vorata eſt aſſata loligo,

παρεγκέκαπται σταμνί' [1] ἐννέ' ἢ δέκα.
ὥστ', εἴ τι [2] βούλει τῶν λελειμμένων φαγεῖν,
ἔπειγ', ἔπειγε, μή ποθ', ὡς λύκος χανών,
καὶ τῶνδ' ἁμαρτὼν, ὕστερον συχνὸν δράμῃς.

Lupus hians.

Πάντ' ἐστιν ἡμῖν· —

κατὰ τὸν ἥδιστον Ἀντιφάνην, ὃς ἐν τῷ Φιλοθηβαίῳ φησίν·

— ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης, ἔγχελυς Βοιωτία,
τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης,
χλιαίνετ', αἴρεθ', ἕψεται, [3] παφλάζεται,
προσκάεθ'· ὥστε μηδ' ἂν εἰ χαλκοῦς [4] ἔχων
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν [5] πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
Λέγεις μάγειρον ζῶντα. [6] πλησίον δέ γε

Coquus apud Antiphanem.

a

1 στάρνι' edd. στέρανι' Ms. στερνί' coni. Caſ. 2 ὥστ' ἐπεὶ ed. Ven. & Baſ. cum msstis. 3 χλιαίνεται, ἐξαίρεται ed. Caſ. & caret ἕψεται. 4 χαλκεῦς edd. χαλκεῦς ms. *Ep.* 5 ἐξέλθοι πάλιν ed. Caſ. cum *Epit.* 6 λέγεις μάγειρε τ' ὄντα coni. Dalec.

exhauſta doliola novem aut decem.
Quare ſi quid comedere reliquiarum cupis,
propera iam, propera, ne velut hians lupus,
hisce cum excideris, diu deinde curras.

Omnia ſunt nobis: —

ut ait ſuaviſſimus Antiphanes in Philothebano:

— *nam & cognominis*
huius quae intus eſt, anguilla Boeotia
diſſecta cavo in fundo cacabi
tepet, tumet, elixatur, aeſtuat,
fervet: ita ut ne aeneum quidem habens
naſum ſi quis introierit, egrediatur rurſus
facile; adeo eximium eiaculatur vaporem.
Dicis vivere coquum? Tum prope illam

ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ' ὅλην
κεστρεὺς, λεπισθεὶς, καταπλυθεὶς,[1] χρωσθεὶς,
στραφεὶς,[2]
ὁμοῦ τι πρὸς τέλος μέρος δρόμου περῶν,
b σίζει[3] κεκραγὼς, παῖς δ' ἐφέστηκεν ῥάνων[4]
ὄξει· Λίβυς τε καυλὸς ἐξηρασμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.
Εἶτ' οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές.
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασσωμένους,[5]
σοῦ ταῦτα συστρέφοντος. Ἥ τε σύννομος
τῆς κυφονώτου[6] σῶμ'[7] ἔχουσα σηπίας,[8]
ξιφηφόροισι[9] χερσὶν ἐξωπλισμένη
τευθὶς, μεταλλάξασα λευκαυγῆ φύσιν
σαρκὸς πυρωτοῖς[10] ἀνθράκων ῥαπίσμασι,[11]

1 καὶ πασθεὶς ed. Ven. & Baſ. καὶ σπασθεὶς ed. Caſ. σπασθεὶς, abſque καὶ, mssti. 2 στραφεὶς, χρωσθεὶς mssti. χρισθεὶς coni. Dalec. *oleo perunctus.* 3 ἤξει edd. cum ms. *A.* 4 ῥαίνων *Epit.* 5 μασωμένους ms. *Ep.* Nobis non liquet. 6 κουφονώτου vulgo. 7 σχῆμ' corr. Kopp. 8 σηπία edd. cum ms. *A.* 9 ξιφιφόροισι ms. *Ep.* 10 πυρωθεὶς edd. Unde πυρωθεῖσ' corrigunt viri docti. 11 ῥιπίσματι corrigunt.

vero eſt impaſtus diem noctemque totam
mugil, deſquamatus, elotus, coloratus, converſus,
qui partem curſus iam fere ad finem confecit,
ſtridens alta voce, adſtat vero puer irrorans
aceto. Tum Libycus caulis ſilphii
ſiccatus radiis coeleſtibus prope eſt.
Et ſunt qui nihil poſſe incantatores dicant?
Ego enim iam tres video manducantes,
dum tu haec contorques. Et vitae-ſocia
gibboſae corpus [ſive, *formam*] *habens ſepiae*
manibus gladios-ferentibus armata
loligo, mutatâ carnis candidâ
naturâ ignitis prunarum ictibus,

ξανθαῖσιν αὔραις [1] σῶμα πᾶν ἀγάλλεται, c
δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
ὥστε γ' εἴσιθι· [2]
Μὴ μέλλε, χώρει. δεῖ γὰρ ἡριστηκότας
πάσχειν, ἐὰν δὴ καὶ παθεῖν ἡμᾶς δέῃ.
Καὶ ὃς πάνυ ἐμμελέστατα ἀπαντήσας αὐτῷ, ἀνεφώνησε τὰ ἐκ τοῦ Κλεάρχου Κιθαρῳδοῦ τάδε·
Γόγγρῳ τε λευκῷ [3] πᾶσί τε [4] τοῖς κολλώδεσι
βρόχθιζε. τούτοις γὰρ τρέφεται τὸ πνεῦμα, καὶ
τὸ φωνάριον ἡμῶν περίσαργον [5] γίνεται.
Κρότου δ' ἐπὶ τούτοις γενομένου, καὶ πάντων ὁμοθυ- d
μαδὸν αὐτὸν καλεσάντων, εἰσελθὼν καὶ πιὼν, ἀναλαβών τε τὴν κιθάραν, εἰς τοσοῦτον ἡμᾶς ἦσεν, ὡς πάντας θαυμάζειν τήν τε κιθάρισιν, μετὰ τῆς τέχνης ταχίστην οὖσαν, καὶ τῆς φωνῆς τὴν ἐμμέλειαν. ἐμοὶ

1 αὐγαῖς corr. vir doctus. 2 ὥστ' εἴσιθι edd. 3 Γόγγρον τε λευκὸν edd. 4 *Deest* τε vulgo. 5 Corrigunt περίαυγον, περιαυγὲς, περίλαμπρον. Forſ. περίσαρκον.

flavis auris [ſive, *ſplendoribus*] *totum corpus ſuum ornat, coenae praenunciam famem provocans.*

Quare introgredere.

Ne cunctare; accede! Oportet enim prianſos pati, ſi forte patiendum nobis ſit aliquid.

Cui ille perapte reſpondit, iſta ex Clearchi Citharoedo recitans:

Gongro albo, & ſi quid aliud viſcidum, veſcere. His enim ſpiritus alitur, & ſonora fit vox noſtra.

Super his exorto plauſu, omnibus uno conſenſu intro eum vocantibus, ingreſſus bibit, ſumtâque citharâ adeo nos delectavit, ut omnes & in pulſanda cithara ſolertiam hominis agilitatemque, & vocis concinnam ſuavitatem admirarentur. Nam mihi quidem nulla par-

μὲν γὰρ οὐδὲν ἐλάττων εἶναι νομίζεται τοῦ παλαιοῦ Ἀμοιβέως, ὃν φησιν Ἀριστέας ἐν τῷ Περὶ Κιθαρῳδῶν, ἐν Ἀθήναις κατοικοῦντα, καὶ πλησίον τοῦ θεάτρου οἰκοῦντα, εἰ ἐξέλθοι[1] ἀσόμενος, τάλαντον Ἀττικὸν τῆς ἡμέρας λαμβάνειν. Amoebeus citharoedus olim celeberrimus.

XVIII. Laus Musicae.

e Περὶ δὲ Μουσικῆς τῶν μὲν τάδε λεγόντων, ἄλλων δ' ἄλλα γ'[2] ὀσημέραι, πάντων δ' ἐπαινούντων τὴν παιδιὰν[3] ταύτην, Μασούριος ὁ πάντα ἄριστος καὶ σοφὸς (καὶ γὰρ νόμων ἐξηγητὴς οὐδενὸς δεύτερος, καὶ περὶ μουσικὴν ἐνδιατρίβων ἀεί· ἅπτεται γὰρ καὶ τῶν ὀργάνων) ἔφη· ὁ μὲν κωμῳδιοποιὸς Εὔπολις, ἄνδρες φίλοι, φησί·

„Καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον, ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις."

διόπερ καὶ Ἀναξίλας ἐν Ὑακίνθῳ φησίν·

1 ὅτε ἐξέλθοι edd. 2 ἄλλων δέ γ' ἄλλα ed. Caſ. 3 παιδείαν corr. Caſaub.

te inferior videtur priſco illo *Amoebeo*, quem Ariſteas in libro de Citharoedis ait, cum in ipſa Athenarum urbe prope theatrum habitaret, ſi quando cantatum prodiiſſet, talentum Atticum in ſingulos dies accepiſſe.

18. De *Muſica* cum alii haec disputarent, alii vero alia quotidie, omnes autem cum laudarent hoc genus ludicri; tum vero Maſurius, vir longe optimus ſapientiſſimusque (etenim & legum interpres eſt nulli ſecundus, & Muſicae aſſidue operam navat; nam & ipſe quoque inſtrumenta muſica tractat) ita infit: Comicus poëta Eupolis, amici, ait:

Subtile quiddam & varium eſt Muſica: & his, qui ingenio pollent, ſemper aliquid ſuppeditat novi.

Quare etiam Anaxilas in Hyacintho ait:

Ἡ μουσικὴ δ' ὥσπερ Λιβύη πρὸς τῶν θεῶν, f
αἰεί τι [1] καινὸν κατ' ἐνιαυτὸν τίκτει θηρίον.

„Μέγας γὰρ, ὦ μακάριοι, κατὰ τὸν Θεοφίλου Κιθαρῳδὸν, θησαυρός ἐστι καὶ βέβαιος ἡ μουσικὴ ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε." Καὶ γὰρ τὰ ἤθη παιδεύει, καὶ τοὺς θυμοειδεῖς καὶ τὰς γνώμας διαφόρους καταπραΰνει. „Κλεινίας γοῦν ὁ Πυθαγόρειος, [2] ὡς Χαμαιλέων ὁ Ποντικὸς ἱστορεῖ, καὶ τῷ βίῳ [3] καὶ a
τοῖς ἤθεσι διαφορῶν, [4] εἴ ποτε συνέβαινε χαλεπαίνειν αὐτὸν δι' ὀργὴν, ἀναλαμβάνων τὴν λύραν ἐνιθάριζε. πρὸς δὲ τοὺς ἐπιζητοῦντας τὴν αἰτίαν, ἔλεγε πραΰνομαι. καὶ ὁ Ὁμηρικὸς δὲ Ἀχιλλεὺς τῇ κιθάρᾳ κατεπραΰνετο, ἣν αὐτῷ ἐκ τῶν Ἠετίωνος λαφύρων μόνην Ὅμηρος χαρίζεται, καταστέλλειν τὸ πυρῶδες αὐτοῦ δυναμένην. μόνος γοῦν ἐν Ἰλιάδι ταύτῃ χρῆται τῇ μουσικῇ." Ὅτι δὲ καὶ νόσους ἰᾶται μουσικὴ, Θεόφρα-

Morbis medetur Muſica.

1 ἀεί τι edd. cum ms. *Ep.* 2 Πυθαγόριος ms. *A.* 3 καὶ τῇ γνώμῃ ms. *Ep.* 4 διαφέρων corr. Caſaub.

Ars muſica, aedepol, pariter ut terra Africa,
novum quotannis aliquod portentum parit.

Etenim, o optimi, ſecundum Theophili Citharoedum,

Ingens theſaurus & ſtabilis eſt Muſica
cunctis recte doctis eruditisque.

Namque mores inſtruit, & iracundos & altercantes lenit. »Clinias ſane Pythagoreus, (ut refert Chamaeleon Ponticus) vir & vitâ & moribus eximius, ſi quando ei accidiſſet ut irâ exaſperaretur, lyram capeſſebat, eaque canebat; &, ſi quis cur id faceret rogaſſet, reſpondebat, *miteſco*. Pariter Homericus Achilles citharâ leniebatur, quam illi ex Eëtionis ſpoliis Homerus tribuit, quae una eam vim habebat ut igneam eius vehementiam poſſet cohibere. Unus ille certe in Iliade hoc genere muſices utitur.« Sed & morbis mederi Muſicam docuit

στος ἱστόρησεν ἐν τῷ Περὶ Ἐνθουσιασμοῦ, ἰσχιακοὺς
b φάσκων ἀνόσους διατελεῖν, εἰ καταυλήσοι τις τοῦ τόπου τῇ Φρυγιστὶ ἁρμονίᾳ. ταύτην δὲ τὴν ἁρμονίαν Φρύγες πρῶτοι εὗρον καὶ μετεχειρίσαντο. διὸ καὶ τοὺς παρὰ τοῖς Ἕλλησιν αὐλητὰς, Φρυγίους καὶ δουλοπρεπεῖς τὰς προσηγορίας ἔχειν· οἵός ἐστιν ὁ παρὰ Ἀλκμᾶνι Σάμβας, καὶ Ἄδων, καὶ Τῆλος· παρὰ δὲ Ἱππώνακτι Κίων, καὶ Κώδαλος, καὶ Βάβυς, ἐφ' ᾧ καὶ ἡ παροιμία ἐπὶ τῶν αἰεὶ [1] πρὸς τὸ χεῖρον αὐλούντων· [2] „Κάκιον [3] ἢ Βάβυς αὐλεῖ." ὁ δ' Ἀριστόξενος τὴν εὕρεσιν αὐτῆς Ὑάγνιδι τῷ Φρυγὶ ἀνατίθησιν. Phrygia harmonia.

c Ἡρακλείδης δὲ ὁ Ποντικὸς, ἐν τρίτῳ Περὶ Μουσικῆς· „Οὐ δ' ἁρμονίαν, φησὶ, δεῖν καλεῖσθαι τὴν Φρύγιον, καθάπερ οὐδὲ τὴν Λύδιον. ἁρμονίας γὰρ εἶναι τρεῖς. τρία γὰρ καὶ γενέσθαι Ἑλλήνων γένη, Δω- XIX. Tres modi muſici: Doricus, Aeolicus & Ionicus.

1 ἀεὶ edd. cum ms. *Ep.* 2 Forſ. ἀσκούντων. 3 καὶ Κίων ed. Ven. & Baſ. cum ms. *A.* καὶ κάκιον ms. *Ep.*

Theophraſtus, in libro de Enthuſiaſmo; ubi ait, iſchiacos morbo liberari, ſi quis adverſus eum locum, in quo eſt morbi ſedes, Phrygiam harmoniam tibiis accinat. Iſtam harmoniam primi invenere tractavereque Phryges: quo etiam factum, ut tibicinibus apud Graecos Phrygia ſint nomina & ſervilia: qualia ſunt apud Alcmanem, Sambas, & Adon, & Telus; apud Hipponactem vero Cion, & Codalus, & Babys; a quo obtinuit proverbium in hos dici ſolitum, qui ſemper peius tibiâ canunt: [*ſive*, qui male exercent artem:] *Peius quam Babys tibiâ canit.* Ariſtoxenus vero Phrygiae harmoniae inventionem Hyagnidi Phrygi tribuit.

19. Heraclides vero Ponticus tertio libro de Muſica: »Ne *harmoniam* quidem nominari debere, ait, *Phrygiam*, quemadmodum nec *Lydiam*. Tres enim eſſe harmonias. *Tria* enim etiam fuiſſe *genera Graecorum*, *Dores*, *Aeoles*,

ριεῖς, Αἰολεῖς, Ἴωνας. οὐ μικρᾶς οὖν οὔσης διαφορᾶς ἐν τοῖς τούτων ἤθεσιν, Λακεδαιμόνιοι μὲν [1] μάλιστα τῶν ἄλλων Δωριέων τὰ πάτρια διαφυλάττουσι· Θεσσαλοὶ δὲ [2] (οὗτοι γάρ εἰσι τὴν ἀρχὴν τοῦ γένους Αἰολεῦσι μεταδόντες) παραπλήσιον ἀεὶ ποιοῦνται τοῦ βίου τὴν ἀγωγήν· Ἰώνων δὲ τὸ πολὺ πλῆθος ἠλλοίωται, d διὰ τὸ συμπεριφέρεσθαι τοῖς ἀεὶ δυναστεύουσιν αὐτοῖς τῶν βαρβάρων. Τὴν οὖν ἀγωγὴν τῆς μελῳδίας, ἣν οἱ Δωριεῖς ἐποιοῦντο, Δώριον ἐκάλουν ἁρμονίαν· ἐκάλουν δὲ καὶ Αἰολίδα ἁρμονίαν, ἣν Αἰολεῖς ἥδον· Ἰαστὶ δὲ τὴν τρίτην ἔφασκον, ἣν ἤκουον ᾀδόντων τῶν Ἰώνων. Ἡ μὲν οὖν Δώριος ἁρμονία τὸ ἀνδρῶδες ἐμφαίνει καὶ τὸ μεγαλοπρεπὲς, καὶ οὐ διακεχυμένον, οὐδ' ἱλαρὸν, ἀλλὰ σκυθρωπὸν καὶ σφοδρὸν, οὔτε δὲ ποικίλον, οὐδὲ πολύτροπον. τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον· e

Doria Harmonia.

Aeolica.

1 Λακεδ. δὲ μαλ. edd. 2 καὶ Θεσσαλοὶ δὲ malebam.

Iones. Cum vero non exiguum ſit in horum ingeniis moribusque discrimen, Lacedaemonii quidem maxime aliorum omnium Dorum patrios ſervant mores: ſed & Theſſali, a quibus generis originem duxerunt Aeoles, idem fere ſemper tenent vitae inſtitutum: at Ionum maior pars inſtitutum mutavit, quippe qui ad voluntatem imperantium ſibi barbarorum ſemper ſe adcommodant. Itaque melodiae genus, quod ſibi Dores ſtatuerunt, *Doria* nominata eſt *harmonia*: *Aeolica* vero nominata eſt, quam cantabant Aeoles: *Ionica* denique, quam audiebantur canentes Iones. *Doria* igitur *harmonia* virilem quamdam prae ſe fert gravitatem & magnificentiam; non laetitiam aut hilaritatem, ſed triſtitiam & vehementiam; neque etiam varietatem aut multiplicitatem. In *Aeolum* vero ingenio ineſt arrogantia, tumor, & fa-

ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανσῦργον δὲ, ἀλλὰ ἐξηρμένον [1] καὶ τεθαρρηκός. διὸ καὶ οἰκεῖον ἔστ' αὐτοῖς ἡ Φιλοποσία, καὶ τὰ ἐρωτικὰ, καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις. διὸ καὶ περιέχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος. αὕτη γάρ ἐστι, φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα· ὡς καὶ Λάσος ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν ἐν Ἑρμιόνῃ [2] Δήμητρα ὕμνῳ, λέγων οὕτως·

Harmonia Hypodoria eadem quae Aeolica.

Δάματρα μέλπω Κόραν τε Κλυμένοιο ἄλοχον Μελίβοιαν,

f ὕμνων ἀνάγων [3] Αἰολίδ' ἅμα βαρύβρομον ἁρμονίαν.

Ταῦτα δ' ᾄδουσι [4] πάντες ὑποδώρια τὰ μέλη. ἐπεὶ οὖν τὸ μέλος ἐστὶν ὑποδώριον, εἰκότως [5] Αἰολίδα φησὶν εἶναι τὴν ἁρμονίαν ὁ Λάσος. καὶ Πρατίνας δέ που φησίν·

1 ἐξηρημένον vulgo. 2 τὴν Ἑρμιόνην Δημ. edd. τὴν Ἑρμιόνι Δημ. h. l. Ms. 3 Μελίβοιαν ὕμνον, ἀναγνῶν αἰολίδ' vulgo. 4 ἀείδουσι edd. 5 καὶ τὰ μέλη εἰκότως edd. τὰ μέλη εἰκ. absque καὶ Ms.

ſtus quidam; quod & ex illorum ſtudio alendi equos & ex ratione qua excipiunt hoſpites perlucet: ſed nihil verſuti aut maligni, verum elatio quaedam, ac fidentia. Itaque illis proprium eſt bibendi ſtudium, & amores, & in omni vita remiſſio quaedam. Habent igitur illi ingenium *Hypodoriae harmoniae* conveniens: haec eſt enim, ait Heraclides, quae *Aeolica* vocatur; quemadmodum etiam Laſus ſignificat Hermionenſis in Hymno in Hermionenſem Cererem, ubi ait:

Cererem cano Proſerpinamque Clymeni uxorem Melibocam, hymnorum ſimul tollens Aeolicam graviſonam harmoniam.

Haec autem cantica canunt omnes hypodoria. Quum igitur hypodorius ſit cantus, merito *Aeolicam harmoniam* dicit eſſe Laſus. Tum vero & Pratinas alicubi dicit:

Μὴ [1] σύντονον δίωκε, μήτ' ἀνειμέναν, [2]
Ἰαστὶ μοῦσαν· [3] ἀλλὰ τὰν μέσαν [4] νεῶν [5]
ἄρουραν, αἰόλιζε τῷ μέλει. —

ἐν δὲ τοῖς ἑξῆς σαφέστερον φησίν·

„Πρέπει τοι πᾶσιν ἀοιδὰ [6] λαβράκταις αἰολὶς ἁρμονία."

Πρότερον μὲν οὖν, ὡς ἔφην, [7] Αἰολίδα αὐτὴν ἐκά- a
λουν, ὕστερον δὲ Ὑποδώριον· ὥσπερ ἔνιοί φασιν, ἐν τοῖς αὐλοῖς τετάχθαι νομίσαντες αὐτὴν ὑπὸ τὴν Δώριον ἁρμονίαν. ἐμοὶ δὲ δοκεῖ, ὁρῶντας αὐτοὺς τὸν ὄγκον καὶ τὸ προσποίημα τῆς καλοκαγαθίας ἐν τοῖς τῆς ἁρμονίας ἤθεσιν, Δώριον μὲν αὐτὴν [8] οὐ νομίζειν, [9] προσεμφερῆ δέ πως ἐκείνῃ· διόπερ [10] Ὑποδώριον ἐκάλεσαν· ὡς τὸ προσεμφερὲς τῷ λευκῷ, ὑπόλευκον, καὶ

1 Μήτε mssti: & dein μή τε τὰν ἀνειμέναν. 2 ἀνειμένην edd. 3 Ἰαστὶ οὖσαν edd. cum ms. *Ep.* Ἰαστὶν οὖσαν ms. *A.* 4 μέσαν ms. *A.* 5 νέων edd. 6 πρέπει τοῖς παισὶν ἀοιδὰν edd. 7 ὡς ἔφη Ms. 8 αὐτὴν deeſt ed. Caſ. Plura deſunt ed. Ven. & Baſ. 9 νομίζουσι ed. Caſ. 10 διὸ καὶ ed. Caſ.

Ne intentam ſectare, nec remiſſam nimis
Ionicam Muſam: ſed medium aratro – novans
ſolum, Aeolicos ſequere modos.

In ſequentibus vero clarius etiam ait:

Loquacibus omnibus, canere qui voluerint, Aeolica convenit harmonia.

Prius igitur illam, ut dixi, *Aeolicam* nominabant, deinde vero *Hypodoriam*; quoniam, ut aiunt nonnulli, in tibiis eam *infra Doriam* poſitam exiſtimaſſent. Mihi vero videtur, quum in huius harmoniae indole gravitatem & ſpeciem quamdam honeſtatis viderent ineſſe, Doriam quidem illam non exiſtimaſſe, ſed ei aliquatenus ſimilem: quare *Hypodoriam* nominarunt, quaſi latine *Subdoriam* diceres; quemadmodum, quod candido ſimile eſt, id *ſubcandidum*; & quod non eſt dulce quidem,

τὸ μὴ γλυκὺ μὲν, ἐγγὺς δὲ τούτου, λέγομεν ὑπόγλυκυ· οὕτως καὶ ὑποδώριον, τὸ μὴ πάνυ Δώριον."

XX.

Ionica harmonia, alia vetus:

b „Ἑξῆς ἐπισκεψώμεθα τὸ τῶν Μιλησίων ἦθος, ὃ διαθαίνουσιν οἱ Ἴωνες, ἐπὶ ταῖς τῶν σωμάτων εὐεξίαις βρενθυόμενοι, καὶ θυμοῦ πλήρεις, δυσκατάλλακτοι, φιλόνεικοι, οὐδὲν φιλάνθρωπον οὐδὲ ἱλαρὸν ἐνδιδόντες, ἀστοργίαν καὶ σκληρότητα ἐν τοῖς ἤθεσιν ἐμφανίζοντες. διόπερ οὐδὲ τὸ τῆς Ἰαστὶ γένος ἁρμονίας οὔτ' ἀνθηρὸν οὔτε ἱλαρόν ἐστι, ἀλλὰ αὐστηρὸν καὶ σκληρὸν, ὄγκον δὲ ἔχον οὐκ ἀγεννῆ· διὸ καὶ [1] τῇ τραγῳδίᾳ προσφιλὴς ἡ ἁρμονία. Τὰ δὲ τῶν νῦν Ἰώνων ἤθη τρυφερώτερα, καὶ πολὺ παραλλάττον τὸ τῆς ἁρ-

alia recentior.

c μονίας ἦθος. Φασὶ δὲ, Πύθερμον τὸν Τήϊον ἐν τῷ γένει τῆς [2] ἁρμονίας τούτῳ [3] ποιῆσαι σκαιὰ [4] μέλη· καὶ διὰ τὸ εἶναι τὸν ποιητὴν Ἰωνικὸν, Ἰαστὶ κληθῆναι τὴν ἁρ-

Pythermus Teius, poëta lyricus.

1 διόπερ καὶ edd. 2 Temere τῶν ed. Caſ. 3 ἁρμονίας αὐτοῦ τούτῳ edd. cum ms. *A*. 4 σχολιὰ forſan.

ſed ad hoc accedit, id *ſubdulce* vocamus: ſic & *hypodorium* vel *ſubdorium*, quod non prorſus ſit Doricum."

20. »Poſt haec Mileſiorum conſideremus ingenium, quod in *Ionibus* elucet, bona corporis habitudine ſuperbientibus, animo & ira plenis, implacabilibus, contentioſis, nihil humani, nihil laetum aut mite oſtendentibus; quorum mores nullum naturalem amoris adfectum, nil niſi duritiem animi declarant. Itaque *Ionicum genus harmoniae* neque floridum eſt, neque laetum, ſed auſterum & durum: gravitatem vero aliquam habet non ignobilem: quare etiam harmoniam illam Tragoedia amat. At noſtrae aetatis Iones moribus ſunt delicatioribus, & longe abeſt illorum ingenium ab harmonia Ionica quae vocatur. Dicunt autem, *Pythermum* Teium in hoc genere harmoniae duriuscula [*ſive*, ſcolia] feciſſe carmina: &, cum eſſet Ionicus poëta, inde *Ionicam*

μονίαν. οὗτός ἐστι Πύθερμος, οὗ μνημονεύει Ἀνάνιος ἢ [1] Ἱππώναξ [2] ἐν τοῖς Ἰάμβοις οὕτως·

Χρυσὸν λέγει Πύθερμος, ὡς οὐδὲν τἄλλα.

λέγει δ' οὕτως [3] ὁ Πύθερμος·

Οὐθὲν ἦν ἄρα [4] τἄλλα πλὴν χρυσός.

οὐκοῦν καὶ κατὰ τοῦτον τὸν λόγον πιθανόν ἐστι, τὸν Πύθερμον, ἐκεῖθεν ὄντα, ποιήσασθαι τὴν ἀγωγὴν τῶν μελῶν ἁρμόττουσαν τοῖς ἤθεσι τῶν Ἰώνων. διόπερ ὑπο- d
λαμβάνω, οὐχ ἁρμονίαν εἶναι τὴν Ἰαστὶ, τρόπον δέ τινα θαυμαστὸν σχήματος ἁρμονίας. [5] καταφρονητέον οὖν τῶν τὰς μὲν κατ' εἶδος διαφορὰς οὐ δυναμένων θεωρεῖν· ἐπακολουθούντων δὲ τῇ τῶν φθόγγων ὀξύτητι καὶ βαρύτητι, καὶ τιθεμένων ὑπερμιξολύδιον ἁρμονίαν, καὶ πάλιν ὑπὲρ ταύτης ἄλλην. οὐχ ὁρῶ γὰρ οὔτε τὴν ὑπερφρύγιον ἴδιον ἔχουσαν ἦθος· καίτοι τινές

1 Deeſt ἢ vulgo. 2 Ἱππῶναξ ms. *A.* 3 λέγει θ' οὕτως ed. Baſ. & Caſ. 4 Οὐδὲν ἦν ἄρα edd. Οὐδὲν ἦν παρὰ apud Suidam. 5 Nil mutant libri.

harmoniam fuiſſe nominatam. Hic eſt Pythermus, cuius meminit Ananius aut Hipponax in Iambis, his verbis:

Aurum dicit Pythermus, ut alia omnia nihil.

Dicit autem Pythermus ſic:

Nihil erant utique alia omnia praeter aurum.

Itaque per eam quam dixi rationem probabile eſt, Pythermum, indidem oriundum, canticorum ſuorum indolem moribus Ionum adcommodaſſe. Quare exiſtimo, non harmoniam illam eſſe Ionicam, ſed modum quemdam mirabilem ſchematis harmoniae. Quare ſpernendi ſunt, qui differentias ſpecificas non valent perſpicere; ſed acumen ſolum aut gravitatem ſonorum intelligentes, ponunt Hypermixolydiam harmoniam, & ſupra hanc rurſus aliam. Etenim ne Phrygiam quidem video propriam habere indolem: quamquam ſunt nonnulli,

e φασιν ἄλλην ἐξευρηκέναι καινὴν ἁρμονίαν ὑποφρύγιον· δεῖ δὲ τὴν ἁρμονίαν εἶδος ἔχειν ἤθους ἢ πάθους· [1] καθάπερ ἡ Λοκριστί. ταύτῃ γὰρ ἔνιοι τῶν γενομένων κατὰ Σιμωνίδην καὶ Πίνδαρον ἐχρήσαντό ποτε, καὶ πάλιν κατεφρονήθη."

„Τρεῖς οὖν αὗται, καθάπερ ἐξαρχῆς εἴπομεν εἶναι ἁρμονίας,[2] ὅσα καὶ τὰ ἔθνη. τὴν δὲ Φρυγιστὶ καὶ τὴν Λυδιστὶ, παρὰ τῶν βαρβάρων οὔσας, γνωσθῆναι τοῖς Ἕλλησιν ἀπὸ τῶν σὺν Πέλοπι κατελθόντων εἰς τὴν Πελοπόννησον Φρυγῶν καὶ Λυδῶν. Λυδοὶ μὲν γὰρ f αὐτῷ συνηκολούθησαν, διὰ τὸ τὴν Σίπυλον εἶναι τῆς Λυδίας· Φρύγες δὲ, οὐχ ὅτι ὁμοτέρμονες τοῖς Λυδοῖς εἰσιν, ἀλλ' ὅτι καὶ αὐτῶν ἦρχεν ὁ Τάνταλος. ἴδοις δ' ἂν καὶ τῆς Πελοποννήσου πανταχοῦ, μάλιστα δ' ἐν Λακεδαίμονι, χώματα μεγάλα, ἃ καλοῦσι τάφους τῶν μετὰ Πέλοπος Φρυγῶν. μαθεῖν οὖν τὰς ἁρμονίας

XXI. Phrygii & Lydii modi a barbaris introducti.

1 ἔχειν ἢ πάθους ἢ ἤθους edd. 2 εἰσὶν ἁρμονίαι corrigit Caſ.

qui a ſe dicant etiam novam inventam eſſe harmoniam Hypophrygiam. Oportet enim harmoniam habere ſpeciem morum aut animi adfectus: quemadmodum Locrenſis. Hac enim nonnulli Simonidis & Pindari aetate uſi ſunt aliquando: ſed rurſus obſoleta eſt.«

21. »Tres igitur ſunt hae, ut diximus, Harmoniae, quot ſunt etiam populi Graeci. Phrygia vero & Lydia, a Barbaris ortum ducentes, innotuerunt Graecis per eos qui cum Pelope in Graeciam adpulerunt Phryges & Lydos. Nam Lydi eum ſecuti ſunt, quandoquidem Lydiae oppidum Sipylus erat: Phryges vero, non tam quod finitimi eſſent Lydorum, quam quod ipſi quoque ſub imperio fuerant Tantali. Videre autem licet etiam ubivis in Peloponneſo, maxime vero Lacedaemone, ingentes tumulos, quae vocant *Sepulcra Phrygum* Pelopem ſecutorum. Ab his igitur harmonias has didi-

ταύτας τοὺς Ἕλληνας παρὰ τούτων. διὸ καὶ Τελέστης ὁ Σελινούντιος φησίν·

„Πρῶτοι παρὰ κρατῆρας Ἑλλήνων ἐν αὐλοῖς συνοπαδοὶ Πέλοπος Ματρὸς ὀρείας Φρύγιον ἄεισαν νόμον· τοὶ δ' ὀξυφώνοις πηκτίδων ψαλμοῖς[1] κρέκον Λύδιον ὕμνον." a

XXII. Muſicam emollire mores,

„Οὐ παραληπτέον[2] δὲ, τὴν μουσικὴν, φησὶν Πολύβιος ὁ Μεγαλοπολίτης, ὡς Ἔφορος ἱστορεῖ, ἐπὶ ἀπάτῃ καὶ γοητείᾳ παρεισῆχθαι τοῖς ἀνθρώποις. οὐδὲ τοὺς παλαιοὺς Κρητῶν καὶ Λακεδαιμονίων αὐλὸν καὶ ῥυθμὸν εἰς τὸν πόλεμον ἀντὶ σάλπιγγος εἰκῇ νομιστέον εἰσαγαγεῖν· οὐδὲ τοὺς πρώτους Ἀρκάδων εἰς τὴν Arcadum exemplo docet Polybius. b ὅλην πολιτείαν τὴν μουσικὴν παραλαβεῖν, ὥστε μὴ μόνον ἐν παισὶν, [3] ἀλλὰ καὶ ἐν νεανίσκοις γενομένοις, ἕως τριάκοντα ἐτῶν, κατ' ἀνάγκην σύντροφον ποιεῖν αὐτὴν, τἆλλα τοῖς βίοις ὄντας αὐστηροτάτους. παρὰ

1 ψαλμοὶ Ms. 2 Οὐ παραλειπτέον edd. Rectius fuerat Οὐχ ὑπολητπτέον. 3 ἐμπαιδεῖν ms. *A*.

cerunt Graeci. Quare etiam Teleſtes Selinuntius ait:

»*Primi inter pocula Graecorum cum tibiis comites Pelopis Matris montanae Phrygium cecinere modum: alii autem acute-ſonantibus fidium pulſibus ſtridebant Lydium hymnum.*«

22. »Nec vero admittendum, ait Polybius Megalopolitanus, id quod Ephorus tradidit, *fraudis cauſſa ac veluti incantamentum introductam inter homines Muſicam fuiſſe*. Neque exiſtimandum, veteres Cretenſes & Lacedaemonios, loco tubae, ad bella tibias & rhythmum temere inſtituiſſe; aut priſcos Arcadas ſine ratione in univerſae reipublicae adminiſtratione Muſicam adhibuiſſe, ita ut non modo pueros, verum etiam iuvenes ad trigeſimum usque annum neceſſario ei innutriri voluerint, cum caeteroquin duriſſima vitae ratione uteren-

γοῦν μόνοις Ἀρκάσιν [1] οἱ παῖδες ἐκ νηπίων ᾄδειν ἐθίζονται κατὰ νόμον τοὺς ὕμνους καὶ παιᾶνας, οἷς ἕκαστοι κατὰ τὰ πάτρια τοὺς ἐπιχωρίους ἥρωας καὶ θεοὺς ὑμνοῦσι. μετὰ δὲ ταῦτα τοὺς Τιμοθέου καὶ Φιλοξένου νόμους μανθάνοντες, χορεύουσι κατ' ἐνιαυτὸν
c τοῖς Διονυσιακοῖς αὐληταῖς ἐν τοῖς θεάτροις· οἱ μὲν οὖν παῖδες, τοὺς παιδικοὺς ἀγῶνας· οἱ δὲ νεανίσκοι, τοὺς τῶν ἀνδρῶν. καὶ παρ' ὅλον δὲ τὸν βίον ἐν ταῖς συνουσίαις ταῖς κοιναῖς, οὐ [οὐχ οὕτω τὰς διαγωγὰς ποιοῦσι] [2] διὰ τῶν ἐπεισάκτων ἀκροαμάτων, ὡς δι' αὐτῶν, [3] ἀνὰ μέρος ᾄδειν ἀλλήλοις προστάττοντες. καὶ τῶν μὲν ἄλλων μαθημάτων ἀρνηθῆναί τι μὴ εἰδέναι, οὐδὲν αὐτοῖς αἰσχρόν ἐστι· τὸ δὲ ᾄδειν ἀποτρίβεσθαι, αἰσχρὸν παρ' αὐτοῖς νομίζεται. καὶ μὴν ἐμβατήρια μετ' αὐλοῦ καὶ τάξεως ἀσκοῦντες, ἔτι δὲ ὀρχήσεις ἐκπονοῦντες, μετὰ κοινῆς ἐπιστροφῆς καὶ δαπάνης κατ'

1 Ἀρκάδων vulgo. 2 Desunt ista vulgo. 3 διὰ τῶν vulgo.

tur. Nam apud solos Arcadas pueri a prima aetate secundum legitimos modos canere discunt hymnos & paeanas, quibus quaelibet civitas patrio instituto gentiles heroas & Deos celebrat. Post haec vero Timothei & Philoxeni modos ediscunt, & choros cum tibiis agunt quotannis feriis Bacchanalibus in theatris, pueri puerilia ludicra & certamina exsequentes, iuvenes vero virilia. Iidem per totam viram in communibus conviviis non tam extrinsecus adscitis acroamatibus sese oblectant, quam ipsi per se, sibi mutuo alternis vicibus canere praecipientes. Et caeterarum quidem disciplinarum aliquam si quis se tenere negaverit, turpe non ducunt; sin canere quispiam recuset, id vero turpe apud illos habetur. Quin & ad praeliares modulos cum tibiis ordinatâ acie sese exercentes, atque etiam saltationi operam dantes, curâ sumtuque publico quotannis in thea-

ἑαυτὸν ἐν τοῖς θεάτροις ἐπιδείκνυνται. Ταῦτ' οὖν αὐτοὺς d
εἴθισαν οἱ παλαιοὶ, οὐ τρυφῆς καὶ περιουσίας χάριν,
ἀλλὰ θεωροῦντες τὴν ἑκάστου [1] κατὰ τὸν βίον σκλη-
ρότητα, καὶ τὴν τῶν ἠθῶν αὐστηρίαν, ἥτις αὐτοῖς παρέ-
πεται διὰ τὴν τοῦ περιέχοντος ψυχρότητα καὶ στυ-
γνότητα τὴν κατὰ πλεῖστον [2] ἐν τοῖς τόποις ὑπάρχου-
σαν, οἷς καὶ συνεξομοιοῦσθαι πεφύκαμεν πάντες ἄν-
θρωποι· διὸ καὶ κατὰ τὰς ἐθνικὰς διαστάσεις πλεῖ-
στον ἀλλήλων διαφέρομεν ἤθει καὶ μορφαῖς καὶ χρώ-
μασι. Πρὸς δὲ τούτοις συνόδους κοινὰς καὶ θυσίας ἀν-
δράσι καὶ γυναιξὶ κατείθισαν, ἔτι δὲ χοροὺς παρθένων e
ὁμοῦ καὶ παίδων· σπεύδοντες τὸ τῆς φύσεως ἀτέραμ-
ονν [3] διὰ τῆς τῶν ἐθισμῶν κατασκευῆς ἐξημεροῦν καὶ
πραΰνειν. Ὧν Κυναιθεῖς [4] ὀλιγωρήσαντες εἰς τέλος, καί-
τοι σκληρότατον παρὰ πολὺ τῆς Ἀρκαδίας ὁμοῦ τῷ

1 ἑκάστων apud Polyb. 2 κατὰ τὸ πλεῖστ. ibid. 3 Temere ἀτέραμον edd. 4 Κιναιθεῖς edd.

tra prodeunt iuvenes, ſpecimen ſuae induſtriae edentes. Hac igitur conſuetudine illos imbuerunt maiores, non ad luxum aut animi cauſſâ: ſed quod vidiſſent cunctorum duritiem vitae & morum auſteritatem, quam illi contrahunt ex coeli frigiditate ac triſtitia, quae utplurimum loca illa occupat; quum ita comparata ſit hominum natura, ut coelo nos ambienti conſimiles fiamus: quam ob cauſſam etiam, ut locis longiſſime inter ſe diſtant nationes, ita plurimum moribus, formis, coloribus, invicem differimus. Ad haec vero etiam publica convivia & ſacrificia viris & mulieribus inſtituerunt, & choros virginum ſimul & puerorum: indomitam naturae feritatem manſuefacere mitigareque ſtudentes inſtitutis commode adhibitis. Quae quum penitus neglexiſſent Cynaethenſes, qui praeſertim Arcadiae ſolo lon-

τόπῳ καὶ τὸν ἀέρα ἔχοντες, πρὸς αὐτὰς [1] τὰς ἐν ἀλλήλοις παρατριβὰς καὶ φιλοτιμίας ὁρμήσαντες, τέλος ἀπεθηριώθησαν οὕτως, ὡς μέγιστα ἀσεβήματα παρὰ μόνοις αὐτοῖς γίνεσθαι. καθ' οὓς δὲ καιροὺς τὴν f μεγάλην σφαγὴν ἐποιήσαντο, εἰς ἃς ποτε πόλεις [2] Ἀρκαδικὰς [3] κατὰ τὴν ὁδὸν εἰσῆλθον, οἱ μὲν ἄλλοι παραχρῆμα πάντες [4] αὐτοὺς [5] ἐξεκήρυξαν, Μαντινεῖς δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν αὐτῶν καθαρμὸν τῆς πόλεως ἐποιήσαντο, σφάγια περιαγαγόντες κύκλῳ τῆς χώρας ἁπάσης."

XXIII. Agias Muſicus.

Ἀγίας δ' ὁ μουσικὸς ἔφη „τὸν στύρακα τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς Διονυσίοις, Φρύγιον ποιεῖν ὀδμὴν τοῖς αἰσθανομένοις." Τὸ δ' ἀρχαῖον, ἡ a μουσικὴ ἐπ' ἀνδρείαν προτροπὴ ἦν. Ἀλκαῖος γοῦν ὁ ποιητὴς, εἴ τις καὶ ἄλλος μουσικώτατος γενόμενος,

1 πρὸς μὲν αὐτὰς vulgo. 2 εἰς ἃς τε πολ. vulgo. 3 Exciderunt forſan verba οἱ πρεσβευταὶ αὐτῶν, ex Polybio ſupplenda. 4 πάντες παραχρῆμα edd. 5 ἑαυτοὺς edd. cum ms. *A*.

ge omnium aſperrimo & coelo inclementiſſimo utebantur, nonniſi ad mutuas offenſiones & contentiones converſi, ad extremum ita efferati ſunt, ut apud illos ſolos ſummae impietatis ſcelera perpetrarentur. Quo tempore vero magnam illam caedem patraverunt, quaecumque in oppida Arcadica [legati illorum] in transitu veniſſent, caeteri quidem protinus cuncti praeconis voce egredi eos iuſſerunt, Mantinenſes vero poſt eorum diſceſſum, luſtrationem quoque civitatis inſtituerunt, victimas per totam circumcirca regionem ducentes. «

23. Agias Muſicus dixit, *ſtyracem, quem in orcheſtris ſuffiunt feriis Bacchanalibus, Phrygium adferre odorem olfacientibus.* Priſcis vero temporibus Muſica ad fortitudinem fuit adhortamentum. *Alcaeus* quidem poëta, muſices ſi

Alcaeus fortitudine magis, quam poëtica virtute gloriatur.

πρότερα τῶν κατὰ ποιητικὴν τὰ κατὰ τὴν ἀνδρείαν τίθεται, μᾶλλον τοῦ δέοντος πολεμικὸς γενόμενος. διὸ καὶ ἐπὶ τοῖς τοιούτοις σεμνυνόμενος φησίν·

Μαρμαίρει δὲ μέγας δόμος χαλκῷ·
πᾶσα δ' Ἄρη [1] κεκόσμηται στέγη
λαμπραῖσιν κυνέαισι, [2] καττᾶν λευ-
κοὶ καθύπερθεν ἵππειοι [3] λόφοι
νεύουσιν, κεφαλαῖσιν ἀνδρῶν τά- 5
γάλματα· [4] χάλκεαι δ' αὖ πασσάλοις [5] b
κρυπτοῖσιν περικείμεναι λαμπραὶ
κνημίδες, ἄρκος ἰσχυρῷ βέλευς· [6]
θώρακές τε νέῳ λίνῳ, [7] καὶ κοῖ-
λαι δὲ [8] κατ' ἀσπίδες [9] βεβλημέναι. [10] 10
παρ' δ' αὖ [11] Χαλκιδικαὶ σπάθαι, παρ' δὲ

1 Ἄρει edd. 2 λαμπραῖσι κυνέαισιν vulgo. 3 ἵππιοι vulgo. 4 ἀγάλματα vulgo absque artic. 5 χάλκειαι δὲ πασσάλοις vulgo. 6 ἔρκος ἰσχυροβελὲς edd. 7 νέῳ λίνῳ edd. 8 κοῖλαί τε, absque καὶ, vulgo. 9 κατασπίδες vulgo. 10 βεβλημένον edd. unde βεβλημένων corrigunt viri docti. 11 παρ' δὲ Χαλκ. vulgo.

quis alius ſcientiſſimus, poëticae arti bellicam virtutem anteponit, cum magis quam neceſſe erat bellicoſus fuiſſet. Itaque rebus bellicis glorians, ait:

Splendet mea magna domus aere,
totumque Marti ornatum eſt tectum
nitentibus galeis, e quibus deſuper
albae equino e pilo criſtae
nutant, capitibus virorum veriſſimi
ornatus: aeneae item occultis
clavis circumpoſitae ſplendidae
ocreae, tutamen adverſus validum telum:
thoracesque novo e lino, cavique
clypei (a fugientibus) proiecti.
Adſunt porro Chalcidici enſes, itemque

ζώματα πολλὰ καὶ κυπαττίδες.[1]
Τῶν οὐκ ἔστι λαθέσθ',[2] ἐπειδὴ πρώ-
τισθ' ὑπὸ ἔργον[3] ἔσταμεν τόδε.

Καίτοι μᾶλλον ἴσως ἥρμοττε τὴν οἰκίαν πλήρη εἶναι μουσικῶν ὀργάνων. ἀλλ' οἱ παλαιοὶ τὴν ἀνδρείαν ὑπε-
c λάμβανον εἶναι μεγίστην τῶν πολιτικῶν ἀρετῶν, καὶ ταύτῃ τὰ πολλὰ[4] προσνέμειν οὐ τοῖς ἄλλοις.[5] Ἀρχίλοχος οὖν,[6] ἀγαθὸς ὢν ποιητὴς, πρῶτον ἐκαυχήσατο τὸ[7] δύνασθαι μετέχειν τῶν πολιτικῶν ἀγώνων· δεύτερον δὲ ἐμνήσθη τῶν περὶ τὴν ποιητικὴν ὑπαρχόντων αὐτῷ, λέγων·

Sic & Archilochus & Aeſchylus.

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

Ὁμοίως δὲ καὶ Αἰσχύλος, τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν, οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγρα-

1 κυπατίδες vulgo. 2 λαθέσθαι vulgo. 3 πρώτιστα ὑπὸ ἔργον edd. πρώτιστα ὑπ' ἔργον malles. 4 τὰ πολιτικὰ *Epit.* 5 Forſ. προσένεμον (aut δεῖν προσνέμειν) οὐ ταῖς ἄλλαις. Sed ſuſpicor plura verba quaedam intercidiſſe. 6 τοῦ pro οὖν habet ms. *A*, γοῦν debuiſſe videtur. 7 *Deeſt* τὸ ms. *Ep.*

baltei frequentes, & campeſtria.
Quorum me par eſt meminiſſe, qui
omnium primum hoc opus geſſi.

Quamquam magis fortaſſe conveniebat, plenam muſicorum inſtrumentorum eſſe domum. Sed fortitudinem veteres maximam exiſtimabant eſſe civilium virtutum, & huic plurimum omnium tribuebant. Igitur *Archilochus*, cum bonus eſſet poëta, in eo primum gloriatus eſt quod pro ſalute reipublicae certamina obire poſſet; ſecundo autem loco poëticae meminit facultatis, dicens:

Sum ego miniſter Bellatoris Dei,
Muſarumque etiam amabile novi donum.

Similiter *Aeſchylus*, tantam ex arte poëtica gloriam conſecutus, nihilo minus ſepulcro ſuo inſcribi potius vir-

Φῆναι ἠξίωσε μᾶλλον τὴν ἀνδρείαν, [1] ποιήσας· d
Ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
καὶ βαθυχαίται κεν Μῆδοι ἐπιστάμενοι. [2]

XXIV. Musica temperat nimium animorum impetum.

Διόπερ καὶ οἱ ἀνδρειότατοι Λακεδαιμόνιοι μετ' αὐλῶν στρατεύονται, Κρῆτες δὲ μετὰ λύρας, μετὰ δὲ συρίγγων καὶ αὐλῶν Λυδοὶ, ὡς Ἡρόδοτος ἱστορεῖ. πολλοὶ δὲ καὶ τῶν βαρβάρων τὰς ἐπικηρυκείας ποιοῦνται μετ' αὐλῶν καὶ κιθάρας, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. Θεόπομπος δ' [3] ἐν τεσσαρακοστῇ ἕκτῃ τῶν Ἱστοριῶν „Γέται, φησὶ, κιθάρας ἔχοντες e καὶ κιθαρίζοντες, τὰς ἐπικηρυκείας ποιοῦνται.“ Ὅθεν ἔοικε καὶ Ὅμηρος, διατηρῶν τὴν ἀρχαίαν τῶν Ἑλλήνων κατάστασιν, λέγειν·

Φόρμιγγός θ', ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην·

ὡς καὶ τοῖς εὐωχουμένοις χρησίμης οὔσης τῆς τέχνης. Ἦν δ', ὡς ἔοικε, τοῦτο νενομισμένον, πρῶτον μὲν, ὅπως

1 ἀνδρίαν *Epit.* 2 καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος edd. 3 Malebam Θεοπ. τ'. vel γοῦν.

tutis bellicae monumentum voluit, his factis versibus:

Praeclaram fortitudinem Marathonius praedicaverit lucus,
& capillati Medi, qui eam experti sunt.

24. Quare etiam fortissimi Lacedaemonii cum tibiis in bella proficiscuntur, Cretenses vero cum lyrâ, & cum fistulis ac tibiis Lydi, ut tradit Herodotus. Multi vero etiam ex barbaris legationes de pace cum tibiis & cithara suscipiunt, animos hostium delinituri. Et Theopompus sexto & quadragesimo Historiarum libro ait: »Getae, citharas manibus tenentes pulsantesque, legationes de pace obeunt.« Unde videtur etiam Homerus, vetus Graeciae institutum servans, dicere:

Citharamque epularum sociam Dii fecerunt.

significans, etiam convivantibus utilem esse hanc artem. Videtur autem id prisco more fuisse receptum,

ἕκαστος τῶν εἰς μέθην καὶ πλήρωσιν ὁρμημένων ἰατρὸν λαμβάνῃ τῆς ὕβρεως καὶ τῆς ἀκοσμίας τὴν μουσικήν· εἶθ', ὅτι τὴν αὐθάδειαν πραΰνει. [1] περιαιρουμένη γὰρ
f τὴν στυγνότητα, ποιεῖ πραότητα καὶ χαρὰν ἐλευθέριον. ὅθεν καὶ Ὅμηρος εἰσήγαγε τοὺς θεοὺς χρωμένους ἐν τοῖς πρώτοις τῆς Ἰλιάδος τῇ μουσικῇ μετὰ [2] τὴν περὶ τὸν Ἀχιλλέα φιλοτιμίαν. διετέλουν γὰρ ἀκροώμενοι

Φόρμιγγος περικαλλέος, ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ',[3] αἱ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.

παύσασθαι γὰρ ἔδει τὰ νείκη καὶ τὴν στάσιν, καθάπερ λέγομεν. [4] Ἐοίκασιν οὖν οἱ πολλοὶ τὴν ἐπιστήμην ἀποδιδόναι ταῖς συνουσίαις ἐπανορθώσεως χάριν καὶ ὠφελείας. Ἀλλὰ μὴν οἱ ἀρχαῖοι καὶ περιέλαβον ἔθεσι καὶ νόμοις, τοὺς τῶν θεῶν ὕμνους ᾄδειν ἅπαντας

1 παύει ms. *Ep.* 2 μετὰ δὲ τὴν ed. Ven. cum Ms. quod nescio an ferendum, deleto puncto post φιλοτιμίαν, & posita distinctione ante μετὰ δὲ. 3 Deest vulgo coniunctio. 4 ἐλέγομεν forsan.

primum quidem, quo quilibet eorum, quos ad nimium potum cibumque capiendum ferret animi impetus, medicinâ adversus contumeliam & immodestiam uteretur Musicâ; tum, quod eadem morositatem mitigaret: discutiens enim tristitiam, adfert lenitatem & liberalem laetitiam. Quare etiam Homerus, haud longe statim ab initio Iliadis, Deos induxit Musicâ utentes post contentionem, quae Achillis caussâ inter illos erat oborta. Assidue enim aures praebent

pulcerrimae citharae sono, quam tenebat Apollo,
& Musis eleganti voce alternatim canentibus.

Sedare enim oportebat iurgia & dissidium, ut modo dicebamus. Videtur igitur scientia haec a plerisque vulgo adsignari conviviis, emendationis caussa & utilitatis. Sed veteres etiam institutis & legibus sanxerunt, ut Deorum hymni in conviviis canerentur ab omnibus; ut

ἐν ταῖς ἑστιάσεσιν, ὅπως καὶ διὰ τούτων τηρῆται τὸ a
καλὸν καὶ σωφρονικὸν ἡμῶν. ἐναρμονίων γὰρ ὄντων τῶν
ἀσμάτων, προσγενόμενος ὁ τῶν θεῶν λόγος ἀποσεμ-
νύνει τὸν ἑκάστων τρόπον. Φιλόχορος δέ φησιν, ὡς οἱ
παλαιοὶ σπένδοντες, οὐκ αἰεὶ διθυραμβοῦσιν, ἀλλ'
„ὅταν σπένδωσι, τὸν μὲν Διόνυσον ἐν οἴνῳ καὶ μέθῃ,
τὸν δ' Ἀπόλλωνα μεθ' ἡσυχίας καὶ τάξεως μέλπον-
τες." Ἀρχίλοχος γοῦν φησίν·

Ὡς [1] Διονύσοι' ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας. b

καὶ Ἐπίχαρμος δ' ἐν Φιλοκτήτῃ ἔφη·

Οὐκ ἔστι διθύραμβος, ὅκχ' ὕδωρ [2] πίῃς.

Ὅτι μὲν οὖν οὐχ ἡδονῆς χάριν ἐπιπολαίου καὶ δημο-
τικῆς ἡ μουσικὴ προῆλθε καταρχὰς εἰς τὰς ἑστιάσεις,
ὥσπερ ἔνιοι νομίζουσιν, φανερὸν ἐκ τῶν εἰρημένων. Λα-
κεδαιμόνιοι δὲ, εἰ μὲν ἐμάνθανον τὴν μουσικὴν, οὐδὲν

1 Ὅς coni. Herm. 2 οὐχ ὕδωρ vulgo.

per hos quoque ſervaretur honeſtas noſtra & modeſtia. Cum enim concinna modulatione peraguntur cantica, accedens etiam ſermo de Diis compoſitos reddit uniuscuiusque mores. Philochorus vero ait, veteres non ſemper, quoties libarent, dithyrambis eſſe uſos; ſed »libantes, inquit, Bacchum quidem vino madidos temulentosque ceciniſſe, Apollinem vero placide & modeſte. « Archilochus quidem ait:

Bacchi regis pulcrum auſpicari canticum
novi dithyrambum, vini fulmine mentem percuſſus.

Et Epicharmus in Philoctete dicit:

Non fiet dithyrambus, ſi bibas aquam.

Ex his igitur quae dicta ſunt, liquido conſtat, non effuſae cuiusdam & trivialis voluptatis cauſſa, ut arbitrantur nonnulli, principio in convivia introductam Muſicam eſſe. Lacedaemonii vero eruditos quidem Muſicos ſeſe

λέγουσιν· ὅτι δὲ κρίνειν δύνανται καλῶς τὴν τέχνην, ὁμολογεῖται παρ' αὐτῶν,[1] καί φασι τρὶς ἤδη σεσωκέναι διαφθειρομένην αὐτήν.

XXV. Saltatio animi motus exprimit.

Καὶ πρὸς γυμνασίαν δὲ καὶ ὀξύτητα διανοίας
c συμβάλλεται ἡ μουσική. διὸ καὶ τῶν Ἑλλήνων ἕκαστοι καὶ τῶν βαρβάρων οἱ γινωσκόμενοι τυγχάνουσι χρώμενοι. οὐ κακῶς δὲ λέγουσιν οἱ περὶ Δάμωνα τὸν Ἀθηναῖον, ὅτι καὶ τὰς ᾠδὰς καὶ τὰς ὀρχήσεις ἀνάγκη γίνεσθαι κινουμένης πῶς τῆς ψυχῆς· καὶ αἱ μὲν ἐλευθέριοι καὶ καλαὶ ποιοῦσι τοιαύτας· αἱ δ' ἐναντίαι, τὰς ἐναντίας. ὅθεν καὶ τὸ Κλεισθένους,[2] τοῦ Σικυωνίων τυράννου, χάριεν καὶ σημεῖον διανοίας πεπαιδευμένης. ἰδὼν γὰρ, ὥς φασι, φορτικῶς ὀρχησάμενον ἕνα
d τῶν τῆς θυγατρὸς μνηστήρων, (Ἱπποκλείδης δ' ἦν ὁ Ἀθηναῖος) ἀπορχήσασθαι[3] τὸν γάμον αὐτὸν ἔφησε·

1 Forſ. παρ' αὐτοῖς. 2 Κλεοσθένους ed. Ven. cum msstis. Κλισθένους ed. Baſ. 3 ἀπωρχήσασθαι ed. Ven. & Baſ. cum msstis.

non profitentur: ſed, poſſe ſe recte iudicare hanc artem, vulgo praedicant: aiuntque, *iam ter ſe eam ſervaſſe cum in eo eſſet ut corrumperetur.*

25. Sed & ad exercitationem & ad aciem mentis confert Muſica. Quare eâ & Graeci populi omnes utuntur, & barbarorum quotquot nobis innotuerunt. Nec vero male Damon Athenienſis, *Cantica & ſaltationes neceſſario exſiſtere*, ait, *ubi animus certo quodam modo fuerit commotus: & liberales quidem & honeſtos animorum motus cantiones & ſaltationes eiusdem generis producere; contrarios vero, contrarias.* Quare & illud Cliſthenis, Sicyoniorum tyranni, lepidum eſt, & culti ingenii indicium. Qui, ut accepimus, quum unum e procis filiae ſuae (Hippoclides is fuit Athenienſis) inepte & indecore ſaltantem vidiſſet, *ſaltando nuptiis eum excidiſſe* dixit: ratus, ut vide-

νομίζων, ὡς ἔοικε, καὶ τὴν ψυχὴν τἀνδρὸς εἶναι τοιαύτην. Καὶ γὰρ ἐν ὀρχήσει καὶ πορείᾳ καλὸν μὲν εὐσχημοσύνη καὶ κόσμος, αἰσχρὸν δὲ ἀταξία καὶ τὸ [1] Φορτικόν. διὰ τοῦτο γὰρ καὶ ἐξαρχῆς συνέταττον οἱ ποιηταὶ τοῖς ἐλευθέροις τὰς ὀρχήσεις, καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων, τηροῦντες αἰεὶ τὸ εὐγενὲς καὶ ἀνδρῶδες ἐπ' αὐτῶν, ὅθεν καὶ ὑπορχήματα τὰ [2] τοιαῦτα προσηγόρευον. εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιΐαν, καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνον [3] μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, [4] ὡς Χαμαιλέων φησὶν, εἴρηκεν οὕτως· e

Hyporchemata.

Ὥστ' εἴ τις ὀρχοῖτ' [5] εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐθέν,
ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται.

1 Deeſt artic. edd. 2 Rurſus deeſt artic. edd. 3 ἐπιτυγχάνων vulgo. 4 Σκηναῖς edd. 5 ὀρχοῖθ' ms. *A*.

tur, eiusdem modi eſſe etiam hominis animum. Nam in ſaltatione & in ingreſſu pulcrum habetur id quod decorum eſt & elegans; turpe vero, quod immodeſtum & ineptum. Quare etiam initio poëtae compoſuerunt ingenuis hominibus ſaltationes: & figuris nonniſi ut ſignis uſi ſunt eorum quae viva voce canebantur, ſemper in his id quod nobile & virile eſt obſervantes: quare etiam *hyporchemata* adpellarunt talia carmina, quaſi dicas, *ſaltationi ſuppoſita*. Si quis vero praeter modum exſequeretur in ſaltando figuras, & cantibus congruens nihil effingeret, eum improbabant. Quare etiam Ariſtophanes ſive Plato in fabulâ Adparatibus, ut Chamaeleon tradit, ita dixit:

Si quis commode ſaltaret, (iucundum) *ſpectaculum erat;*
nunc vero nihil agunt,
niſi velut attoniti in eodem veſtigio ſtantes rugiunt.

Ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπὲς, καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον. [1] ὅθεν καὶ Σωκράτης ἐν τοῖς Ποιήμασι τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως· Socratis Poëmata.

Οἱ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ. — —

σχεδὸν γὰρ ὥσπερ ἐξοπλισία τις ἦν ἡ χορεία, καὶ ἐπίδειξις οὐ μόνον τῆς λοιπῆς εὐταξίας, ἀλλὰ καὶ τῆς τῶν σωμάτων ἐπιμελείας.

XXVI. Musarum templum in Helicone.

Ἀμφίων δὲ ὁ Θεσπιεὺς, ἐν δευτέρῳ Περὶ τοῦ ἐν Ἑλικῶνι Μουσείου, ἄγεσθαί φησιν ἐν Ἑλικῶνι παίδων ὀρχήσεις μετὰ σπουδῆς, παρατιθέμενος ἀρχαῖον Ἐπίγραμμα τόδε·

Ἀμφότερ', ὠρχεύμην τε, [2] καὶ ἐν Μώσαις ἐδίδασκον
ἄνδρας. ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς·

1 ἀπομιμουμένων ms. *A.* 2 Rectius fuerit ὠρχεύμαν τε.

Habebat enim olim saltationis genus in choris, decorem & magnificentiam quamdam; militares motus imitans quodammodo. Quare etiam Socrates in Poëmatibus dixit, qui commodissime in choris saltant, eosdem etiam in re bellica excellere; cuius haec sunt verba:

Qui choris optime Deum honorant, iidem
in bello excellunt. — —

Est enim fere chori saltatio quasi quaedam militum in armis exercitatio; in qua spectatur non modo concinna ordinis universi observatio, sed etiam cura quae ad exercendum corpus ab unoquoque adhibita est.

26. Amphion Thespiensis, secundo libro de Musarum templo in Helicone, saltationes puerorum, ait, studiose agi in Helicone, vetus adponens Epigramma huiusmodi:

Ambo haec praestiti: saltavi, & Musicam docui
homines. Tibicen mihi fuit Anacus Phialensis.

εἰμὶ δὲ Βακχείδας Σικυώνιος. ἦ ῥα θεοῖσι
τᾶι [1] Σικυῶνι καλὸν τοῦτ' ἀπέκειτο γέρας.

Quod bonum, id magnum.

Οὐ κακῶς δὲ καὶ Καφησίας ὁ αὐλητὴς, ἐπιβαλλομένου τινὸς τῶν μαθητῶν αὐλεῖν μέγα, καὶ τοῦτο με- b
λετῶντος, πατάξας εἶπεν „Οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἶναι, ἀλλὰ ἐν τῷ εὖ τὸ μέγα." Ἔστι δὲ καὶ τὰ τῶν ἀρχαίων δημιουργῶν ἀγάλματα τῆς παλαιᾶς ὀρχήσεως λείψανα· διὸ καὶ συνέστη τὰ κατὰ τὴν χειρονομίαν ἐπιμελεστέρως διὰ ταύτην τὴν αἰτίαν. ἐζήτουν γὰρ καὶν ταύτῃ κινήσεις καλὰς καὶ ἐλευθερίους, ἐν τῷ εὖ τὸ μέγα παραλαμβάνοντες· καὶ τὰ σχήματα μετέφερον ἐντεῦθεν εἰς τοὺς χορούς, ἐκ δὲ τῶν χο-

Musica ad exercitia militaria adhibita.

ρῶν εἰς τὰς παλαίστρας. καὶ γὰρ ἐν τῇ μουσικῇ καὶν τῇ τῶν σωμάτων ἐπιμελείᾳ περιεποιοῦντο τὴν ἀνδρείαν, c
καὶ πρὸς τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἐγυμνάζοντο μετὰ τῆς ᾠδῆς· ὅθεν ἐκινήθησαν αἱ καλούμεναι πυρρίχαι.

1 ἐν corr. Caſaub. τοῖς Porſ.

Sum vero Bacchides Sicyonius. Hoc ergo Diis
poſitum eſt munus, Sicyoni honorificum.

Nec male vero Capheſias tibicen, cum aliquis ex diſcipulis magno inflatu canere adgrederetur, & ſtudioſe hoc ageret, feriens eum dixit: *Non in magno ineſt bonum, ſed in bono magnum.* Sunt vero etiam ſtatuae priſcorum artificum veteris ſaltationis reliquiae: quare etiam maiore diligentia *chironomiam* (*manuum geſticulationem*) ob hanc cauſſam excolebant. Quaerebant enim in hac quoque motus pulcros & liberales; in eo quod *bonum* eſſet, ſimul *magnum* comprehendentes: & figuras inde transferebant in choros, ex choris vero in palaeſtras. Nam muſicâ etiam ad corporis exercitationes adhibitâ fortitudinem ſibi conciliabant, & ad motus militares exercebantur cum cantu: unde agi coeptae ſunt *pyrrhi-*

καὶ πᾶς ὁ τοιοῦτος τρόπος τῆς ὀρχήσεως, καὶ [1] αἱ πολλαὶ παρονομασίαι αὐτῶν, ὡς παρὰ Κρησὶν ὀρσίτης καὶ ἐπικρήδιος. τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν (ἧς [2] μνημονεύει Κρατῖνος ἐν Νεμέσει, καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν, Ἀριστοφάνης τ' ἐν Κενταύρῳ, καὶ ἄλλοι πλείονες) ὕστερον [3] μακτρισμὸν ὠνόμασαν· ἣν καὶ πολλαὶ γυναῖκες ὠρχοῦντο, ἃς καὶ
d μαρκτυπίας [4] ὀνομαζομένας οἶδα.

XXVII. Varia saltationum genera & nomina.

Τὰ δὲ στασιμώτερα, καὶ ποικιλώτερα, [5] καὶ τὴν ὄρχησιν ἁπλουστέραν ἔχοντα, καλεῖται δάκτυλοι, [6] ἰαμβικὴ, Μολοσσικὴ, ἐμμέλεια, [7] κόρδαξ, σίκιννις, Περσικὴ, Φρύγιος, νιβατισμὸς, [8] Θρᾴκιος, καλαβρισμὸς, τελεσιάς· [9] Μακεδονικὴ δ' ἐστὶν αὕτη

1 Deeſt vulgo καὶ h. l. 2 ὡ̓ς μνημ. Ms. 3 Forſ. οἱ ὕστερον. 4 μαρτυπίας ed. Ven. & Baſ. μαρκυπίας ed. Caſ. Forſ. μακτρυπίας, aut μακτριστρίας. 5 ἀποικιλώτερα corr. viri docti. 6 δάκτυλος ed. Caſ. 7 *Iunguntur* vulgo Μολοσσικὴ ἐμμέλεια: ac fortaſſe *iungenda* etiam iſta, σίκιννις Περσικὴ, Φρύγιος νιβατισμὸς, & Θρᾴκιος καλαβρισμός: ut ſit *Moloſſica emmelia*, *Sicinnis Perſica*, *Phrygius nibatismus*, *Thracicus calabrismus*. Contra in editis iungebantur haec, νικατισμὸς Θρᾴκιος, & poſito utrimque commate a caeteris ſeparabantur. 8 νικατισμὸς edd. νικτισμὸς *Epit.* 9 Temere in ed. Caſ. hîc inſeruntur verba, ἀπὸ Τελεσίου πρώ-

chae, & omne id genus ſaltationum, quarum ſunt multiplices adpellationes; veluti apud Cretenſes *orſites* & *epicredius*. Quae vero *apocinus* vocatur ſaltatio, cuius Cratinus meminit in Nemeſi, & Cephiſodorus in Amazonibus, Ariſtophanesque in Centauro, & alii plures; eamdem poſtea *mactrismum* nominarunt: quam ſaltationem multae etiam mulieres peragebant, quas novi *mactrypias* eſſe nominatas.

27. *Sedatiora* vero ſaltationum genera, quae partim maiorem habent varietatem, partim ſunt ſimpliciores, vocantur *dactyli*, *iambica*, *ſaltatio Moloſſica*, *emmelia*, *cordax*, *ſicinnis*, *Perſica*, *Phrygia*, *nibatismus*, *Thracica*, *calabrismus*, *teleſias*. Eſt autem haec Macedonica ſal-

ὄρχησις· ἢ χρησάμενοι οἱ περὶ Πτολεμαῖον, Ἀλέξανδρον τὸν Φιλίππου ἀδελφὸν ἀνεῖλον, ὡς ἱστορεῖ Μαρσύας ἐν τρίτῳ Μακεδονικῶν. Μανιώδεις δ' εἰσὶν ὀρχήσεις, κερνοφόρος, καὶ μόγγας,[1] καὶ θέρμαυστρις.[2] e

Flores, saltationis genus.

Ἦν δὲ καὶ παρὰ τοῖς ἰδιώταις ἡ καλουμένη ἄνθεμα. ταύτην δὲ ὠρχοῦντο μετὰ λέξεως τοιαύτης, μιμούμενοι, καὶ λέγοντες·

Ποῦ μοι τὰ ῥόδα; ποῦ μοι τὰ ἴα;
ποῦ μοι τὰ καλὰ σέλινα;
Ποῦ μοι ταδὶ τὰ ῥόδα; ταδὶ τὰ ἴα;[3]
ταδὶ τὰ καλὰ σέλινα;

Παρὰ δὲ Συρακουσίοις καὶ χιτωνέας Ἀρτέμιδος ὄρχησίς τις ἐστὶν ἴδιος καὶ αὔλησις. ἦν δέ τις καὶ Ἰωνικὴ ὄρχησις παροίνιος. καὶ τὴν ἀγγελικὴν δὲ πάροινον[4] ἠκρίβουν ὄρχησιν. καλεῖται δέ τις καὶ ἄλλη ὄρχη-

του μετὰ ὅπλων ταύτην ὀρχησαμένου. 1 μίγγας *Epit.* An γίγγρας? 2 θερμαυστρίς ed. Baſ. & Caſ. 3 Duo poſteriores verſiculi deſunt edd. 4 παροίνιον forſ.

tatio: qua uſus Ptolemaeus Alexandrum Philippi fratrem interfecit, ut narrat Marſyas, tertio libro Rerum Macedonicarum. *Furioſae* autem ſunt ſaltationes, *cernophorus*, & *mongas*, [al. *mingas*: an *gingras?*] & *thermauſtris*. Erat vero etiam apud privatos ſaltatio quae *flores* (ἄνθεμα) vocabatur. Hanc ſaltabant, cum mimico motu verba haec pronunciantes:

Ubi mihi roſae? ubi mihi violae?
ubi mihi apia pulcra?
ubi mihi roſae hae? violae hae?
apia haec pulcra?

Apud Syracuſios vero fuit etiam *chitoneas* quidam, & ſaltatio & tibiarum modus, Dianae proprius. Fuit autem etiam *Ionica* quaedam ſaltatio petulans inter pocula. Atque etiam ἀγγελικὴν, quam dicebant, (id eſt, *nunciorum ſaltationem*) inter pocula exercebant. Nomina-

σις, κόσμου ἐκπύρωσις, ἧς μνημονεύει Μένιππος ὁ Κυνικὸς ἐν τῷ Συμποσίῳ. καὶ γελοῖαι δ' εἰσὶν ὀρχήf σεις, ἴγδις, καὶ μακτρισμὸς, ἀπόκινός τε, καὶ σοβάς. [1] ἔτι δὲ μορφασμὸς, καὶ γλαὺξ, καὶ λέων, ἀλφίτων τε ἐκχύσεις, καὶ χρεῶν ἀποκοπὴ, καὶ στοιχεῖα, καὶ πυρρίχη. μετ' αὐλῶν δὲ ὠρχοῦντο τὴν τοῦ κελευστοῦ, καὶ τὴν καλουμένην πινακίδα. σχήματα δ' ἐστὶν ὀρχήσεως, ξιφισμὸς, καλαθισμὸς, καλλαβίδες, [2] σκὼψ, σκώπευμα. ἦν δὲ ὁ σκὼψ τῶν ἀποσκοπούντων τὸ σχῆμα, ἄκραν τὴν χεῖρα ὑπὲρ τοῦ μετώπου κεκυρτωκότων. μνημονεύει Αἰσχύλος ἐν Θεωροῖς· Figurae saltationis.

Καὶ μὴν παλαιῶν τῶνδέ σοι σκωπευμάτων.

a καλλαβίδων δ' Εὔπολις, ἐν Κόλαξι·

Καλλαβίδας δὲ βαίνει, σησαμίδας δὲ χέζει.

θέρμαστρις, [3] ἑκατερίδες, [4] σκοπὸς, χεὶρ καταπρηνὴς,

1 σόβας edd. 2 καλλαχίδες edd. 3 θαυμαστρὶς edd. θαυμαστεὶς ms. *A*. Unde θαυμαστὶς legit Scal. 4 κατερίδες edd.

tur etiam alia ſaltatio *mundi combuſtio*, cuius meminit Menippus Cynicus in Sympoſio. Porro *ridiculae* ſunt ſaltationes, *igdis*, & *mactrismus*, & *apocinos*, & *ſobas*: adhaec *morphasmus*, & *noctua*, & *leo*, & *farinae effuſio*, & *novae tabulae*, (ſeu *aeris alieni abolitio*,) & *elementa*, & *pyrrhicha*. Cum tibiis vero ſaltabant *hortatoris ſaltationem*, & eam quae *lanx* vocatur. *Figurae* vero *ſaltationis* ſunt, *xiphismus*, *calathismus*, *callabides*, *ſcops*, *ſcopeuma*. Erat autem *ſcops* habitus procul ſpeculantium, extremam manum ſuper fronte curvatam tenentium: cuius Aeſchylus meminit in Theoris:

Et tua quidem haec vetera ſcopeumata!

Callabidum vero Eupolis meminit in Adſentatoribus:

Callabidas incedit, ſeſamidas cacat.

Porro *thermaſtris*, *hecaterides*, *ſcopus*, *manus prona*, *ſima*

χεὶρ σιμὴ,[1] διποδισμὸς, ξύλου παράληψις, ἐπαγκωνισμὸς, καλαθίσκος,[2] στρόβιλος. καὶ Τελεσιὰς δ' ἐστὶν ὄρχησις καλουμένη, στρατιωτικὴ δ' ἐστὶν αὕτη ἀπό τινος ἀνδρὸς Τελεσίου λαβοῦσα τοὔνομα, μεθ' ὅπλων τὸ πρῶτον αὐτὴν ἐκείνου ὀρχησαμένου, ὡς φησιν Ἱππαγόρας ἐν τῷ πρώτῳ Περὶ τῆς Καρχηδονίων Πολιτείας.

XXVIII. Sicinnis, saltatio Satyrica.

„Καλεῖται δ' ἡ μὲν Σατυρικὴ ὄρχησις, ὡς φησιν Ἀριστοκλῆς ἐν ὀγδόῳ τῶν Περὶ Χορῶν, σίκιννις· καὶ οἱ Σάτυροι, σικιννισταί. τινὲς δέ φασι Σίκιννόν τινα βάρβαρον εὑρετὴν αὐτῆς γενέσθαι, ἄλλοι δὲ Κρῆτα λέγουσι τὸ γένος εἶναι Σίκιννον. ὀρχησταὶ δ' οἱ Κρῆτες, ὡς φησιν Ἀριστόξενος. Σκάμων δ' ἐν πρώτῳ Περὶ Εὑρημάτων, σίκιννιν αὐτὴν εἰρῆσθαι ἀπὸ τοῦ σείεσθαι· καὶ πρῶτον ὀρχήσασθαι τὴν σίκιννιν Θέρσιππον. Πρώτη δὲ εὑρηται ἡ περὶ τοὺς πόδας κίνησις τῆς διὰ b

1 χερσὶ, μηδιποδισμὸς edd. 2 καλαθισμὸς edd.

manus, *dipodismus*, *baculus per manus traditus*, *epanconismus*, (quasi, *incubitatio*,) *calathiscus*, *strobilus*. Est etiam (figura saltationis) *telesias* quae vocatur saltatio; quae militaris est, nomenque invenit a viro quodam Telesia, qui primus illam in armis saltavit, ut Hippagoras ait, primo libro de Carthaginiensium Republica.

28. » Vocatur autem *Satyrica saltatio*, ut ait Aristocles octavo librorum de Choris, *sicinnis*: & Satyri, *sicinnistae*. Aiunt vero nonnulli, Sicinnum quemdam, barbarum hominem, inventorem huius fuisse: alii genere Cretensem Sicinnum fuisse tradunt. Saltatores autem sunt Cretenses; ut ait Aristoxenus. Scamon vero, primo libro de Inventionibus, *sicinnin* nomen inveniisse ait a *quatiendo*, (σείεσθαι:) primumque, qui sicinnin saltaverit, fuisse Thersippum. Obtinuit autem in saltando

c τῶν χειρῶν. οἱ γὰρ παλαιοὶ τοὺς πόδας μᾶλλον ἐγυμνάζοντο ἐν τοῖς ἀγῶσι, καὶ τοῖς κυνηγεσίοις. οἱ δὲ Κρῆτες κυνηγετικοὶ, διὸ καὶ ποδώκεις. εἰσὶ δέ τινες, οἳ καί φασι τὴν σίκιννιν ποιητικῶς ὠνομάσθαι ἀπὸ τῆς κινήσεως, ἣν καὶ οἱ Σάτυροι ὀρχοῦνται ταχυτάτην οὖσαν. οὐ γὰρ ἔχει πάθος αὕτη ἡ ὄρχησις, διὸ οὐδὲ βραδύνει. [1] Συνέστηκε δὲ καὶ Σατυρικὴ πᾶσα ποίησις τὸ παλαιὸν ἐκ χορῶν, ὡς καὶ ἡ τότε τραγῳδία· διόπερ οὐδὲ ὑποκριτὰς εἶχον. Τρεῖς δ' εἰσὶ τῆς σκηνικῆς Tria genera saltatiois scenicae & lyricae.
d ποιήσεως ὀρχήσεις, τραγικὴ, κωμικὴ, σατυρική. ὁμοίως δὲ καὶ τῆς λυρικῆς ποιήσεως τρεῖς, πυρρίχη, γυμνοπαιδικὴ, ὑπορχηματική. καὶ ἔστιν ὁμοία ἡ μὲν πυρρίχη τῇ σατυρικῇ· ἀμφότεραι γὰρ διὰ τάχους. πολεμικὴ δὲ δοκεῖ εἶναι ἡ πυρρίχη. ἔνοπλοι γὰρ αὐτὴν παῖδες ὀρχοῦνται· τάχους δὲ δεῖ τῷ πολέμῳ εἰς τὸ διώ-

1 ἀναδύνει edd.

pedum motus prius quam manus etiam movere coepiſſent. Antiquitus enim pedes magis exercebant in certaminibus & in venationibus. Sunt autem venationis ſtudioſi Cretenſes: eoque etiam pedibus veloces. Sunt etiam nonnulli, qui *ſicinnin* dicant poëtica quadam ratione nominatam fuiſſe a *motione*, (ἀπὸ τῆς κινήσεως) qua Satyri in ſaltando utuntur velociſſimâ. Nam adfectum non habet haec ſaltatio, quare nec lenta eſt. Conſtabat vero etiam omnis Satyrica poëſis antiquitus e choris, quemadmodum tum antiqua tragoedia: quare hae nec hiſtriones habebant. Tres ſunt autem *ſcenicae* poëſeos ſaltationes: *tragica*, *comica*, *ſatyrica*. Similiterque *lyricae* etiam poëſeos tres: *pyrrhicha*, *gymnopaedica*, *hyporchematica*. Et eſt quidem pyrrhicha ſimilis ſatyricae: utraque enim cum velocitate peragitur. Militaris autem ac bellica videtur eſſe pyrrhicha: armati enim ſaltant pueri: velocitate autem opus eſt in bello, cum ad per-

κειν, καὶ εἰς τὸ, ἡττωμένους —

Φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι [1] κακοὺς [2] εἶναι.

ἡ δὲ γυμνοπαιδικὴ παρεμφερής ἐστι τῇ τραγικῇ ὀρχήσει, ἥτις ἐμμέλεια καλεῖται· ἐν ἑκατέρᾳ δὲ ὁρᾶται τὸ βαρὺ καὶ σεμνόν. ἡ δ' ὑπορχηματικὴ τῇ κωμικῇ οἰκειοῦται, ἥτις καλεῖται κόρδαξ· παιγνιώδεις δ' εἰσὶν ἀμφότεραι."

XXIX.

Pyrrhicha, saltatio militaris.

Ἀριστόξενος δέ φησι, τὴν πυῤῥίχην ἀπὸ Πυῤῥίχου, Λάκωνος [3] τὸ γένος, τὴν προσηγορίαν λαβεῖν· Λακωνικὸν δ' εἶναι μέχρι καὶ νῦν ὄνομα τὸν Πύῤῥιχον. ἐμφανίζει δ' ἡ ὄρχησις, πολεμικὴ οὖσα, ὡς Λακεδαιμονίου [4] τὸ εὕρημα. πολεμικοὶ δ' εἰσὶν οἱ Λάκωνες, ὧν καὶ υἱοὶ [5] τὰ ἐμβατήρια μέλη ἀναλαμβάνουσιν, ἅπερ καὶ ἐνόπλια καλεῖται. καὶ αὐτοὶ δ' οἱ Λάκωνες ἐν τοῖς πολέμοις τὰ Τυρταίου ποιήματα ἀπομνημονεύοντες,

Tyrtaei carmina.

1 μηδὲ δεῖσθαι ms. *A*. 2 κακὸς scripserat poëta. 3 τοῦ Λάκωνος ed. Casaub. 4 ὅτι Λακεδαιμονίων ed. Casaub. cum *Epit.* 5 καὶ οἱ υἱοὶ ms. *Ep.*

sequendum, tum etiam, ut, qui inferiores sunt,

fugere possint, nec maneant, nec vereantur ignavi videri.

Gymnopaedica vero similis est tragicae saltationi, quae *emmelia* vocatur: in utrâque enim spectatur gravitas & dignitas quaedam. Hyporchematica autem cognationem habet cum comica, quae *cordax* vocatur: ludicra enim utraque est. «

29. Aristoxenus vero ait, nomen inveniisse *pyrrhicham* a Pyrrhicho, genere Lacedaemonio: esse enim etiam nunc Lacedaemonium nomen, *Pyrrhichum*. Declaratque etiam ipsa saltatio, cum sit bellica, Lacedaemonii hominis esse inventum. Sunt enim bellicosi Lacedaemonii, quorum etiam filii cantica ad militares numeros composita ediscunt, quae etiam *armata* (ἐνόπλια) vocantur. Et ipsi etiam Lacedaemonii in bellis carmina Tyrtaei

ἔνρυθμον [1] κίνησιν ποιοῦνται. Φιλόχορος δέ φησι, κρατήσαντας Λακεδαιμονίους Μεσσηνίων διὰ τὴν Τυρταίου στρατηγίαν, ἐν ταῖς στρατείαις ἔθος ποιήσασθαι, ἂν δειπνοποιήσωνται, καὶ παιωνίσωσιν, [2] ᾄδειν καθ' ἕνα Τυρταίου· κρίνειν δὲ τὸν πολέμαρχον, καὶ
a ἆθλον διδόναι τῷ νικῶντι κρέας. ἡ δὲ πυῤῥίχη παρὰ μὲν τοῖς ἄλλοις Ἕλλησιν οὐκ ἔτι παραμένει· καὶ ἐκλιπούσης [3] δὲ αὐτῆς, συμβέβηκε τοὺς πολέμους καταλυθῆναι. παρὰ μόνοις δὲ Λακεδαιμονίοις διαμένει, προγύμνασμα οὖσα τοῦ πολέμου· ἐκμανθάνουσί τε πάντες ἐν τῇ Σπάρτῃ ἀπὸ πέντε ἐτῶν πυῤῥιχίζειν. Ἡ δὲ καθ' ἡμᾶς πυῤῥίχη Διονυσιακή τις εἶναι δοκεῖ, ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας. ἔχουσι γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων, προΐενται δ' ἐπ' ἀλλήλους καὶ νάρθηκας, καὶ λαμπάδας φέρουσιν· ὀρχοῦνταί τε

Pyrrhicha ludicra.

1 εὔρυθμον ed. Baſ. & ms. *Ep.* 2 παιανίσωσιν ed. Caſaub. & ms. *Ep.* 3 ἐκλειπούσης edd.

recitantes, numeroſo paſſu gradiuntur. Philochorus vero ait, Lacedaemonios, poſtquam duce Tyrtaeo Meſſenios ſuperaſſent, in expeditionibus bellicis morem inſtituiſſe, ut, coenâ peractâ, & decantato hymno, ſinguli canerent Tyrtaei aliquod carmen, iudex autem eſſet Polemarchus, & victori praemium daret carnem. Pyrrhicha autem apud alios quidem Graecos non amplius in uſu eſt: & eâ obſoletâ bella etiam deſierunt. Apud ſolos vero Lacedaemonios manet, & eſt exercitatio ad bellum praeparans iuvenes: & Spartae pueri omnes a quinto aetatis anno pyrrhicham ſaltare diſcunt. Noſtra vero aetate *pyrrhicha*, *Bacchica* quaedam eſſe videtur, lenior quam olim: habent enim ſaltantes thyrſos pro haſtis, & ferulas adverſus ſe invicem proiiciunt, & lampades geſtant: ſaltantque res ad Bacchum ſpectan-

τὰ περὶ τὸν Διόνυσον, καὶ τὰ περὶ τοὺς Ἰνδοὺς, ἔτι b
τε τὰ περὶ τὸν Πενθέα. Τακτέον δ' ἐπὶ τῆς πυῤῥίχης
τὰ κάλλιστα μέλη, καὶ τοὺς ὀρθίους [1] ῥυθμούς.

XXX. Gymnopaedica saltatio.

Ἔοικε δὲ ἡ γυμνοπαιδικὴ τῇ καλουμένῃ ἀναπάλῃ παρὰ τοῖς παλαιοῖς. γυμνοὶ γὰρ ὀρχοῦνται οἱ παῖδες πάντες, ἐνρύθμους [2] Φοράς τινας ἀποτέμνοντες, [3] καὶ σχήματά τινα τῶν χειρῶν κατὰ τὸ ἀπαλόν· [4] ὥστ' ἐμφαίνειν θεώρημά τι τῆς παλαίστρας, καὶ τοῦ παγκρατίου, κινοῦντες εὐρύθμως [5] τοὺς πόδας. τρόποι δ' αὐτῆς, οἵ τε ὠσχοφορικοὶ, [6] καὶ οἱ βακχικοὶ, ὥστε καὶ τὴν ὄρχησιν ταύτην εἰς τὸν Διόνυσον ἀναφέρεσθαι. Ἀριστόξενος δέ φησιν, ὡς οἱ παλαιοὶ, c
γυμναζόμενοι πρῶτον ἐν τῇ γυμνοπαιδικῇ, εἰς τὴν πυῤῥίχην ἐχώρουν πρὸ τοῦ εἰσιέναι εἰς τὸ θέατρον. καλεῖται δ' ἡ πυῤῥίχη καὶ χειρονομία. Ἡ δ' ὑπορχηματι-

1 ὀρθρίους Ms. 2 εὐρύθμους edd. cum ms. *Ep.* 3 ἀποτελοῦντες ms. *Ep. inter lin.* quod verum videtur. 4 ἄπαλον hariolatus sum. 5 ἐνρύθμως videtur esse in ms. *Ep.* 6 ὠσχοφορικοὶ ms. *A.* ὀσχοφορικοὶ ed. Cas.

tes, & quae in India gesta sunt, & quae Pentheo acciderunt. Adhibenda autem ad pyrrhicham sunt pulcerrima cantica, & *orthii* qui vocantur (id est, intenti sonorique) numeri.

30. Similis autem est *gymnopaedica* ei quae apud veteres *anapale* dicta est. Nudi enim saltant pueri omnes, & impetus quosdam peragunt numerosos, & figuras quasdam manuum, quo tempore feriantur luctatores; ut praebeant speciem quamdam palaestrae & pancratii, concinno rhythmo moventes pedes. Modi eius sunt, *oschophorici*, & *bacchici;* ut etiam haec saltatio ad Bacchum referatur. Aristoxenus vero ait, olim postquam in gymnopaedia essent exercitati, tum demum ad pyrrhicham esse progressos, priusquam theatrum ingrederentur. Vocatur autem *pyrrhicha* etiam *chironomia.*

κή ἐστιν, ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται. Φησὶ γοῦν ὁ Βακχυλίδης· Hyporchematica.

Οὐχ ἕδρας ἔργον, οὐδ' ἀμβολᾶς.

καὶ Πίνδαρος δὲ φησί·

Λάκαινα μὲν παρθένων ἀγέλα.

ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες· καὶ ἔστιν ὑπορχηματικὴ ὄρχησις ἀνδρῶν καὶ γυναικῶν. βέλτιστοι δ' εἰσὶ τῶν τρόπων οἵτινες καὶ ὀρχοῦν-
d ται. εἰσὶ δὲ οἵδε, προσῳδιακοὶ, ἀποστολικοὶ, (οὗτοι δὲ καὶ παρθένιοι καλοῦνται) καὶ οἱ τούτοις ὅμοιοι. τὸν γὰρ ὕμνον οἱ μὲν ὠρχοῦντο, οἱ δὲ οὐκ ὠρχοῦντο· ἢ τοὺς [1] εἰς Ἀφροδίτην καὶ Διόνυσον, καὶ τὸν Παιᾶνα δὲ, [2] ὁτὲ μὲν, ὁτὲ δὲ [3] οὔ. Εἰσὶ δὲ καὶ παρὰ τοῖς βαρβάροις, ὥσπερ καὶ παρὰ τοῖς Ἕλλησι, σπουδαῖαι καὶ φαῦλαι ὀρχήσεις. ὁ μὲν κόρδαξ παρ' Ἕλλησι φορτικὸς, ἡ δ' ἐμμέλεια σπουδαία· καθάπερ καὶ ἡ πα-

1 καὶ τοὺς ed. Caſ. 2 Deeſt δὲ edd. 3 ὅτε μὲν, ὅτε δὲ edd.

Hyporchematica vero eſt, in qua canens chorus ſaltat. Igitur Bacchylides ait:

Non iam ſedendi locus, aut cunctandi.

Et Pindarus dicit:

Laconicus virginum grex.

Saltant enim hanc apud Pindarum Lacedaemonii: & eſt hyporchematica ſaltatio virorum mulierumque. Optimi autem modorum illius ſunt qui etiam ſaltantur. Sunt autem hi, *proſodiaci*, *apoſtolici*, qui etiam *parthenii* vocantur, & his ſimiles. Nam hymnum alii ſaltabant, alii non ſaltabant: aut hymnos in Venerem & Bacchum, atque etiam Paeanem, aliâs ſaltabant, aliâs non. Sunt vero etiam apud barbaros, quemadmodum & apud Graecos, ſaltationes aliae decorae honeſtaeque, aliae contra. Sic cordax apud Graecos parum decorus eſt: emmelia vero, honeſta & decora; quemadmodum apud

ρὰ Ἀρκάσι κίδαρις, παρὰ Σικυωνίοις τε ὁ ἀλητήρ. οὕτως δὲ καὶ ἐν Ἰθάκῃ καλεῖται, ἀλητήρ· ὡς Ἀριστόξενος ἱστορεῖ ἐν πρώτῳ Συγκρίσεων. Καὶ περὶ μὲν ὀρ- e χήσεως τοσαῦτά μοι ἐπὶ τοῦ παρόντος λέλεκται. [1]

XXXI. Τὸ δὲ παλαιὸν ἐτηρεῖτο περὶ τὴν μουσικὴν τὸ καλὸν, καὶ πάντ' εἶχε κατὰ τὴν τέχνην τὸν οἰκεῖον αὐτοῖς κόσμον. διόπερ ἦσαν ἴδιοι καθ' ἑκάστην ἁρμονίαν αὐλοὶ, καὶ ἑκάστοις αὐλητῶν ὑπῆρχον αὐλοὶ ἑκάστῃ ἁρμονίᾳ πρόσφοροι ἐν τοῖς ἀγῶσιν. Πρόνομος δ' ὁ Θηβαῖος πρῶτος ἠύλησεν ἀπὸ τῶν αὐτῶν [2] αὐλῶν τὰς [τρεῖς] [3] ἁρμονίας. νῦν δὲ εἰκῇ καὶ ἀλόγως ἅπτονται τῆς μουσικῆς. Καὶ πάλαι μὲν τὸ παρὰ τοῖς ὄχλοις εὐδοκιμεῖν, σημεῖον ἦν κακοτεχνίας. ὅθεν καὶ Ἀσωπό- f δωρος ὁ Φλιάσιος, κροταλιζομένου ποτέ τινος τῶν αὐλητῶν, διατρίβων αὐτὸς ἔτι ἐν τῷ ὑποσκηνίῳ· „Τί

Muficae proprius decor.

Vulgi plauſus, malum omen.

1 λελέχθω malebam. 2 Deeſt αὐτῶν vulgo. ὑπὸ τῶν αὐλῶν ms. *Ep.* 3 τὰς ἁρμονίας vulgo. Forſ. πάσας τὰς ἁρμονίας.

Arcadas *cidaris*, & apud Sicyonios *aleter*. Eodem vero nomine *aleter* etiam in Ithaca vocatur ſaltatio quaedam; ut Ariſtoxenus tradit primo libro Comparationum. Ac de ſaltatione quidem haec in praeſentia dicta ſunto.

31. Olim autem ſervabatur in Muſica decor & honeſtas: & omnia in hac arte convenientem habebant ornatum. Itaque cuique harmoniae proprium erat tibiarum genus, & ſingulis tibicinibus erant tibiae cuique harmoniae aptae in publicis certaminibus. Pronomus vero Thebanus primus eisdem tibiis omnes harmonias peregit. Nunc vero temere & inconſiderate Muſicam attingunt. Et olim quidem, placuiſſe populari turbae indicium erat imperitiae. Quare etiam Aſopodorus Phliaſius, quum magno plauſu laudaretur aliquis e tibicinibus, dum ipſe adhuc in hypoſcenio moraretur: *Quid*

τοῦτ'; εἶπεν, δῆλον ὅτι μέγα κακὸν γέγονεν· " ὡς οὐκ ἂν ἄλλως ἐν τοῖς πολλοῖς εὐδοκιμήσαντος. οἶδα δέ τινας τοῦθ' ἱστορήσαντας ὡς Ἀντιγενίδου εἰπόντος. Καὶ οἱ καθ' ἡμᾶς δὲ τέλος ποιοῦνται τῆς τέχνης τὴν παρὰ
a τοῖς θεάτροις εὐημερίαν. διόπερ Ἀριστόξενος ἐν τοῖς Συμμίκτοις Συμποτικοῖς· „Ὅμοιον, φησὶ, ποιοῦμεν Ποσειδωνιάταις, τοῖς ἐν τῷ Τυρσηνικῷ κόλπῳ κατοικοῦσιν. οἷς συνέβη, τὰ μὲν ἐξ ἀρχῆς Ἕλλησιν οὖσιν, ἐκβεβαρβαρῶσθαι, Τυρρηνοῖς ἢ Ῥωμαίοις γεγονόσι, καὶ τήν τε φωνὴν μεταβεβληκέναι, τά τε λοιπὰ τῶν ἐπιτηδευμάτων· ἄγειν τε μίαν τινὰ αὐτοὺς τῶν ἑορτῶν τῶν Ἑλληνικῶν ἔτι καὶ νῦν, ἐν ᾗ συνιόντες ἀναμιμνήσκονται τῶν ἀρχαίων ἐκείνων ὀνομάτων τε καὶ νομίμων,
b καὶ ἀπολοφυράμενοι [1] πρὸς ἀλλήλους καὶ ἀποδακρύσαντες ἀπέρχονται. οὕτω δὴ οὖν, φησὶ, [2] καὶ ἡμεῖς, ἐπειδὴ καὶ τὰ θέατρα ἐκβεβαρβάρωται, καὶ ἐς μεγάλην διαφθορὰν [3] προελήλυθεν ἡ πάνδημος αὕτη μου-

Paeſtani, olim Graeci, patrium ſermonem & inſtituta dediſcunt.

1 ἀπολοφυρ. δὲ edd. & carent καί. 2 φασὶ Ms. 3 διαφορὰν vulgo.

hoc? inquit; *ingens haud dubie peccatum commiſſum eſt:* ſignificans, alioquin multitudinem non fuiſſe plauſuram. Novi vero, a nonnullis ad Antigenidem referri id dictum. Sed etiam noſtra aetate artifices finem ſtatuunt artis, theatri plauſum. Quare Ariſtoxenus in Miſcellaneis Convivalibus: »Similiter facimus, ait, atque Poſidoniatae, in ſinu Tyrrheno habitantes: qui, cum origine Graeci eſſent, barbari facti ſunt, Tyrrheni aut Romani, & ſermonem reliquaque maiorum inſtituta mutarunt; unum autem feſtum Graecanicum agunt ad hunc usque diem, quo unà congreſſi in memoriam revocant priſca nomina & inſtituta, & ſortem ſuam invicem conqueſti lamentatique diſcedunt. Sic igitur, inquit, nos quoque, poſtquam theatra noſtra barbara facta ſunt, & miſere corrupta ars haec muſica & proſtituta eſt, pau-

σικὴ, καθ' αὑτοὺς γενόμενοι ὀλίγοι ἀναμιμνησκόμεθα, [1] οἵα ἦν ἡ μουσική." ταῦτα μὲν ὁ Ἀριστόξενος.

XXXII. Καμοὶ δὲ διὰ τοῦτο φαίνεται φιλοσοφητέον εἶναι περὶ Μουσικῆς. καὶ γὰρ Πυθαγόρας ὁ Σάμιος, τηλικαύτην δόξαν ἔχων ἐπὶ φιλοσοφίᾳ, καταφανής ἐστιν ἐκ πολλῶν οὐ παρέργως ἁψάμενος μουσικῆς· ὅς γε καὶ τὴν τοῦ παντὸς οὐσίαν διὰ μουσικῆς ἀποφαίνει συγκειμένην. τὸ δὲ ὅλον, ἔοικεν ἡ παλαιὰ τῶν Ἑλλήνων σοφία τῇ μουσικῇ μάλιστα εἶναι δεδομένη. [2] καὶ διὰ τοῦτο τῶν μὲν θεῶν Ἀπόλλωνα, τῶν δὲ ἡμιθέων Ὀρφέα, μουσικώτατον καὶ σοφώτατον ἔκρινον· καὶ πάντας τοὺς χρωμένους τῇ τέχνῃ ταύτῃ, σοφιστὰς ἀπεκάλουν, ὥσπερ καὶ Αἰσχύλος ἐποίησεν·

Εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν.

Mufica, Philoſophiae coniuncta.

Homeri carmina ad cantum comparata.

Ὅτι δὲ πρὸς τὴν μουσικὴν οἰκειότατα διέκειντο οἱ ἀρχαῖοι, δῆλον καὶ ἐξ Ὁμήρου· ὃς, διὰ τὸ μεμελοποιη-

1 ἀναμιμνησκώμεθα ms. *A*. 2 δεδεμένη corr. Caſaub.

ci unà congreſſi in memoriam revocamus qualis fuerit Muſica.« Haec igitur Ariſtoxenus.

32. Quare & mihi videtur de Muſica eſſe philoſophandum. Nam & Pythagoram Samium, clariſſimi nominis philoſophum, multis documentis conſtat haud perfunctorie Muſicam attigiſſe: qui quidem etiam univerſi naturam muſicis rationibus compoſitam ſtatuit. Videturque omnino priſca Graecorum ſapientia cum Muſica maxime fuiſſe coniuncta. Quapropter etiam ex Deorum numero Apollinem, & ex ſemideorum Orpheum, muſices peritiſſimos ſapientiſſimosque iudicabant: & omnes hac arte utentes *ſophiſtas* vocabant; quemadmodum etiam Aeſchylus in illo verſu:

Igitur pulcre teſtudinem pulſans ſophiſta.

Studio autem muſices admodum captos fuiſſe veteres, ex Homero etiam adparet: qui, quoniam ad cantum ad-

κέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν, ἀφροντιστὶ τοὺς πολλοὺς ἀκεφάλους ποιεῖ στίχους, καὶ λαγαροὺς, ἔτι δὲ μειούρους. Ξενοφάνης δὲ, καὶ Σόλων, καὶ Θέογνις, καὶ Φωκυλίδης, ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς, καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν, ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων, καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ἀκέφαλος ἔσται, μήτε λαγαρὸς, μήτε μείουρος. Ἀκέφαλοι δέ εἰσιν οἱ ἐπὶ τῆς ἀρχῆς τὴν χωλότητα ἔχοντες· Versus ἀκέφαλοι, λαγαροὶ, & μείουροι.

Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.

Ἐπίτονος τετάνυστο βοὸς ἴφι κταμένοιο.

Λαγαροὶ δὲ οἱ ἐν μέσῳ. οἷον·

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Ἀγχίσαο.

Τῶν αὖθ' ἡγείσθην [1] Ἀσκληπιοῦ δύο παῖδες.

Μείουροι δέ εἰσιν οἱ ἐπὶ τῆς ἐκβολῆς. οἷον,

Τρῶες δ' ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν.

1 ἡγήσθην edd.

aptavit omnia ſua carmina, ſecure tam multos verſus *acephalos* fecit, & *lagaros*, & *miuros*. Xenophanes vero, & Solon, & Theognis, & Phocylides, item Periander Corinthius poëta elegiacus, & reliqui qui melodiam ad ſua poëmata non adhibent, numeris & ordine metrorum elaborant ſuos verſus, curantque ne nullus eorum aut acephalus ſit, aut lagarus, aut miurus. Vocantur autem *acephali*, qui in ipſo initio claudicant: veluti ille, qui a voce Ἐπειδὴ incipit; (*Iliad. XXIII.* 2.) aut a vocabulo Ἐπίτονος. (*Odyſſ. XII.* 423.) *Lagari* vocantur verſus, qui in medio claudicant; velut ille,

Αἶψα δ' ἄρ' Αἰνείαν υἱὸν φίλον Ἀγχισάο.

aut ille, *Iliad. II.* 731. (*ubi in voce* Ἀσκληπιοῦ *penultima naturâ brevis pro longâ ponitur.*) *Miuri* vero ſunt, qui in exitu claudicant; velut ille, (*Iliad. XII.* 208.) qui in vo-

Καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα.

Τοῦ φέρον ἐμπλήσας ἀσκὸν μέγαν, ἐν δὲ καὶ ἥϊα.

XXXIII. Lacedaemonii priscae musicae studiosi.

Διετήρησαν δὲ [1] μάλιστα τῶν Ἑλλήνων Λακεδαιμόνιοι τὴν μουσικὴν, πλείστῃ [2] αὐτῇ χρώμενοι· καὶ συχνοὶ παρ' αὐτοῖς ἐγένοντο μελῶν ποιηταί. τηροῦσί γε καὶ νῦν τὰς ἀρχαίας ᾠδὰς ἐπιμελῶς, πολυμαθεῖς τε εἰς ταύτας εἰσὶ καὶ ἀκριβεῖς. ὅθεν καὶ Πρατίνας a φησί·

Λάκων ὁ τέττιξ, εὔτυκος [3] εἰς χορόν.

διὸ καὶ οἱ ποιηταὶ διετέλουν προσαγορεύοντες οὕτως τὰς ᾠδάς·

„γλυκυτάτων πρύτανιν ὕμνων.“

καί· „μέλεα μελιπτέρωτα Μουσᾶν.“ [4]

Ἀπὸ γὰρ τῆς τοῦ βίου σωφροσύνης καὶ αὐστηρίας μετέβαινον ἀσμένως ἐπὶ τὴν μουσικὴν, ἐχούσης τὸ κη-

1 δὲ καὶ μάλιστα edd. 2 πλεῖστον edd. 3 εὔτυχος edd. 4 μελιπτέρωτα Μοῦσαν edd.

cem ὄφιν exit; aut ille,

Καλὴ Κασσιέπεια θεοῖς δέμας ἐοικυῖα; (*Iliad. VIII.* 305.) aut is qui in ἥϊα exit. (*Odyss. IX.* 212.)

33. Maxime vero Graecorum omnium Musicam integram servarunt Lacedaemonii, qui plurimum illâ utuntur, & apud quos frequentes fuerunt canticorum poëtae. Quin etiam nunc priscas odas studiose conservant, & plerasque ediscunt & adcurate tenent. Quare etiam Pratinas dicit:

Lacedaemonius cantor, aptus ad chorum.

Ob eamdemque causam poëtae sic adpellare perseverarunt odas:

Dulcissimorum praesidem hymnorum:

&: *Cantica mellita alataque Musarum.*

Nam a vitae frugalitate & austeritate libenter ad Musicam sese convertebant, cuius scientia vim habet ani-

λητικὸν τῆς ἐπιστήμης. εἰκότως οὖν ἐγίνετο χαίρειν τοὺς ἀκροωμένους· ἐκάλουν δὲ καὶ χορηγοὺς, ὥς φησιν Choragi.
b ὁ Βυζάντιος Δημήτριος ἐν τετάρτῳ Περὶ Ποιήματος, οὐχ ὥσπερ νῦν τοὺς μισθουμένους [1] τοὺς χορούς, ἀλλὰ τοὺς καθηγουμένους τοῦ χοροῦ, καθάπερ αὐτὰ τοὔνομα σημαίνει. ἦν δὲ αὐτοῖς [2] καὶ τὸ χρηστομουσεῖν, καὶ μὴ παραβαίνειν τοὺς ἀρχαίους τῆς μουσικῆς νόμους. Συνέβαινε δὲ τὸ μὲν παλαιὸν φιλομουσεῖν τοὺς Ἕλληνας· μετὰ δὲ ταῦτα γενομένης ἀταξίας, καταγηρασάντων σχεδὸν ἁπάντων τῶν ἀρχαίων νομίμων, ἥ τε προαίρεσις αὕτη κατελύθη, καὶ τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν, οἷς ἕκαστος τῶν χρω-
c μένων, ἀντὶ μὲν πραότητος, περιεποιεῖτο μαλακίαν, ἀντὶ δὲ σωφροσύνης, ἀκολασίαν καὶ ἄνεσιν. ἔσται [3] δ' ἴσως τοῦτο μᾶλλον, καὶ ἐπὶ πλέον προαχθήσεται, ἐὰν μή τις ἀγάγῃ πάλιν εἰς τὸ συμφανὲς τὴν πά- Musica, ad Deorum & fortium Virorum laudes adhibenda.

1 μισθωμένους edd. 2 Tria verba desunt edd. & ms. *A*. Casaubonus corrigebat, τοὺς καθηγουμένους τοῦ χοροῦ (καθ. αὐτ. τοὔν. σημαίνει) πρὸς τὸ χρηστομουσεῖν. 3 ἔτι δ' ἴσως malim.

mos demulcendi: quare etiam consentaneum erat, ut delectarentur audientes. Vocabant autem *choragos*, ut ait Demetrius Byzantius quarto libro De Poëmate, non, ut nunc, eos qui choros mercede conducunt, sed chori duces & institutores, quemadmodum nomen quoque indicat. Itaque bonam etiam conservarunt Musicam, neque transgressi sunt veteres Musicae leges. Omnino autem antiquitus Musices studiosi fuerant Graeci: postea vero turbato ordine, antiquatis fere omnibus priscis institutis, hoc quoque obsoletum est institutum, & pravi Musices invecti sunt modi: quibus utens unusquisque, loco lenitatis mollitiem, & pro modestiâ petulantiam & licentiam sectati sunt. Et hoc quidem malum latius etiam fortasse serpet, & longius progredietur, nisi quis avi-

τριον μουσικήν. τὸ παλαιὸν γὰρ καὶ τῶν ἡρώων τὰς πράξεις, καὶ τῶν θεῶν τοὺς ὕμνους δι' ᾠδῆς ἐποιοῦντο. Ὅμηρος γοῦν φησιν ἐπ' Ἀχιλλέως·

— Ἄειδε δ' ἄρα κλέα ἀνδρῶν
ἡρώων. καὶ τὸν Φήμιον δέ φησιν, ὅτι

— πολλὰ βροτῶν θελκτήρια οἶδεν,
ἔργ' ἀνδρῶν τε θεῶν τε, τά τε κλείουσιν ἀοιδοί.

Τὸ δὲ ἔθος τοῦτο καὶ παρὰ τοῖς βαρβάροις ἐσώζετο, d
ὡς φησι Δίνων ἐν τοῖς Περσικοῖς. τὴν γοῦν Κύρου τοῦ πρώτου ἀνδρείαν, καὶ τὸν μέλλοντα πόλεμον ἔσεσθαι πρὸς Ἀστυάγην προείδοντο οἱ ᾠδοί. „Ὅτε γὰρ, φησὶν, ἡγήσατο τὴν εἰς Πέρσας ἀποδημίαν ὁ Κῦρος· (ἐγεγόνει δ' αὐτοῦ πρότερον ἐπὶ τῶν ῥαβδοφόρων, εἶθ' ὕστερον ἐπὶ τῶν ὁπλοφόρων, καὶ ἀπῆλθεν·) εὐωχουμένου οὖν τοῦ Ἀστυάγους μετὰ τῶν φίλων, τότε Ἀγγάρης ὄνομα (οὗτος δ' ἦν τῶν ᾠδῶν ὁ ἐνδοξότατος) ἦδεν εἰσκληθεὶς τά τε ἄλλα τῶν εἰθισμένων, καὶ τὸ

Cyri virtutem praedicit cantor.

tam Muſicam in lucem reducat. Nam olim & heroum res geſtas & Deorum hymnos canticis proſequebantur. Homerus ſane de Achille dicit:

— *Canebat glorioſa virorum facta*
heroum. Et, *Phemium*, ait,

— *plurium mortalium oblectamenta noviſſe,*
geſta virorum Deorumque, quae celebrant cantores.

Idemque mos apud barbaros etiam ſervabatur; ut ait Dinon in Perſicis. Cyri certe ſuperioris virtutem & futurum cum Aſtyage bellum praeviderunt cantores. » Quum enim iter in Perſiam ſuscepiſſet Cyrus, poſtquam primum ſatellitibus, & deinde militibus ibi fuerat praefectus, ac deinde diſceſſit; convivante Aſtyage cum amicis, intro vocatus cantorum nobiliſſimus, Angares nomine, cantavit & alia uſitata, & ad extremum dixit:

e ἔσχατον εἶπεν, ὡς „ἀφεῖται εἰς τὸ ἕλος [1] θηρίον μέγα, θρασύτερον ὑὸς ἀγρίου· ὃ ἂν κυριεύσῃ τῶν καθ' αὐτὸν τόπων, πολλοῖς μετ' ὀλίγον [2] ῥᾳδίως μαχεῖται." ἐρομένου δὲ τοῦ Ἀστυάγους, ποῖον θηρίον; ἔφη· „Κῦρον τὸν Πέρσην." νομίσας οὖν ὀρθῶς αὐτὸν ὑπωπτευκέναι, καὶ μεταπεμπόμενος, οὐδὲν ὤνησεν." [3]

XXXIV. Instrumenta muſica.

Ἐγὼ δὲ, ἔχων ἔτι πολλὰ λέγειν Περὶ Μουσικῆς, αὐλῶν ἀκούων βόμβου, καταπαύσω τὸ πολυλογεῖν, τὰ ἐκ Φιλαύλου Φιλεταίρου ἐπειπών·

Ὦ Ζεῦ, καλόν γ' ἐστὶν ἀποθανεῖν αὐλούμενον.
f τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία
ἀφροδισιάζειν ἐστίν. οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον. [4]

Sambuca, inſtrumentum muſicum.

Μετὰ δὲ ταῦτα ζητήσεως γενομένης περὶ σαμβύ-

1 εἰς τὸ ἔλεος ms. *A.* εἰς τοὺς Ἕλληνας ms. *Ep.* 2 μετ' ὀλίγων edd. 3 ὄνησεν edd. 4 Temere τετρημμένον ed. Baſ. & Caſ.

Dimittitur in paludem fera ingens, apro ferocior; quae poſtquam locis circa ſe ſitis fuerit potita, breve poſt tempus [ſive, *cum paucis*] *adverſus multos facile pugnabit.* Interrogante vero Aſtyage, *qualem feram* diceret, reſpondit: *Cyrum Perſam.* Igitur, recte eum ſuſpicatum eſſe exiſtimans rex, miſit qui revocarent Cyrum, ſed nihil profecit. «

34. Ego vero, quamvis multa ſint quae de Muſica etiamnum disputare poteram, tamen cum tibiarum audiam ſonum, loquacitari meae hîc finem imponam, poſtquam haec adhuc ex Philetaeri Philaulo adiecero:

Proh Iupiter! pulcrum ſane eſt mori ad tibiae ſonum.
His ſolis apud inferos poteſtas ſit
fruendi Venere. Quibus autem mores
ſordidi ſunt ignoratione Muſices,
hi in pertuſum dolium aquam ingerunt.

Poſthaec exortâ quaeſtione de *ſambucâ*, dixit Maſu-

κης, ἔφη ὁ Μασσούριος, ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην, διειλέχθαι τε περὶ αὐτοῦ Εὐφορίωνα, τὸν αὐτὸν ἐποποιὸν, ἐν τῷ Περὶ Ἰσθμίων, χρῆσθαι φήσας αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας, τετραχόρδῳ ὄντι· ἱστορεῖν δὲ τοῦτο Πυθαγόραν ἐν τῷ Περὶ τῆς Ἐρυθρᾶς θαλάσσης. Καλεῖται δέ τι καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη· οὗ τό τε σχῆμα, καὶ τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ πρὸς Ἄτταλον Περὶ Ὀργάνων. καὶ Ἀνδρέας ὁ Πανορμίτης, [1] ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν κατὰ πόλιν, ὡς ἀπὸ δύο ὄνων [2] προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι· καλεῖσθαί τε σαμβύκην, ἐπειδὴ, [3] ὅταν ἐξαρθῇ, γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἐνοποιούμενον [4] ὅμοιον οἷον δή τι [5] ἐστὶ καὶ τὸ τῆς σαμβύκης. Μόσχος δ', ἐν πρώτῳ Μηχανικῶν, Ῥωμαϊκὸν

Sambuca machina poliorcetica.

a b

1 Temere Πανορμήτης ed. Baſ. & Caſ. 2 ἀπὸ δύο νεῶν corr. viri docti. 3 ἐπεὶ ms. *Ep.* 4 ἐνοποιουμένων ms. *Ep.* 5 ὅμοιον δέ τι vulgo.

rius, eſſe ſambucam muſicum inſtrumentum, acutum ſonum edens; de eoque verba feciſſe Euphorionem, eumdem qui Epicorum etiam carminum auctor eſt, in libro DE ISTHMIIS; quo inſtrumento uſos eſſe ait Parthos & Troglodytas, quatuor fidibus tenſo: tradere autem haec ait Pythagoram in libro DE ERYTHRAEO MARI. Vocatur vero etiam bellica quaedam machina *ſambuca*, oppugnandis urbibus inſerviens: cuius formam ſtructuramque declarat Biton, in libro DE MACHINIS AD ATTALUM. Et Andreas Panormitanus, tertio & trigeſimo libro Rerum Sicularum oppidatim expoſitarum, ait muris hoſtium eam admoveri duabus ſuculis: [*ſive*, duabus navibus impoſitam:] vocari autem *ſambucam*, quoniam, poſtquam erecta eſt, forma navis & ſcalae in unum iuncta ſimilis fit quodammodo figurae quam ſambuca refert. Moſchus vero, primo libro MECHANICORUM, Ro-

εἶναι λέγει τὸ μηχάνημα, καὶ Ἡρακλείδην τὸν Ταραντῖνον εὑρεῖν αὐτοῦ τὸ εἶδος. Πολύβιος δ' ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν· „Μάρκελλος, φησὶ, δυσχρηστούμενος ἐν τῇ Συρακουσῶν πολιορκίᾳ ὑπὸ τῶν Ἀρχιμήδους κατασκευασμάτων, ἔλεγε, ταῖς μὲν ναυσὶν αὐτοῦ κυαθίζειν ἐκ θαλάσσης Ἀρχιμήδην, τὰς δὲ σαμβύκας ῥαπιζομένας ὥσπερ ἐκ πότου μετ' αἰσχύνης ἐκπεπτωκέναι."

Εἰπόντος δ' ἐπὶ τούτοις Αἰμιλιανοῦ· Ἀλλὰ μήν, ὦ ἑταῖρε Μασσούριε, πολλάκις καὶ αὐτὸς ἐν ἐννοίᾳ γίνομαι, μουσικῆς ὢν ἐραστὴς, περὶ τῆς μαγάδιδος καλουμένης, πότερον αὐλῶν εἶδος, ἢ κιθάρας ἐστίν. ὁ μὲν γὰρ ἥδιστος Ἀνακρέων λέγει που·

ψάλλω δ' εἴκοσι
χορδαῖσι μάγαδιν ἔχων,
ὦ Λεύκασπι· σὺ δ' ἠβᾷς.

XXXV. Magadis, non eſt ex Tibiarum genere.

manam ait eſſe machinam, cuius fabricam inveniſſet Heraclides Tarentinus. Polybius vero, octavo libro Hiſtoriarum, ſcribit: »Marcellus, in Syracuſarum obſidione multa incommoda paſſus ab Archimedis machinis, dicebat: *Navibus ſuis e mari potum infundere Archimedem, ſambucas vero colaphis percuſſas quaſi e compotatione cum ignominia ejectas eſſe.*«

35. Poſt haec Aemilianus ait: At, o amice Maſuri, ſaepius ego quoque, utpote Muſices ſtudioſus, de *Magadide* quae vocatur, dubitare mecum ſoleo, ſit-ne tibiarum genus, an fidium. Nam ſuaviſſimus Anacreon dicit alicubi:

Cano, viginti chordis
tenſam magadin pulſans,
o Leucaſpi; tu vero pubeſcis.

Ἴων δ' ὁ Χῖος ἐν Ὀμφάλῃ, ὡς περὶ αὐλῶν λέγει, διὰ τούτων·

Λυδός τε μάγαδις αὐλὸς ἡγείσθω βοῆς.

Aristarchi Grammatici elogium.

Ὅπερ ἐξηγούμενος ἰαμβεῖον Ἀρίσταρχος ὁ γραμματικὸς, ὃν μάντιν ἐκάλει Παναίτιος ὁ Ῥόδιος φιλόσοφος, διὰ τὸ ῥᾳδίως καταμαντεύεσθαι τῆς τῶν ποιημάτων διανοίας, γένος αὐλοῦ φησιν εἶναι τὸν μάγαδιν· οὔτ' Ἀριστοξένου τοῦτ' εἰπόντος ἐν τοῖς Περὶ Αὐλητῶν, ἢ ἐν τοῖς Περὶ Αὐλῶν καὶ Ὀργάνων, ἀλλὰ μὴν οὐδὲ Ἀρχεστράτου· πεποίηται γὰρ καὶ τούτῳ δύο βιβλία [1] Περὶ Αὐλητῶν. οὐκ εἶπε δὲ τοῦτο οὐδὲ Πύῤῥανδρος [2] ἐν τῷ Περὶ Αὐλητῶν· οὐδὲ Φίλλις [3] ὁ Δήλιος· ξυνέγραψε γὰρ καὶ οὗτος Περὶ Αὐλητῶν, καὶ Εὐφράνωρ. Τρύφων δ', ἐν δευτέρῳ Περὶ Ὀνομασιῶν, λέγει οὕτως· „Ὁ δὲ μάγαδις [4] καλούμενος αὐλός." καὶ πάλιν· „μάγαδις ἐν ταυτῷ ὀξὺν καὶ βαρὺν φθόγ-

1 βυβλία h. l. ed. Ven. Baſ. & Caſ. 1. neſcio an & ms. *A*. 2 Πύρανδρος ed. Caſ. 3 Φύλλις corr. Caſaub. 4 μάγαδος h. l. edd.

Ion autem Chius, in Omphale, ſic loquitur quaſi tibia eſſet magadis, dicens:

Et Lydia magadis tibia praecat clamori.

Quem verſiculum exponens Ariſtarchus Grammaticus, is quem Panaetius Rhodius philoſophus, propter facilitatem qua valebat ad divinandam carminum ſententiam, *vatem* adpellare conſueverat, tibiarum genus eſſe magadin ait: quod tamen nec Ariſtoxenus dixit in libro DE Tibicinibus, nec in libris DE Tibiis & Inſtrumentis muſicis; nec vero Archeſtratus, cuius item exſtant duo libri DE Tibicinibus. Neque Pyrrhander hoc dixit in libro DE Tibicinibus; nec Phillis Delius; nam & hic de Tibicinibus ſcripſit, item Euphranor. Tryphon vero, ſecundo libro DE Nomenclaturis, ita ſcribit: »*Magadis tibia* quae vocatur:« & deinde: »magadis ſimul

γον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης [1] ἐν Ὁπλομάχῳ φησί·

Μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγα.“ [2]

Τὴν ἀπορίαν οὖν μοι ταύτην οὐδεὶς ἄλλος δυνήσεται ἀπολύσασθαι, καλὲ Μασσούριε, ἢ σύ.

XXXVI. Alia est Tibia magadis:

Καὶ ὃς ἔφη· Δίδυμος ὁ γραμματικὸς ἐν ταῖς Πρὸς Ἴωνα Ἀντεξηγήσεσιν, ἑταῖρε Αἰμιλιανὲ, μάγαδιν αὐλὸν ἀκούει τὸν κιθαριστήριον· οὗ μνημονεύειν Ἀριστόξενον [3] ἐν πρώτῳ Περὶ Αὐλῶν τρήσεως, λέγοντα [4] πέντε γένη εἶναι αὐλῶν, παρθενίους, παιδικοὺς, κιθαριστηρίους, τελείους, ὑπερτελείους. [5] ἐλλείπειν [6] οὖν δεῖ [7] παρὰ τῷ Ἴωνι τὸν ΤΕ σύνδεσμον, ἵν' ᾖ μάγαδις αὐλὸς ὁ προσαυλούμενος τῇ μαγάδι. Ἡ γὰρ μάγαδις [8] ὄργανόν ἐστι ψαλτικὸν, ὡς Ἀνακρέων φησι, Λυ-

1 Ἀλεξανδρίδης vulgo. 2 μέγαν vulgo. 3 μνημονεύει Ἀριστόξενος edd. 4 λέγων ed. Caſ. 5 Deeſt poſtrema vox edd. 6 ἢ ἐλλείπειν edd. 7 Forſ. ἐλλείπειν οὖν δὴ vel δῆλον. 8 μαγὰς ms. *Ep.*

acutum & gravem ſonum edit, quemadmodum Anaxandrides in Hoplomacho ait:

Magadin tibi loquar, tenue ſimul & magnum.“

Hanc igitur dubitationem nemo alius mihi diſſolvet, niſi tu, praeſtantiſſime Maſuri.

36. Tum ille ſic infit: Didymus Grammaticus, in Interpretationibus Ionis aliorum interpretationi oppoſitis, amice Aemiliane, *magadin tibiam* eam intelligit, quae *citharisterium* (ſive, *citharistica*) vocatur; cuius Ariſtoxenus meminit libro primo De Tibiarum perforatione, ubi quinque ait genera eſſe tibiarum, virginales, pueriles, citharisterias, perfectas, & plusquamperfectas. Supplenda igitur eſt apud Ionem copula τε: ut ſit *magadis tibia*, quae magadi accinit. Eſt enim *magadis* inſtrumentum ψαλτικὸν, (id eſt, *quod pulſatur*) quemadmodum Anacreon ait; eſtque Lydorum inventum. Quare

alia Magadis, fidibus tenſa.

δῶν τε εὕρημα. διὸ καὶ τὰς Λυδὰς ψαλτρίας φησὶν εἶναι ὁ Ἴων ἐν τῇ Ὀμφάλῃ, διὰ τούτων·

Ἀλλ' εἶα, Λυδαὶ [1] ψάλτριαι, παλαιθετῶν [2]
ὕμνων ἀοιδοὶ [3] τὸν ξένον κοσμήσατε.

Θεόφιλος δ' ὁ κωμῳδικὸς [4] ἐν Νεοπτολέμῳ, [5] καὶ τὸ a
τῇ μαγάδι διαψάλλειν, μαγαδίζειν λέγει, ἐν τούτοις·

Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἔστι μαγαδίζειν, ἐπὶ τροχοῦ καθημένους.
οὐδεὶς γὰρ ἡμῶν [6] ταυτὸν ᾄσεται μέλος.

Εὐφορίων δ' ἐν τῷ Περὶ Ἰσθμίων, παλαιὸν μέν, φησὶ, τὸ ὄργανον εἶναι [7] τὴν μάγαδιν, μετασκευασθῆναι δ' ὀψέ ποτε, καὶ σαμβύκην μετονομασθῆναι. πλεῖστον δ' εἶναι τοῦτο τὸ ὄργανον ἐν Μιτυλήνῃ, ὡς καὶ μίαν τῶν Μουσῶν ἔχουσαν αὐτὸ ὑπὸ Λεσβοθέμιδος ποιη- b

1 Ἀλλ' αἱ Λυδαὶ edd. 2 παλαιθέτων malebam. παλαιδετῶν coni. Caſaub. 3 ἀοιδῇ legebam. 4 Forſ. κωμῳδιοποιὸς aut κωμικός. 5 Perperam Νεοπτολέμου Ms. 6 ὑμῶν ed. Ven. 7 φησὶ εἶναι τὸ ὄργανον ed. Caſ. 1. & 2.

etiam Lydias Ion in Omphale *pſaltrias* eſſe ait, cuius haec verba ſunt:

Agite, Lydiae pſaltriae, patriorum
hymnorum cantu honorate hoſpitem!

Theophilus vero comicus, in Neoptolemo etiam magadi pulſare Graece μαγαδίζειν (quaſi *magadizare*) dixit, his verbis:

Pravus filius & patrem & matrem
magadi fortaſſe canat, rotae inſidentes.
Noſtrûm quidem nemo idem canet canticum.

Euphorion vero, in libro de Iſthmiis, vetus quidem inſtrumentum ait eſſe *magadin*, ſequente vero tempore mutatâ fabricâ, *ſambucam* fuiſſe nominatam: frequentiſſimum autem inſtrumentum hoc eſſe Mitylenae; ita quidem ut etiam una Muſarum illud tenens fabrefacta ſit

θῆναι ἀρχαίου ἀγαλματοποιοῦ. Μέναιχμος δ', ἐν τοῖς Περὶ Τεχνιτῶν, τὴν πηκτίδα, ἣν τὴν αὐτὴν εἶναι τῇ μαγάδι, Σαπφὼ φῆτιν εὑρεῖν. Ἀριστόξενος δὲ, τὴν μάγαδιν καὶ τὴν πηκτίδα χωρὶς πλήκτρου διὰ ψαλμοῦ παρέχεσθαι τὴν χρείαν. διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ Πρὸς Ἱέρωνα σκολιῷ, τὴν μάγαδιν ὀνομάσαντα, ψαλμὸν ἀντίφθογγον, διὰ τὸ δύο γενῶν ἅμα καὶ διὰ πασῶν ἔχειν τὴν συνῳδίαν ἀνδρῶν τε καὶ παί-
c δων. [1] καὶ Φρύνιχος δ' ἐν Φοινίσσαις εἴρηκε·

Ψαλμοῖσιν ἀντίσπαστ' ἀείδοντες μέλη.

Καὶ Σοφοκλῆς ἐν Μυσοῖς·

Πολὺς δὲ Φρὺξ τρίγωνος, ἀντίσπαστά τε [2]
Λυδῆς [3] ἐφύμνει πηκτίδος συγχορδία.

Διαποροῦσι δὲ ἔνιοι, ὅπως, τῆς μαγάδιδος οὐκ XXXVII.

1 ἀνδρῶν καὶ γυναικῶν ms. *Ep.* 2 ἀντίσπαστά γε edd. 3 Αὐδῆς edd.

a Lesbothemide vetere ſtatuario. Menaechmus vero, in libro De Artificibus, pectidem, quam eamdem eſſe ait cum magadi, a Sapphone ſcribit fuiſſe inventam. Ariſtoxenus autem ait, magadin & pectidem absque plectro nudâ digitorum pulſatione (διὰ ψαλμοῦ) uſum praeſtare: quare Pindarum, ait, in Scolio (*i. e.* convivali carmine) ad Hieronem, cum de magadi loqueretur, *pſalmum antiphthongum* (i. e. *fidium pulſationem ſono reſpondentem*) dixiſſe; quoniam duorum generum ſimul per omnes chordas (διὰ πασῶν, octavâ ratione) concentum haberet virorum puerorumque. [*ſive*, virorum mulierumque.] Et Phrynichus etiam in Phoeniſſis dixit:

Pſalmis ex adverſo reſpondentia canentes cantica.

& Sophocles in Myſis:

Frequens (reſonabat) *Phrygium triangulum, cui ex adverſo reſpondentia*
accinebat Lydiae pectidis concentus.

37. Quaerunt vero nonnulli, quo pacto, quum Ana-

Anacreontis magadis, viginti chordarum.

εὔσης κατὰ Ἀνακρέοντα (οὐδὲ γάρ ποτε τὰ πολύχορδα ὀφθῆναι) μνημονεύων αὐτῆς ὁ Ἀνακρέων λέγει· „ψάλλω δ' εἴκοσι χορδαῖσι μάγαδιν ἔχων, ὦ Λεύκασπι." Καὶ ὁ μὲν Ποσειδώνιός φησι, τριῶν μελῳδιῶν αὐτὸν μνημονεύειν, Φρυγίου τε, καὶ Δωρίου,[1] d καὶ Λυδίου· ταύταις γὰρ μόναις τὸν Ἀνακρέοντα κεχρῆσθαι· ὧν ἑπτὰ χορδαῖς ἑκάστης περαινομένης, εἰκότως φάναι ψάλλειν αὐτὸν εἴκοσι χορδαῖς, τῷ ἀρτίῳ χρησάμενον ἀριθμῷ, τὴν μίαν ἀφελόντα. Ἀγνοεῖ δὲ ὁ Ποσειδώνιος,[2] ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς Πινδάρου λέγοντος, τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον·

Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρε
πρῶτος ἐν δείπνοισι Λυδῶν[3]
ψαλμὸν ἀντίφθογγον, ὑψη-

1 Desunt duo verba mss̄tis. 2 Ποσιδώνιος h. l. ms. *A*. Nescio an & supra. 3 Λύδιον vulgo.

creontis aetate non exstiterit magadis, (nam sero demum conspecta esse instrumenta multis fidibus tensa) mentionem eius faciens Anacreon dixerit: *Cano, viginti chordis tensam pulsans magadin, o Leucaspi.* Ac Posidonius quidem ait, trium melodiarum in illis verbis meminisse poëtam, Phrygiae, Doriae & Lydiae: his enim solis usum esse Anacreontem: quarum quum quaeque septem peragatur chordis, recte illum dixisse, *viginti se chordis psallere*, demtâ unâ rotundo numero utentem. At ignorat Posidonius, antiquum instrumentum esse magadin; quandoquidem clare Pindarus dixit, Terpandrum ex adverso respondentem Lydiae pectidi inveniisse *barbitum:*

quem Terpander olim Lesbius invenit
primus Lydorum in coenis
fidium pulsatione respondentem,

e λᾶς ἀκούων πηκτίδος.

πηκτὶς δὲ καὶ μάγαδις ταυτόν· καθά φησιν ὁ Ἀριστόξενος, καὶ Μέναιχμος ὁ Σικυώνιος ἐν τοῖς Περὶ Τεχνιτῶν. καὶ τὴν Σαπφὼ δέ φησιν οὗτος, ἥ τις ἐστὶν Ἀνακρέοντος πρεσβυτέρα, πρώτην χρήσασθαι τῇ πηκτίδι. Ὅτι δὲ καὶ Τέρπανδρος ἀρχαιότερος Ἀνακρέοντος, δῆλον ἐκ τούτων· Τὰ Καρνεῖα πρῶτος πάντων Τέρπανδρος νικᾷ, ὡς Ἑλλάνικος ἱστορεῖ ἔν τε τοῖς ἐμμέτροις Καρνεονίκαις, κἀν τοῖς καταλογάδην. ἐγένετο δὲ ἡ θέσις τῶν Καρνείων κατὰ τὴν ἕκτην καὶ εἰκοστὴν Terpandri aetas. Carnea.

f ὀλυμπιάδα, ὡς Σωσίβιός φησιν [1] ἐν τῷ Περὶ Χρόνων. Ἱερώνυμος δ' ἐν τῷ Περὶ Κιθαρῳδῶν, ὅπερ ἐστὶ πέμπτον Περὶ Ποιητῶν, κατὰ Λυκοῦργον τὸν νομοθέτην τὸν Τέρπανδρόν φησι γενέσθαι, ὃς ὑπὸ πάντων συμφώνως ἱστορεῖται μετὰ τοῦ Ἰφίτου τοῦ Ἠλείου

1 Σώσιμός φησιν edd.

quum altam audiſſet pectidem.

Pectis autem & magadis unum idemque; ut ait Ariſtoxenus, & Menaechmus Sicyonius in libris DE Artificibus. Idemque Menaechmus ait etiam, primam pectide uſam *Sapphonem*, quae aetate ſuperior eſt Anacreonte. Eſſe vero etiam *Terpandrum* Anacreonte vetuſtiorem, patet ex hisce: Carnea primus omnium vicit Terpander, ut Hellanicus tradit, cum in verſibus eis quibus Carneonicas celebravit, tum in eorumdem recenſu ſolutâ oratione edito. Inſtituta autem ſunt *Carnea* Olympiade vigeſima ſexta, ut Soſibius in libro DE Temporum notatione ſcribit. Hieronymus vero in libro DE Citharoedis, qui eſt ſextus eorum quos DE Poëtis ſcripſit, Lycurgi legumlatoris aetate vixiſſe Terpandrum ait. Lycurgum autem conſentiunt ſcriptores omnes auctorem fuiſſe cum Iphito Eleo illius inſtitutionis Ludorum Olym-

τὴν πρώτην ἀριθμηθεῖσαν τῶν Ὀλυμπίων θέσιν διαθεῖναι. Εὐφορίων τε, ἐν τῷ Περὶ Ἰσθμίων, τὰ πολύχορδα, φησὶ, τῶν ὀργάνων ὀνόμασι μόνον παρηλλάχθαι· παμπάλαιον δ' αὐτῶν εἶναι τὴν χρῆσιν.

XXXVIII. Differunt Pectis atque Magadis.

Διογένης δὲ ὁ τραγικὸς διαφέρειν [1] πηκτίδα μαγάδιδος, λέγων οὕτως ἐν τῇ Σεμέλῃ· a

Καί τοι κλύω μὲν [2] Ἀσιάδος [3] μιτρηφόρους
Κυβέλας γυναῖκας, παῖδας ὀλβίων Φρυγῶν,
τυπάνοισι [4] καὶ ῥόμβοισι [5] καὶ χαλκοκτύπων
βόμβοις βρεμούσας ἀντίχερσι [6] κυμβάλων
σοφὴν θεῶν ὑμνῳδὸν [7] ἰατρόν θ' ἅμα.
Κλύω δὲ Λυδὰς Βακτρίας τε παρθένους,
ποταμῷ παροίκους Ἅλυϊ, Τμωλίαν θεὸν
δαφνόσκιον κατ' ἄλσος Ἄρτεμιν σέβειν
ψαλμοῖς τριγώνων πηκτίδων ἀντιζύγοις [8] b

1 οἴεται interſerit *Epit.* 2 κλύωμεν edd. 3 Ἀσιάδας legit Dalec. 4 τυμπάνοισι vulgo. 5 βομβοῖσι vulgo. 6 ἀντὶ χερσὶ vulgo. 7 θεὸν ὑμνῳδεῖν coni. Dalec. 8 πηκτίδων τε Περσικῶν edd. & dein verſ. ſeq. ἀντιζύγοις ὀλκοῖς &c.

picorum, a qua numeratur prima Olympias. Et Euphorion in libro De Iſthmiis ait, inſtrumenta muſica multis fidibus tenſa nominibus ſolum discrepare, uſum autem eorum eſſe antiquiſſimum.

38. Diogenes vero tragicus differre ſtatuit pectidem a magadide, haec dicens in Semele:

Atqui audio mithratas Aſiaticae
Cybeles mulieres, filias fortunatorum Phrygum,
tympanis, & rhombis, & aeneorum cymbalorum
ſtrepitibus manuum-concurſu-peractis perſonantes
ſapientem inter Divos cantatricem ſimulque medicam.
Audio etiam Lydas Bactriasque virgines,
flumen Halyn adcolentes, Tmoliam Deam,
lauris-umbroſo in luco, Dianam colere
triangularium pulſatione pectidum, reſpondentibusque

ὁλκοῖς κρεκούσας [1] μάγαδιν, ἔνθα Περσικῷ
νόμῳ ξυνωθεὶς [2] αὐλὸς ὁμονοεῖ χοροῖς.

καὶ Φίλλις δ' ὁ Δήλιος, ἐν δευτέρῳ Περὶ Μουσικῆς, διαφέρειν φησὶ πηκτίδα μαγάδιδος, λέγων οὕτως· „Φοίνικες, πηκτίδες, μαγάδιδες, [3] σαμβύκαι, ἰαμβύκαι, τρίγωνα, [4] κλεψίαμβοι, σκινδαψοὶ, [5] ἐννεάχορδα. ἐν οἷς γὰρ, φησὶ, τοὺς ἰάμβους ἦδον, ἰαμβύκας ἐκάλουν· ἐν οἷς δὲ παρελογίζοντο τὰ ἐν τοῖς μέτροις, κλεψιάμβους. μαγάδιδας [6] δὲ τὰ διὰ πασῶν καὶ πρὸς ἴσα τὰ μέρη τῶν ᾀδόντων ἡρμοσμένα. καὶ ἄλλα δ' ἦν παρὰ ταῦτα· καὶ γὰρ βάρβιτος ἦ βάρμος· καὶ ἄλλα πλείονα, τὰ μὲν ἔγχορδα, τὰ δὲ ἔνηχα, κατεσκεύαζον." Plura fidium nomina.

XXXIX. Ἦν γὰρ δή τινα καὶ, χωρὶς τῶν ἐμφυσωμένων καὶ χορδαῖς διειλημμένων, ἕτερα ψόφου μόνον παρα-

1 κρεκούσαις vulgo. 2 ξένωθεὶς ed. Caſ. cum msstis. 3 μαγαδίδες ms. *Ep.* 4 ἴαμβοι, καὶ τρίγωνα vulgo. 5 Deeſt nomen editis. 6 μαγαδίδας h. l. ed. Ven. & Baſ. cum msstis.

tractibus ſtridentes magadin, ubi Perſico
more iuncta tibia choris concinit.

Atque etiam Phillis Delius, ſecundo libro de Muſicâ, differre dicit inter pectidem & magadidem, ubi ait: » *Phoenices, pectides, magadides, ſambucae, iambucae, triangula, clepſiambi, ſcindapſi, novemchordia.* Nam quibus, inquit, iambos canebant, *iambucas* vocabant: quibus autem eosdem ita canebant, ut quaſi furtim mutarent metra, *clepſiambos. Magadidas* vero, inſtrumenta concentum διὰ πασῶν edentia, & omnibus canentium partibus peraeque concinentia. Erant vero praeter haec & alia, veluti *barbitos* aut *barmus:* & alia plura conficiebant, partim fidibus tenſa, partim ſonora.«

39. Erant quippe, praeter inſtrumenta quae inflantur, & quae chordis diſtincta ſunt, alia ſtrepitum ſolum-

Crepitacula.

σκευαστικὰ, καθάπερ τὰ κρέμβαλα. περὶ ὧν φησι Δικαίαρχος ἐν τοῖς Περὶ τοῦ τῆς Ἑλλάδος Βίου· ἐπιχωριάσαι, φάσκων, ποτὲ καθ' ὑπερβολὴν εἰς τὸ προσορχεῖσθαί τε καὶ προσᾴδειν ταῖς γυναιξὶν ὄργανά τινα d ποιὰ, ὧν ὅτε τις ἅπτοιτο τοῖς δακτύλοις, ποιεῖν λιγυρὸν ψόφον· δηλοῦσθαι δ' ἐν τῷ τῆς Ἀρτέμιδος ᾄσματι, οὗ ἐστιν ἀρχή·

„Ἄρτεμι σοί με τι Φρὴν ἐφίμερον [1] ὕμνον [2] ἰέναι [3] τε ὅθεν ἆδέ τις [4] ἀλλὰ χρυσοφανία [5] κρέμβαλα χαλκοπάραα χερσὶν" . . . [6]

Ἑρμιππος δ', ἐν Θεοῖς, τὸ τούτοις κρούειν, κρεμβαλίζειν εἴρηκεν, ἐν τούτοις·

Λεπάδας δὲ πετρῶν ἀποκόπτοντες κρεμβαλίζουσι.

Δίδυμος δέ φησιν, εἰωθέναι τινὰς ἀντὶ τῆς λύρας κογχύλια καὶ ὄστρακα συγκρούοντας, ἔνρυθμον [7] ἦχόν τι- e

1 ἐφ' ἥμερον edd. 2 Ὕπνον ed. Ven. & Baſ. 3 ϝεναι Ms. 4 Interpretatus ſum tamquam eſſet τέως ἄδε τις. 5 Immo χρυσοφανέα aut χρυσοφανᾶ. 6 *Deeſt* κρούει aut aliquod tale verbum. 7 εὔρυθμον ed. Baſ. & Caſ. cum ms. *Ep.*

modo edentia; veluti *crembala*, id eſt, *crepitacula*. De quibus Dicaearchus loquitur in libro de Vita Graeciae; dicens frequentiſſimo in uſu fuiſſe olim certa quaedam inſtrumenta, quorum ad ſonum & ſaltarent & canerent mulieres; quae inſtrumenta ſi digitis modo percuteret aliquis, argutum ederent ſonum: eaque ſignificari in Dianae cantico, cuius eſt initium:

Diana, mihi animus eſt gratum tibi edere carmen, interim dum haec alia (mulier) *aurata aenea crembala pulſet.*

Hermippus vero, in Diis, pulſare crembala uno verbo *crembalizare* dixit, his verbis:

Lepadas a petris detundentes crembalizant.

Didymus vero ait, conſueviſſe nonnullos, loco lyrae, complosis inter ſe conchis & teſtis numeroſum ſonum

να ἀποτελεῖν τοῖς ὀρχουμένοις, καθάπερ καὶ Ἀριστοφάνη ἐν Βατράχοις φάναι.

XL.

Timotheus culpatur veterem Muſicam corrupiſſe.

Ἀρτέμων δ', ἐν τῷ πρώτῳ Περὶ Διονυσιακοῦ Συστήματος· [1] Τιμόθεον, φησὶ, τὸν Μιλήσιον παρὰ τοῖς πολλοῖς δόξαι πολυχορδοτέρῳ συστήματι χρήσασθαι τῇ μαγάδι· [2] διὸ καὶ παρὰ τοῖς Λάκωσιν εὐθυνόμενον, ὡς παραφθείροι τὴν ἀρχαίαν μουσικήν· καὶ, μέλλοντός τινος ἐκτέμνειν αὐτοῦ τὰς περιττὰς τῶν χορδῶν, f δεῖξαι παρ' αὐτοῖς ὑπάρχοντα Ἀπολλωνίσκον, πρὸς τὴν αὐτὴν [3] σύνταξιν ἰσόχορδον λύραν ἔχοντα, καὶ ἀφεθῆναι. Δοῦρις δ', ἐν τῷ Περὶ Τραγῳδίας· ὠνομάσθαι, φησὶ, τὴν μάγαδιν ἀπὸ Μάγδιος, [4] Θρᾳκὸς γένος.

Rurſus de Magadi.

Ἀπολλόδωρος δ' ἐν τῇ πρὸς τὴν Ἀριστοκλέους ἐπιστολὴν Ἀντιγραφῇ· „ὃ νῦν, φησὶν, ἡμεῖς λέγομεν ψαλτήριον, τοῦτ' εἶναι μάγαδιν. ὁ δὲ κλεψίαμβος κλη-

1 ἐπιστήματος vulgo. 2 μαγάδιδι edd. 3 τὴν αὐτοῦ σύνταξιν ms. *A*. 4 Μάγδου ms. *Ep*.

edere ſaltantibus; quod etiam ſignificari ait ab Ariſtophane in Ranis.

40. Artemon vero, primo libro de Dionyſiaco Syſtemate, Timotheum Mileſium, ait, viſum plerisque uſum eſſe ſyſtemate plurium, quam par eſſet, chordarum, nempe magadi: ideoque apud Lacedaemonios reum factum, quod veterem muſicam corrupiſſet: quumque in eo eſſet quispiam, ut reſcinderet chordas iuſtum numerum ſuperantes, demonſtraſſe Timotheum eſſe apud ipſos Lacedaemonios Apollinis parvam imaginem, quae lyram teneret eodem numero chordarum eodemque ordine tenſam: atque ita accuſatione eſſe abſolutum. Duris vero, in libro de Tragoediâ, nomen inveniſſe magadin, ait, a Magdie, natione Thrace. Apollodorus vero in Reſponſione ad Ariſtoclis Epiſtolam ait, quod nunc pſalterium dicimus, id eſſe *magadin*. Qui autem

θεὶς, ἔτι [1] δὲ ὁ τρίγωνος, καὶ ὁ ἔλυμος, [2] καὶ τὸ ἐννεάχορδον, ἀμαυρότερα τῇ χρείᾳ καθέστηκε." καὶ Ἀλκμὰν δὲ φησί·

μάγαδιν δ' ἀποθέσθαι.

Σοφοκλῆς δ' ἐν Θαμύρᾳ·

Πηκταὶ δὲ λύραι καὶ μαγάδιδες
τά τ' ἐν Ἕλλησι ξόαν' ἡδυμελῆ. [3]

Τελέστης δ', ἐν Ὑμεναίῳ διθυράμβῳ, πεντάχορδόν φησιν αὐτὴν [4] εἶναι, διὰ τούτων·

Ἄλλος [5] δ' ἄλλαν κλαγγὰν ἰεὶς,
κερατόφωνον ἐρέθιζε μάγαδιν,
ἐν πενταράβδῳ [6] χορδᾶν [7] ἀριθμῷ
χεῖρα καμψιδίαυλον ἀναστροφῶν τάχος.

Οἶδα δὲ καὶ ἄλλο ὄργανον, ᾧ τῶν Θρᾳκῶν οἱ βασιλεῖς ἐν τοῖς δείπνοις χρῶνται, ὡς φησιν Νικομήδης ἐν

1 ἔστι ed. Ven. & Baſ. cum ms. *A*. 2 ἔλυμος edd. 3 ξόα ἡδυμ. ed. Caſ. 4 αὐτὸν edd. 5 Forſ. ἄλλως. 6 πενταῤῥάβδῳ edd. 7 χορδὰν edd.

clepſiambus vocabatur, item trigonus, & elymus tibia, & enneachordum, eorum uſus (ait) obſolevit. Alcman vero dixit:

Magadin deponere.

Sophocles vero in Thamyrâ:

Commode compactae lyrae & magadides,
& (alia) apud Graecos uſitata inſtrumenta - ex - ligno - probe - polito ſuaves - modos - ſonantia.

Teleſtes vero, in Hymenaeo dithyrambo, quinque chordis tenſam eſſe dicit, his verbis:

Alius [ſive, *Aliâs*] *alium ſonum edens*
corniſonam irritavit magadin
quinquepartito chordarum numero
manum currendo recurrendoque reciprocans celerrime.

Novi vero & aliud inſtrumentum, quo in coenis utuntur Thraciae reges, ut ait Nicomedes in libro de Or-

b τῷ Περὶ Ὀρφέως. Φοίνικα δὲ τὸ ὄργανον Ἔφορος καὶ Σκάμων [1] ἐν τοῖς Περὶ Εὑρημάτων, ὑπὸ Φοινίκων εὑρεθέντα, ταύτης τυχεῖν τῆς προσηγορίας· Σῆμος δὲ ὁ Δήλιος ἐν πρώτῳ [2] Δηλιάδος, διὰ τὸ ἐκ τοῦ ἐν Δήλῳ Φοίνικος τοὺς ἀγκῶνας αὐτοῦ ἐξεργάσασθαι. [3] Τῇ σαμβύκῃ πρώτην φησὶ χρήσασθαι Σίβυλλαν . . Σκάμων [4] ὁ προειρημένος· ὀνομασθῆναι δ' αὐτὴν, εὑρεθεῖσαν ὑπὸ Σάμβυκος τινός. Phoenix, instr. musicum. Sambuca.

XLI.

Καὶ περὶ τοῦ τρίποδος δὲ καλουμένου (ὄργανον δὲ καὶ τοῦτο μουσικὸν) ὁ προειρημένος Ἀρτέμων γράφει οὕτως· „Ὅθεν πολλὰ τῶν ὀργάνων οὐδ' εἰ c γέγονέ ποτε γινώσκεται· καθάπερ ὁ Πυθαγόρου τοῦ Ζακυνθίου τρίπους. ὀλιγοχρόνιον γὰρ τὴν ἀκμὴν σχὼν, καὶ, διὰ τὸ δοκεῖν ἐργώδης εἶναι κατὰ τὴν χειροθεσίαν, ἢ δι' ἣν δή ποτ' οὖν αἰτίαν, συντόμως καταλυ- Tripus, instrumentum musicum.

1 Σκάμων edd. & sic mox iterum. 2 ἐν τῷ πρώτῳ edd. 3 ἐξεργάσθαι malebam. 4 ὃς Σκάμων Ms. ὡς Σκάμνων edd.

pheo. *Phoenicem* vero instrumentum Ephorus & Scamon in libro de Inventionibus aiunt, ex eo quod a Phoenicibus inventum esset, nomen hoc invenisse: Semus vero Delius, libro primo Deliadis, ex eo, quod brachia (*vel* iuga) illius ex palma arbore (φοίνικι) quae Deli est conficerentur. *Sambucâ* primum usam esse Sibyllam .. ait Scamon supra dictus; nominatam autem ita esse ab inventore Sambyce quodam.

41. Porro etiam de *Tripode* qui vocabatur, quod item musicum fuit instrumentum, praedictus Artemon haec scribit: »Inde factum, ut multa sint instrumenta tam parum cognita, ut etiam exstitisse ea umquam, vulgo ignoretur: quemadmodum *Pythagorae Zacynthii tripus*. Quum enim usus huius instrumenti perexiguum duraverit tempus, &, quod tractatu difficile esse videbatur, sive alia quacumque de caussa, brevi fuerit derelictum, ignotum

ϑεὶς, διαλέληϑε τοὺς πολλούς. Ἦν δὲ παραπλήσιος μὲν Δελφικῷ τρίποδι, καὶ τοὔνομα ἐντεῦϑεν ἔσχεν· τὴν δὲ χρῆσιν τριπλῆς κιϑάρας παρείχετο. τῶν γὰρ ποδῶν ἑστώτων ἐπί τινος βάσεως εὐστρόφου, καθάπερ αἱ τῶν περιάκτων δίφρων κατασκευάζονται ϑέσεις, τὰς μέσας τρεῖς χώρας τὰς ἀπὸ ποδὸς ἐπὶ πόδα διε- d στώσας ἐνέτεινεν χορδαῖς, ὑπερϑεὶς ἑκάστῃ πῆχυν, καὶ κάτω προσαρμόσας χορδοτόνια, [1] καὶ τὸν ἐπάνω κόσμον κοινὸν τοῦ λέβητος καὶ τῶν παρηρτημένων ἐνίων ἀποδούς· ἐξ ὧν καὶ τὴν Φαντασίαν εἶχεν ἀστείαν, καὶ τὸν ἦχον προσέβαλεν ἁβρότερον. διένειμεν δ' ἑκάστῃ χώρᾳ τὰς τρεῖς ἁρμονίας, [2] τήν τε Δωριστὶ, καὶ Λυδιστὶ, καὶ Φρυγιστί. καὶ καθεζόμενος αὐτὸς ἐπί τινος δίφρου περὶ ταυτὸν συμμέτρως ἔχοντος [3] τῇ συστάσει, [4] διείρας [5] δὲ τὴν εὐώνυμον χεῖρα πρὸς τὴν

1 χορδοτονία ed. Ven. & Baſ. χορδοτονίᾳ ed. Caſ. 2 δ' ἑκάστης χώρας ταῖς τρισὶν ἁρμονίαις edd. cum ms. *A*. 3 ἔχοντα vulgo. 4 στάσει edd. διαστάσει coni. Dalec. 5 Forſ. διάρας.

eſt plerisque. Erat autem Delphico ſimile tripodi, unde etiam nomen habuit: uſum autem praeſtitit triplicis citharae. Cum enim pedes eius baſi cuidam facile circumagendae inſiſterent, quemadmodum verſatilium ſellarum conficitur fabrica, tres regiones inter binos quosque pedes interceptas chordis tetendit, unicuique regioni brachio ſive iugo ſuperne impoſito, inferne vero adaptatis verticillis quibus chordae intenderentur: in ſummitate vero communem cortinae ornatum, & nonnulla ex laterum ornamentis efficta exhibuit; unde & ſpeciem elegantem referebat inſtrumentum, & ſonum edebat validiorem. Per ſingulas autem regiones tres harmonias distribuit, Doriam, Lydiam & Phrygiam. Tum ſedens ipſe in ſella ad eamdem fere rationem conſtructa, extendens ſiniſtram manum ad prehendendum in-

ἐπιβολὴν, καὶ τῇ ἑτέρᾳ χρησόμενος τῷ πλήκτρῳ, καθ' ὁποίαν ἂν πρώτην ἠροῖτο [1] τῶν ἁρμονιῶν, μετέστρεφε τῷ ποδὶ τὴν βάσιν εὔτροχον οὖσαν, [2] καὶ πρὸς ἑτέραν πλευρὰν πάλιν ἐπιβάλλων ἐχρῆτο, καὶ πάλιν ἑτέραν. οὕτω δ' ὀξέως ὑπὸ τὴν χεῖρα προσῆγεν αὐτῷ τὰ συστήματα ἡ τῆς βάσεως εὐκινησία τῷ ποδὶ ψαυομένη, καὶ τὴν χειροθεσίαν ἐπὶ τοσοῦτον εἰθίσθη [3] κατοξύνειν, ὥστ', εἴ τις μὴ ξυνοράᾳ τὸ γινόμενον, ἀλλὰ διὰ τῆς ἀκοῆς μόνον κρίνοι, νομίζειν τριῶν κιθαριστῶν ἀκούειν διαφόρως ἡρμοσμένων. καὶ τοῦτο τὸ ὄργανον θαυμασθὲν ἰσχυρῶς, μετὰ τὴν ἐκείνου βίον ἐξέλιπεν [4] εὐθέως."

XLII. Psilocitharistica ars.

Τὴν δὲ ψιλὴν κιθάρισιν πρῶτον, φησὶ Μέναιχμος, [5] εἰσαγαγεῖν Ἀριστόνικον τὸν Ἀργεῖον, τῇ ἡλι-

1 εἴρητο edd. ηρειτο citatur ex Ms. 2 εὔτροχον δ' οὖσαν Ms. Forſ. δὴ οὖσαν debuerat: *quae ſcilicet erat.* 3 ἠθίσθη vulgo. 4 ἐξέλειπεν ms. *A.* 5 Μενέχαρμος edd.

ſtrumentum, alterâ autem plectro utens; ad quamcumque primum libuiſſet harmoniam pede convertit baſin circumactu facilem, tum rurſus in aliam partem, iterumque in aliam converſum inſtrumentum iniectâ manu prehendit, alterâque manu pulſavit. Adeo celeriter autem baſeos mobilitas, pede contacta, varia ſyſtemata ſub manum illius ſubiecit, atque tanta manuum agilitate tractare inſtrumentum ipſe adſueverat, ut, ſi quis id quod res erat oculis non conſpexiſſet, ſed ſolo auditu iudicaſſet, tres diverſos citharoedos quemque aliâ harmoniâ pulſantem citharam ſeſe audire exiſtimaret. Atque hoc inſtrumentum, quod vehementer admirati erant omnes, poſt illius e vita exceſſum confeſtim neglectum exolevit. «

42. Aſſâ citharâ canere, ait Menaechmus, primum inſtituiſſe Ariſtonicum Argivum, qui Archilochi vixit

κίᾳ γενόμενον κατὰ Ἀρχίλοχον, [1] κατοικήσαντα ἐν Κορκύρᾳ. Φιλόχορος δ' ἐν τρίτῃ Ἀτθίδος· „Λύσανδρος, φησὶν, ὁ Σικυώνιος κιθαριστὴς πρῶτος [2] μετέστησε τὴν ψιλοκιθαριστικὴν, μακροὺς τοὺς τόνους ἐντείνας, καὶ τὴν φωνὴν εὔογκον ποιήσας, καὶ τὴν ἔναυλον κιθάρισιν, ἣ πρῶτοι οἱ περὶ Ἐπίγονον ἐχρήσαντο. καὶ περιελὼν τὴν συντομίαν [3] τὴν ὑπάρχουσαν ἐν τοῖς a ψιλοῖς κιθαρισταῖς, χρώματά τε εὔχροα πρῶτος ἐκιθάρισεν, καὶ ἰάμβους, καὶ μάγαδιν, [4] τὸν καλούμενον συριγμόν· καὶ ὄργανον μετέλαβε μόνος τῶν πρὸ αὐτοῦ. καὶ τὸ πρᾶγμα αὐξήσας, χορὸν περιεστήσατο πρῶτος. Δίωνα δὲ τὸν Χῖον τὸ τοῦ Διονύσου σπονδεῖον πρῶτον κιθαρίσαι Μέναιχμος. Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην, καὶ πρῶτον ἐν Δελφοῖς

Lyſander pſilocitharista.

1 Ἀντίοχον edd. Ἀντίλοχον Natal. 2 πρῶτον edd. 3 συντονίαν edd. 4 Temere μαγάδιν h. l. ed. Caſ.

aetate, & Corcyrae habitavit. Philochorus vero, tertio libro Atthidos haec ſcribit: »Lyſander Sicyonius citharista primus mutavit pſilocitharisticam, longos nervos intendens, & vocem amplam ſpiſſamque faciens, & citharae cantum tibiae intermixtum adhibens, [*niſi potius*, tollens: *aut*: & citharae pulſu utens diu inſonante auribus,] quo primus uſus erat Epigonus. Igitur ſublatâ macritudine, quae fuerat in pſilocitharistarum cantu, chromata bene colorata primus citharâ exſecutus eſt, & iambos, & magadin quem vocant ſibilum: & primus omnium (inter pulſandum) mutavit inſtrumentum. Denique poſtquam rem ipſam locupletavit, chorum etiam primus circa ſe inſtituit. Dionem vero Chium, ait Menaechmus, primum fuiſſe qui Bacchi ſpondeum citharâ caneret. Timomachus vero in Cypriacis ait, Steſandrum Samium plurimum amplificaſſe artem, & primum

b κιθαρῳδῆσαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας. ἄλλοι δὲ πρῶτόν φασι παρ' Ἐλευθερναίοις κιθαρίσαι τὰς ἐρωτικὰς ᾠδὰς Ἀμίτωνα [1] τὸν Ἐλευθερναῖον, οὗ καὶ τοὺς ἀπογόνους Ἀμίτορας [2] καλεῖσθαι. Ἀριστόξενος δέ φησιν, ὥσπερ τῶν ἑξαμέτρων τινὲς ἐπὶ τὸ γελοῖον παρῳδὰς εὗρον, οὕτω καὶ τῆς κιθαρῳδίας πρῶτος Οἰνώπας [3] ὃν ἐζήλωσαν Πολύευκτός τε [4] ὁ Ἀχαιὸς, καὶ Διοκλῆς ὁ Κυναιθεύς. Καὶ μοχθηρῶν δὲ ᾀσμάτων γεγόνασι ποιηταὶ, περὶ ὧν φησι Φαινίας ὁ Ἐρέσιος [5] ἐν τοῖς Πρὸς τοὺς Σοφι-
c στὰς, γράφων οὕτως· „ Τελένικος ὁ Βυζάντιος, ἔτι δὲ Ἀργᾶς, ποιηταὶ μοχθηρῶν ὄντες νόμων, πρὸς μὲν τὸν ἴδιον χαρακτῆρα τῆς ποιήσεως εὐπόρουν· τῶν δὲ Τερπάνδρου καὶ Φρύνιδος νόμων οὐδὲ κατὰ μικρὸν ἠδύναντο ἐπιψαῦσαι.“ τοῦ Ἀργᾶ μιμνημονεύει Ἀλεξις ἐν Ἀποβάτῃ οὕτως·

Parodiae carminum ad citharam canendorum.

1 Ἀμήτορα edd. 2 ἀμήτορας edd. 3 Οἰνώτας ms. *Ep.* 4 Πολύδευκτός τε edd. 5 Φανίας ὁ Ἐρέσσιος edd.

Delphis Homericas pugnas citharâ cantaſſe, ab Odyſſeâ facto initio. Alii tradunt, apud Eleuthernaeos amatoria carmina primum citharâ cantaſſe Amitonem Eleuthernaeum; cuius poſteros Amitores adpellari ait. Ariſtoxenus vero ait, quemadmodum hexametrorum parodias quidam invenerunt, quibus ridicule detorquentur hexametri: ſic etiam carminum ad citharam cantatorum parodias invenit primus Oenopas; quem imitati ſunt Polyeuctus Achaeus, & Diocles Cynaethenſis. Fuere porro vilium canticorum poëtae illi, de quibus Phanias Ereſius in libris contra Sophiſtas loquitur, ita ſcribens: »Telenicus Byzantius, item Argas, vilium modorum poëtae; qui in ſuo quidem poëſeos genere ſucceſſum habuere, ſed Terpandri aut Phrynidis modos ne attingere quidem auſi ſunt.« Argae meminit Alexis in Apobata:

Α. Χορόνικος [1] ποιητὴς ὀδί. [2]

Β. Τίνων ποιητὴς ᾀσμάτων; Α. Σεμνῶν πάνυ.

Β. Τί πρὸς τὸν Ἀργᾶν οὗτος; Α. Ἡμέρας δρόμῳ κρείττων. —

καὶ Ἀναξανδρίδης, ἐν Ἡρακλεῖ·

Ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται.
ὡς δ' εὔρυθμος [3] λαβὼν τὸ μελετητήριον,
εἶτ' ἐσχεδίασε δριμέως ἐν . . [4] παπαί.
Μεστὸς γενόμενος, πρὸς τὸν Ἀργᾶν βούλομαι
κωδωνίσας πέμψαι σ' ἀγωνιούμενον,
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστὰς, ὦ φίλε.

XLIII. Gnesippus παιγνιαγράφος.

Ὁ δὲ τοὺς εἰς Χιονίδην [5] ἀναφερομένους ποιήσας Πτωχοὺς, Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου [6] τῆς ἱλαρᾶς μούσης, λέγων οὕτως·

Ταῦτ' οὐ, μὰ Δία, Γνήσιππος, οὐδ' ὁ Κλεομένης [7]

1 Temere Χορόνιχος ed. Caſ. 3. 2 ὁ ποιητὴς ὁ δή edd. 3 εὐρύθμως malebam. 4 δριμέως, παπαὶ, παπαί. coni. Caſ. 5 Χιονίδη Ms. 6 παίγνιογράφου ed. Caſ. 7 Κλεόμαχος coni. Caſaub.

A. *In choris victor poëta hicce.*

B. *Quorum carminum poëta?* A. *Praeſtantium admodum.*

B. *Qualis eſt hic, ſi cum Arga conferas?* A. *Integri diei curſu*

illum ſuperat. —

Et Anaxandrides, in Hercule:

Hunc quidem ſolertem eſſe hominem adparet.
Quam concinne prehendit inſtrumentum,
& dein ex tempore pulſavit argute, papae!
Satur quum fuero, ad Argam te volo,
poſtquam exploravi, mittere, cum quo contendas;
ut tu etiam ſolertes homines vincas, amice!

43. Auctor fabulae, cui Pauperes titulus, quae Chionidae tribuitur, *Gneſippi* cuiusdam meminit, ludicrorum carminum & hilaris Muſae poëtae, his verbis:

Haec, per Iovem, nec Gneſippus, nec Cleomenes,

e ἐν ἐννέα χορδαῖσι [1] κατεγλυκάνατο.
καὶ ὁ τοὺς Εἴλωτας [2] δὲ πεποιηκὼς, φησίν·
„ Τὰ [3] Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τ' ἀρχαῖον [4] ἀείδειν. (ὁ δὲ Γνήσιππός ἐστιν ἀκούειν.) κεῖνος νυκτερινὰ εὗρε μοιχοῖς ἀείσματ' ἐκπαλεῖσθαι γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνον."
Κρατῖνος, ἐν Μαλθακοῖς·
„ Τίς ἄρ' ἔρωτά [5] μ' οἶδεν, ὦ Γνήσιππε; ἐγὼ πολλῇ χολῇ οἶομαι μηδὲν οὕτως μωρὸν εἶναι καὶ κενόν."
* * [6] σκώπτει δὲ αὐτὸν εἰς τὰ ποιήματα καὶ ἐν Βουκόλοις· Cleomachus, pravus poëta.
f Ὃς οὐκ ἔδωκ' αἰτοῦντι Σοφοκλεῖ χορὸν,

1 Forſ. ἐν ἐννεαχόρδοισιν. 2 Ἰλεώτας edd. Ἰλεώτας h. l. Ms.
3 Τὸν Στησιχ. edd. 4 Forſ. ἀρχαῖα: & dein forſ. ἀείδει.
5 Grotius ſic corrigit:
Τίς ἄρ' ἐρῶντά μ' οἶδεν, ὦ Μνήσιππ'; ἐγὼ πολλῇ χολῇ·
οἶομαι γὰρ μηδὲν οὕτως μωρὸν εἶναι καὶ κενόν.
6 Videtur tale quid deeſſe: Κλεομάχου δὲ, ὡς φαύλου ποιητοῦ, μνημονεύει ὁ αὐτὸς Κρατῖνος. Deeſt autem vulgo defectûs nota.

inſtrumentis – novem – fidibus – inſtructis edulcaverint.
Et auctor fabulae, quae Eilotae inſcribitur, ait:
Et Steſichori & Alcmanis & Simonidis vetuſta carmina canere novit. (Intelligi autem debet, *Gneſippus.*) *Idem invenit moechis nocturna cantica, quibus mulierculas provocent, ſecum habentes iambucam & triangulum.*
Cratinus, in Mollibus:
Quis, Gneſippe, me amantem vidit? inquam ego ira percitus:
nam ſtolidius nihil eſſe usquam vaniusque exiſtimo.
Idem in Bubulcis (Cleomachum) perſtringit ob inſulſa poëmata:
Qui Sophocli petenti non dedit chorum,

τῷ Κλεομάχῳ δ', ὃν οὐκ ἂν ἠξίουν ἐγὼ
ἐμοὶ διδάσκειν οὐδ' ἂν εἰς Ἀδώνια.

ἐν δὲ ταῖς Ὥραις·

— Ἴτω δὲ καὶ τραγῳδίας
ὁ Κλεόμαχος [1] διδάσκαλος, [2] παρατιλτριῶν
ἔχων χορὸν, Λυδιστὶ τιλλουσῶν μέλη
πονηρά. —

Τηλεκλείδης δ' ἐν τοῖς Στερροῖς καὶ περὶ μοιχείας [3] a ἀναστρέφεσθαί φησιν αὐτόν. Κλέαρχος δ' ἐν δευτέρῳ Ἐρωτικῶν, τὰ ἐρωτικὰ, φησὶν, ᾄσματα καὶ τὰ Λοκρικὰ καλούμενα, οὐδὲν τῶν Σαπφοῦς καὶ Ἀνακρέοντος διαφέρειν. [4] Ἔτι δὲ [5] τὰ Ἀρχιλόχου καὶ τῶν Ὁμήρου Ἐπικιχλίδων τὰ πολλὰ διὰ τῆς ἐμμέτρου ποιήσεως τούτων ἔχεταί τινος τῶν παθῶν, ἀλλὰ καὶ τὰ Ἀσωποδώρου περὶ τὸν Ἔρωτα, καὶ πᾶν τὸ τῶν

1 Κλεομάχου vulgo. 2 μετὰ τῶν παρατιλτριῶν vulgo.
3 μοιχίας edd. 4 διαφθείρειν ms. *A*. 5 ἐν δὲ edd.

ſed Cleomacho; quem equidem nollem
mihi chorum docere ne ad Adonia quidem.

Item in Horis:

— *Valeat vero etiam tragoediae*
didaſcalus Cleomachus, depilatricium
habens chorum, Lydico more vellentium
carmina prava. —

Teleclides vero, in Rigidis, etiam in adulteriis verſatum eumdem ſignificat. Clearchus vero ſecundo libro Amatoriorum ait, amatoria cantica & Locrica quae vocantur, nihil a Sapphûs & Anacreontis carminibus differre. Adhaec vero Archilochi carmina, & Epicichlidum Homeri maior pars, partem quamdam eiusdem animi adfectionis metricâ poëſi exſequuntur. Sed & quae Aſopodorus ſcripſit in Amorem, (*ſive*, in Cupidinem,)

Ἐρωτικῶν Ἐπιστολῶν γένος ἐρωτικῆς τινος διὰ λόγου ποιήσεως ἐστίν.

b Τοσαῦτα τοῦ Μασσουρίου διεξελθόντος, περιηνέχθησαν ἡμῖν καὶ αἱ ΔΕΥΤΕΡΑΙ καλούμεναι ΤΡΑΠΕΖΑΙ· πολλάκις ἡμῖν διδόμεναι, οὐ μόνον ταῖς τῶν Κρονίων ἡμέραις, ἐν αἷς Ῥωμαίων παισὶν ἔθος ἐστὶν [1] ἑστιᾶν τοὺς οἰκέτας, αὐτοὺς τὰς τῶν οἰκετῶν ἀναδεχομένους λειτουργίας. Ἑλληνικὸν δὲ τοῦτο τὸ ἔθος, ἐν Κρήτῃ γοῦν, τῇ τῶν Ἑρμαίων ἑορτῇ, τὸ ὅμοιον γίνεται, ὡς φησι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασιν. εὐωχουμένων γὰρ τῶν οἰκετῶν, οἱ δεσπόται ὑπηρετοῦσι πρὸς τὰς διακονίας. καὶ ἐν Τροιζῆνι δὲ, μηνὶ c Γεραιστίῳ· [2] πανήγυρις δὲ τότε γίνεται πολυήμερος, ἧς ἐν μιᾷ οἱ δοῦλοι μετὰ τῶν πολιτῶν κοινῇ τε ἀστραγαλίζουσι, καὶ οἱ κύριοι τοὺς δούλους ἑστιῶσιν, ὡς ὁ αὐτός [3] φησι Καρύστιος. Βήρωσος δ', ἐν πρώτῳ Βαβυλωνιακῶν, τῷ Λώῳ φησὶ μηνὶ ἑκκαιδεκάτῃ, ἄγε-

XLIV. SECUNDAE MENSAE.

Saturnalia, a Graecis derivata.

1 Desunt duo verba ms. *A*. 2 Γεραιστίωνι edd. 3 ὡς αὐτὸς edd.

& totum Epistolarum Amatoriarum genus, poëfis quaedam est solutâ oratione comprehensa.

44. Haec quum disseruissent Masurius, circumferebantur nobis etiam *Secundae* quae vocantur *Mensae:* quae quidem saepius nobis exhibebantur, nec solum *Saturnalium* diebus: quibus solent Romani servos convivio excipere, ipsi servilia ministeria obeuntes. Est autem Graecanicus hic mos. In *Cretâ* certe feriis Mercurialibus idem faciunt, ut ait Carystius in Historicis Commentariis. Epulantur enim servi, & ministrant famulanturque heri. Idem fit Troezene, mense Geraestio: quo celebrantur plurium dierum feriae, quorum dierum uno servi unà cum civibus talis ludunt, & heri servos epulis excipiunt, ut idem tradit Carystius. Berosus vero primo Rerum Babylonicarum scribit, decimo

Sacea, festum Babyloniorum & Persarum.

σθαι ἑορτὴν Σακέαν [1] προσαγορευομένην ἐν Βαβυλῶνι ἐπὶ ἡμέρας πέντε, ἐν αἷς ἔθος εἶναι ἄρχεσθαι τοὺς δεσπότας ὑπὸ τῶν οἰκετῶν, ἀφηγεῖσθαί τε τῆς οἰκίας ἕνα αὐτῶν ἐνδεδυκότα στολὴν ὁμοίαν τῇ βασιλικῇ, ὃν καὶ καλεῖσθαι Ζωγάνην. [2] μνημονεύει τῆς ἑορτῆς καὶ Κτησίας, ἐν δευτέρῳ Περσικῶν. Κῶοι δὲ τουναντίον d δρῶσιν, ὡς ἱστορεῖ Μακαρεὺς ἐν τρίτῳ Κωακῶν. ὅταν γὰρ τῇ Ἥρᾳ θύωσιν, δοῦλοι οὐ παραγίνονται ἐπὶ τὴν εὐωχίαν. διὸ καὶ Φύλαρχον εἰρηκέναι·

Σούριοι οἱ [3] μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοὶ [4]
ἀνδράσι πρὸς κείνοισιν, ἐλεύθερον ἆμαρ ἔχοντες·
δούλων δ' οὔτις πάμπαν ἐσέρχεται οὐδ' ἠβαιόν.

XLV.

Peloria Theſſalorum.

Βάτων δ' ὁ Σινωπεὺς, ὁ ῥήτωρ, ἐν τῷ Περὶ Θεσσαλίας καὶ Αἱμονίας, σαφῶς ἐμφανίζει τὴν τῶν Σα- e τουρναλίων ἑορτὴν Ἑλληνικωτάτην, φάσκων αὐτὴν πα-

1 Σαχαίαν forſ. 2 ζογάνην *Epit.* 3 Σούριοι οἱ ed. Ven. & Baſ. Σουρίῃ μοῦνοι Ms. Forſ. Νισύριοι. μοῦνοι μὲν &c. Aut Νισυρίοις μοῦνοι μὲν & verſ. ſeq. κἀνδράσι &c. deleto commate poſt κείνοισιν. 4 εἰσ' ἱερουργοὶ edd.

ſexto die menſis Loi, *Babylone* quinque dierum feſtum agi, *Saceam* (ſive *Sacaeam*) nominatum: quibus diebus morem eſſe ait, ut heris imperent ſervi, & domui praeſit unus e ſervis ſtolam indutus regiae ſimilem, adpellarique illum *Zoganen*. Meminit eiusdem feſti Cteſias etiam, ſecundo Perſicorum. *Coi* vero contrarium faciunt, ut narrat Macareus, tertio libro Rerum Coacarum. Nam, quando Iunoni ſacra faciunt, ſervis non licet ad epulas accedere: quare etiam Phylarchum, ait, dixiſſe:

Niſyrii. Soli quidem liberi ſacris operantur
apud illos homines: ſoli, inquam, liberi:
ſervorum vero nullus ingreditur, ne minimum quidem.

45. Bato vero Sinopenſis, orator, in libro de Theſſalia & Haemonia, perſpicue declarat, *Saturnalium* feſtum quam maxime Graecanicum eſſe, dicitque apud

ρὰ τοῖς Θεσσαλοῖς Πελώρια καλεῖσθαι· γράφων οὕτως· „Θυσίας κοινῆς τοῖς Πελασγοῖς γινομένης, ἀναγγεῖλαί τινα τῷ Πελασγῷ ἄνδρα, ᾧ ὄνομα ἦν Πέλωρος, διότι ἐν τῇ Αἱμονίᾳ σεισμῶν μεγάλων γινομένων ῥαγεῖη τὰ Τέμπη ὄρη ὀνομαζόμενα, καὶ διότι διὰ τοῦ διαστήματος ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλοι εἰς τὸ τοῦ Πηνειοῦ ῥεῖθρον, καὶ τὴν πρότερον λιμνάζουσαν χώραν ἅπασαν γεγυμνῶσθαι, καὶ ἀναξηραινομέ-
f νων τῶν ὑδάτων πεδία θαυμαστὰ τῷ μεγέθει καὶ τῷ κάλλει ἀναφαίνεσθαι. ἀκούσαντα οὖν τὸν Πελασγὸν, τὴν τράπεζαν ἀφθόνως αὐτῷ κεκοσμημένην τῷ Πελώρῳ παραθεῖναι. καὶ τοὺς ἄλλους δὲ φιλοφρονουμένους ἕκαστον φέρειν ὅ τι ἔχοι παρ' αὐτῷ βέλτιστον, καὶ παρατιθέναι ἐπὶ τὴν τράπεζαν τῷ ἀπαγγείλαντι, καὶ αὐτὸν τὸν Πελασγὸν προθύμως διακονεῖν, καὶ τῶν ἄλλων τοὺς ἐν ἀξιώματι ὄντας ὑπηρετεῖν, καθότι ἑκάστῳ ὁ καιρὸς παρέπιπτε. διόπερ φασὶν, ἐπεὶ τὴν χώ-

Theſſalos *Peloria* nominari. Verba eius haec ſunt: » Quo tempore ſacrificium epulumque publicum celebrabant Pelasgi, renunciavit Pelasgo vir quidam, cui nomen *Pelorus* erat, vehementibus terrae motibus exortis in Haemonia disruptos eſſe montes qui Tempe vocantur, & per intervallum erumpentem aquam paludis in Penei alveum influxiſſe, regionemque univerſam quae antea paluſtris fuiſſet, denudatam eſſe, & exſiccatis aquis campos adparuiſſe mirae & amplitudinis & pulcritudinis. Quibus auditis, Pelasgus menſam ſibi laute inſtructam Peloro adpoſuit, & reliqui omnes multa comitate adtulerunt ſinguli quidquid quisque optimum habebat, & menſae nuncii impoſuerunt, ipſeque Pelasgus promte ei miniſtravit, & reliquorum quisque honoratiorum eidem famulabantur, prout cuique offerebatur occaſio. Quamobrem, poſt-

ραν κατέσχον, ἀπομίμημα τῆς τότε γενομένης ἑορτῆς, καὶ [1] θύοντας Διὶ Πέλωρι,[2] τραπέζας τε λαμπρῶς a κοσμοῦντας προτιθέναι, καὶ οὕτως [3] φιλάνθρωπον τὴν πανήγυριν συντελεῖν, ὥστε καὶ τοὺς ξένους ἅπαντας ἐπὶ τὴν θοίνην παραλαμβάνειν, καὶ τοὺς δεσμώτας λύειν, καὶ τοὺς οἰκέτας κατακλίναντας μετὰ πάσης παῤῥησίας ἐστιᾶν, διακονούντων αὐτοῖς τῶν δεσποτῶν· καὶ τὸ σύνολον ἔτι καὶ νῦν Θεσσαλοὺς μεγίστην ἑορτὴν ἄγοντας, προσαγορεύειν Πελωρίαν."

XLVI. Secundae curae meliores.

Πολλάκις οὖν, ὡς ἔφην, τῶν τοιούτων ἡμῖν παρατιθεμένων ἐπιδορπισμάτων, ἔφη τις τῶν παρόντων·

Αἱ δεύτεραί πως Φροντίδες σοφώτεραι. b
τί γὰρ ποθεῖ τράπεζα; τῷ δ' οὐ βρίθεται;
πλήρης μὲν ὄψων ποντίων· πάρεισι δὲ
μόσχων τέρειναι σάρκες, [4] χηνεία τε δαὶς,

1 Commodius abfutura erat καὶ particula. 2 Πελώρῳ *Epit.* 3 καὶ οὕτως τε ms. *A.* 4 σάρκε corr. Musgr.

quam regionem illam occuparunt, ad imitationem, ut aiunt, feſti tunc celebrati, Iovi Pelori (*ſive*, Peloro) ſacra facientes, menſas ſplendide inſtructas proponunt, tantaque liberalitate humanitateque panegyrin illam celebrant, ut & peregrinos cunctos ad epulas adhibeant, & vinctos ſolvant, & ſervos adcumbere & cum omni libertate epulari iubeant, miniſteria obeuntibus dominis: & omnino etiam nunc Theſſali maxima celebritate feſtum illud agunt, & *Peloriam* nominant.«

46. Cum igitur ſaepius nobis talia adponerentur bellaria, dixit aliquis e convivis:

Secundae fere curae ſunt ſapientiores.
Quid enim deſiderat menſa? quid eſt, quo non onuſta ſit?
plena quidem marino obſonio: adeſt etiam
vitulina tenera caro, item anſerina:

καὶ πεπτὰ, καὶ κροτητὰ, τῆς ξουθοπτέρου
πελάνῳ μελίσσης ἀφθόνως δεδευμένα·

Φησὶν ὁ Εὐριπίδης ἐν Κρήσσαις. καὶ, ὡς ὁ Εὔβουλος δ' ἐν Ὀλβίᾳ ἔφη·

Ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα, κλητῆρες, [1] βότρυς, Athenis cuncta venalia.
γογγυλίδες, ἄπιοι, μῆλα, μάρτυρες, ῥόδα,
μέσπιλα, χόρια, [2] σχαδόνες, ἐρέβινθοι, δίκαι,
πυὸς, πυριάτη, [3] μύρτα, κληρωτήρια,
ὑάκινθος, ἄρνες, κλεψύδραι, [4] νόμοι, γραφαί.

Μέλλοντος οὖν τοῦ Ποντιανοῦ λέγειν περὶ ἑκάστου τῶν παρακειμένων· Οὐ πρότερόν γε, ἔφη ὁ Οὐλπιανὸς, ἀκουσόμεθα περὶ τούτων, ἕως ἂν περὶ τῶν ἐπιδορπισμάτων εἴπῃ. [5] καὶ ὁ Ποντιανός· τραγήματα Epidorpismata.

1 οὐκ ἀκλητῆρες vulgo. 2 χώρια ed. Caſ. 3 πυρεία τε edd. 4 κλέψυδραι ed. Caſ. 2. & 3. & Caſaubonus in Animadv. 5 εἴπῃς forſ.

adſuntque placentae, & crepitantia liba flavae-volucris
ſucco apis large rigata:

Euripidis verba ſunt in Creſſis. Et, quod Eubulus ait in Fortunatâ:

Perinde ſimul omnia venalia
Athenis: fici, apparitores in ius vocantes, uvae,
rapa, pyra, mala, teſtes, roſae,
meſpila, placentulae, favi, cicer, iudicia,
coloſtrum cum crudum, tum igne ſpiſſatum, myrti baccae,
magiſtratus ſorte creandi,
hyacinthus, agni, clepſydrae, leges, accuſationes.

Quum igitur in eo eſſet Pontianus, ut de ſingulis eorum quae adpoſita erant dicere adgrederetur: Non prius profecto, Ulpianus ait, de his differentem audiemus, quam de *epidorpismatis* verba fecerit. Tum Pontianus:

Κράτης φησὶ Φιλιππίδην λέγειν ἐν Φιλαργύρῳ οὕτως·

Πλακοῦντες, ἐπιδορπίσματ', ὠά, σήσαμα. d
ὅλην λέγοντά μ' ἐπιλίποι [1] τὴν ἡμέραν.

καὶ Δίφιλος ἐν Τελεσίᾳ·

Τράγημα, μυρτίδες, πλακοῦς, ἀμυγδαλαῖ·
ἐγὼ δὲ ταῦθ' ἥδιστά γ' ἐπιδορπίζομαι.

Σώφιλος, ἐν Παρακαταθήκῃ·

Ἡδύ γε μετ' ἀνδρῶν ἐστιν Ἑλλήνων ἀεὶ
συνάγειν· τὸ πρᾶγμα χάριεν. οὐχὶ [γὰρ] [2] δύο
κυάθους ἀνεβόησέν τις ὑπόχει· κωμάσαι
πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ· ἵν' ἐκεῖ κατακλιθεὶς
ἐπιδορπίσηται τὰς ὀνείας ματτύας.

Πλάτων ἐν τῷ Ἀτλαντικῷ μεταδόρπια αὐτὰ καλεῖ, e
ἐν τούτοις· „Πάντα τε εὐώδη ἔφερε τότε [3] τοῖς κατοι-

1 ἐπιλείποι Ms. ὅλη λεγ. μ' ἐπιλίποι γ' ἡ ἡμέρα corr. Caſ. 2 Abeſt γὰρ vulgo. 3 εὐώδης ἐφαίνετο τοῖς edd. εὐώδη ἐφέρετο τοῖς Ms.

Bellaria ſic nominaſſe Philippidem in Philargyro dicit Crates. Poëtae verba haec ſunt:

Placentae, epidormismata, ova, ſeſama.
Si totum diem verba facerem, ipſe me dies defecturus eſſet.

& Diphilus, in Teleſia:

Bellaria, myrti baccae, placentae, amygdalae:
ego haec libentiſſime utique ἐπιδορπίζομαι.

Sophilus, in Depoſito:

Suave ſane ſemper eſt, Graecis cum hominibus
convivari. Iucunda res. Nemo eſt, qui,
» *Duos cyathos, clamet, adfunde: comeſſari enim*
» *apud Tanagricam oportet, ut ibi adcumbens*
» *epidorpizet aſininas mattyas.* «

Plato vero, in Atlantico, *metadorpia* eadem adpellat, ubi ait: » Omnia fragrantia ferebat tunc habitantibus

κοῦσιν ἡ γῆ, καὶ τὸν ἥμερον δὲ καρπὸν πλεῖστον ἔφερε, καὶ ἀκροδρύων πλῆθος, καὶ ὅσα παραμύθια ἡδονῆς μεταδόρπια."

XLVII. Secundae mensae, Epiphoremata.

Τρύφων δέ φησι, τὸ παλαιὸν, πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας, ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλά τε καὶ ποικίλα ἐπεισφέρεσθαι· διὸ καὶ ἐπιφορήματα κληθῆναι. Φιλύλλιος δ' ἐν Φρεωρύχῳ φησὶ, περὶ τῶν δευτέρων τραπεζῶν λέγων·

f „Ἀμύγδαλα, κάρυα, ἐπιφορήματα."

καὶ Ἄρχιππος ἐν Ἡρακλεῖ, καὶ Ἡρόδοτος ἐν πρώτῃ. καὶ ἐπιδορπίσασθαι δ' ἔλεγον, τὸ ἐντραγεῖν καὶ ἐπιδειπνῆσαι. ἅπερ Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπιφορήματα καλεῖ διὰ τούτων·

— Ἰτρίοις [1] ἐπιφορήμασί τ'
ἄλλοις γέμουσα. —

1 Ἰτρίοισιν, opinor, scripserat poëta.

tellus, & mites fructus plurimos gignebat, & pomorum nucumque omne genus ingentem multitudinem, & quaecumque voluptatem demulcent metadorpia."

47. Tryphon vero ait: olim, priusquam intrarent convivae, mensis impositam iacuisse cuiusque portionem; deinde vero adhuc plura & multifaria postmodum esse illata; (ἐπεισφέρεσθαι) unde *epiphoremata*, quasi *post illata*, haec nominata esse. Philyllius quidem in Puteario, de secundis mensis loquens, ait:

Amygdala, nuces, epiphoremata.

Item Archippus in Hercule, & Herodotus libro primo. Et ἐπιδορπίζεσθαι dicebant, post coenam manducare & dentes exercere: quae Archippus, in Hercule-uxorem-ducente, *epiphoremata* vocat, ubi ait:

— *Itriis aliisque* ἐπιφορήμασι
onusta mensa. —

καὶ Ἡρόδοτος δ' ἐν τῇ πρώτῃ· „Σιτίοις δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖς.“ Τὸ μέν τοι κατὰ a
τὴν παροιμίαν λεγόμενον „Ἄβυδηνὸν ἐπιφόρημα“ τέλος τί ἐστιν καὶ ἐλλιμένιον, [1] ὡς Ἀριστείδης φησὶν ἐν τρίτῳ περὶ Παροιμιῶν. Διονύσιος δὲ ὁ τοῦ Τρύφωνος· „Τὸ μὲν παλαιὸν, πρὶν εἰσελθεῖν τοὺς δαιτυμόνας, ἐπὶ τῶν τραπεζῶν κεῖσθαι τὴν ἑκάστου μοῖραν, ὕστερον δὲ πολλὰ ποικίλα [2] ἐπιφέρεσθαι. διὸ καὶ ἐπιφορήματα κληθῆναι.“ Φιλύλλιος δ', ἐν Φρεωρύχῳ, τὰ ἐπιφερόμενα μετὰ τὸ δειπνῆσαι, λέγων ὧδε·

— Ἀμύγδαλα, καρύδι', [3] ἐπιφορήματα. b

Πλάτων δ', ἐν Μενέλεῳ, ἐπιτραπεζώματα αὐτὰ καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα· λέγων οὕτως,

— Α. Εἰπέ μοι,
ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων;

1 καὶ ἐναιμένιον vulgo. 2 Immo πολλὰ καὶ ποικίλα. 3 καρύδια edd.

Herodotus vero, primo libro: »Cibis paucis utuntur, ἐπιφορήμασι (*bellariis*) vero multis.« Quod autem in proverbio dicitur, *Abydenorum epiphorema*, id vectigal quoddam eſt & portorium; ut Ariſtides ait tertio libro de Proverbiis. Dionyſius vero, Tryphonis (diſcipulus,) ſcribit: Olim quidem, priusquam intrarent convivae, menſis impoſitam fuiſſe cuiusque portionem; deinde vero alia multa atque varia inſuper eſſe illata, quae idcirco etiam *epiphoremata* (quaſi *illata poſt alia*) nominata ſint. Philyllius vero in Putearia ſic vocat ea quae poſt coenam inferuntur, ubi ait:

Amygdalae, nuces, epiphoremata.

Plato vero, in Menelao, *epitrapezomata* vocat; veluti, inſuper impoſitos menſae cibos; ubi ait:

— A. *Dic mihi,*
cur tam pauca ex epitrapezomatis reliqua?

B. Ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Ἀριστοτέλης δ', ἐν τῷ Περὶ Μέθης, τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια· ὡσεὶ γὰρ [1] ἐπιδορπισμὸν εἶναι. Πίνδαρος δ' ἐστὶν ὁ εἰπών· Trogalia.

c Δείπνου δὲ λήγοντος [2] γλυκὺ τρωγάλιον,
καὶ πέδ' ἄφθονον [3] βορᾶν.

ὄντως γὰρ, κατὰ τὸν Εὐριπίδην, ἀποβλέψαντά ἐστιν εἰς τὰ παρακείμενα εἰπεῖν·

Ὁρᾷς τὸν εὐτράπεζον ὡς ἡδὺς βίος.

Ὅτι γὰρ ἦσαν καὶ παρὰ τοῖς ἀρχαίοις αἱ δεύτεραι τράπεζαι πολυτελῶς μεμεριμνημέναι, παρίστησι Πίνδαρος ἐν Ὀλυμπιονίκαις, περὶ τῆς Πέλοπος κρεουργίας διηγούμενος· XLVIII. Pelopis caro, in cibo adpoſita.

Τραπέζαισι δ' ἀμφὶ δεύτατα [4] κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

d Ἐμοὶ δ' ἄπορον, γαστρίμαργον

1 τρωγάλια γὰρ, absque ὡσεὶ edd. 2 λέγοντος edd. 3 καὶ περὶ παῖδ' ἀφθ. vulgo. 4 ἀμφι δευρα (neſcio quo accentu) habet ms. *A*.

B. *Nempe exoſus ille Diis devoravit ea.*

Ariſtoteles vero, in libro de Temulentiâ, tragemata ait ab antiquis *trogalia* vocari: eſſe enim veluti ſecundam coenam. Pindarus autem dixit:

Sub finem coenae dulce trogalium,
etiam poſt copioſe captum cibum.

[Recte ille quidem:] nam adpoſitos ſi adſpiciamus cibos, revera cum Euripide dicere licet:

Vides bene inſtructis menſis quam dulcis ſit vita.

48. Nam, apud veteres quoque magnifice curatas eſſe ſecundas menſas, Pindarus docet in Olympionicis, de Pelopis carne in cibo adpoſita loquens:

In menſas ſub finem fruſta tuarum
carnium diſtribuerunt comederuntque.
Ego vero dubito, helluonem

μακάρων τιν' εἰπεῖν.

Menſae, pro Cibis. Οἱ δὲ παλαιότεροι ἁπλῶς τραπέζας ἔλεγον, ὡς Ἀχαιὸς ἐν Ἡφαίστῳ Σατυρικῷ·

Α. Θοίνῃ σε [1] πρῶτον τέρψομεν. πάρεστι δέ. [2]

Β. Τὸ δεύτερον τῷ με [3] κηλήσεις τρόπῳ;

Α. Μύρῳ σε χρίσω πάμπαν εὐόσμῳ δέμας.

Β. Ὕδωρ δὲ νίψαι χεῖρας οὐ πρόσθεν δίδως;

Α. Ναί· [καὶ] [4] τράπεζά γ' ἐκποδὼν ἀπαίρεται. [5]

Ἀριστοφάνης Σφηξίν·

Ὕδωρ κατὰ χειρός· τὰς τραπέζας εἰσφέρειν.

Ἀριστοτέλης δὲ, ἐν τῷ Περὶ Μέθης, παραπλησίως ἡμῖν δευτέρας τραπέζας ἀπαγορεύει, διὰ τού- e
των· „Τὸ μὲν οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον, ὅσον ἔδεσμα τρωγαλίου. [6] τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι τὰ

1 Θοίνην δὲ vulgo. 2 πάρεστι γὰρ corr. Caſaub. 3 μὴ edd.
4 Abeſt καὶ vulgo. Forſ. Ναί· ἐπεὶ τραπ. *quando menſa tolletur.*
5 ἐπαίρεται edd. 6 ἐδέσματος τρωγάλιον malebam.

dicere Deorum aliquem.

Vetuſtiores vero nude *menſas* dicebant; ut Achaeus in Vulcano Satyrico:

A. *Epulo primum te oblectabimus. Adeſt quippe.*

B. *Deinde quo me modo demulcebitis?*

A. *Unguento tibi corpus fragrantiſſimo deungam.*

B. *Aquam vero lavandis manibus non prius dabis?*

A. *Immo, & menſa e pedibus tollitur.*

Ariſtophanes, Veſpis:

Aqua manibus lavandis! inferantur menſae!

Ariſtoteles vero; in libro de Temulentiâ, perinde ac nos, *ſecundas menſas* vocat, ubi ſcribit: »Omnino igitur differre cenſendum eſt inter tragema & cibum, quemadmodum inter edulium & τρωγάλιον. Eſt enim hoc patrium nomen Graecis, quando cibi adponuntur (qui)

βρώματα παρατίθενται. [1] διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν· ὄντως γὰρ [2] ἐπιδορπισμός τις ὁ τραγηματισμός ἐστι, [3] καὶ δεῖπνον ἕτερον παρατίθεται τραγήματα." Δικαίαρχος δ', ἐν πρώτῳ τῆς εἰς [4] Τροφωνίου καταβάσεως, f φησὶν οὕτως· „Ἥ γε τὴν πολλὴν δαπάνην ἐν τοῖς δείπνοις παρέχουσα δευτέρα τράπεζα προσεγένετο, καὶ στέφανοι, καὶ μύρα, καὶ θυμιάματα, καὶ τὰ τούτοις ἀκόλουθα πάντα."

XLIX. Poëtarum teſtimonia de Secundis menſis.

Ἐδίδοτο δὲ καὶ ὠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέρετο· [5] ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ φησὶν, οὕτως·

A. Οἶνον Θάσιον πίνοις ἄν; B. Εἴ τις ἐγχέαι.

A. Πρὸς ἀμυγδάλας δέ πως ἔχεις; B. Εἰρηνικῶς.

1 οὐ παρατίθενται leg. Dalec. Hariolabar, ἐπεὶ τὰ ἐν τραγ. βρωμ. παρατιθ. 2 οὕτως γὰρ edd. 3 ἐπιδορπισμὸς τραγηματισμὸς τίς ἐστι edd. cum ms. *A*. 4 Deeſt εἰς edd. 5 Quidni εἰσεφέροντο?

in tragematis (numerantur). Quare non male videtur dixiſſe is qui primus *ſecundam menſam* nominavit: vere enim *epidorpiſmus* aliquis (quaſi *poſtcoenium* dicas) eſt tragematiſmus; & tamquam altera coena adponuntur bellaria." Dicaearchus vero, primo libro de Deſcenſu in Trophonii Antrum ita ſcribit: » Aderat etiam, quae magnarum impenſarum in coenis cauſſa eſt, ſecunda menſa, & coronae, & unguenta, & ſuffitus, & quae his iungi ſolent omnia."

49. Dabatur vero etiam ovum in ſecunda menſa, quemadmodum & leporina & turdi ſimul cum opere dulciario adponebantur: quod Antiphanes declarat in Leptiniſco, ubi ait:

A. *Vinum Thaſium bibes?* B. *Si quis infuderit.*

A. *Adverſus amygdalas quomodo adfectus es?* B. *Paciſice:*

μαλακὰς [1] σφόδρα δι' ὰς μέλιτι προσπαίζειν βία.
Α. Μελίπηκτα δ' εἴ σοι προσφέροι; [2] Β. Τρώγοιμι· καὶ [3]
ὠὸν δὲ καταπίνοιμ' ἂν ἄλλου δή τινος. [4] a

ἐν δὲ Ὁμοίοις· [5]

Εἶτ' ἐπεισῆγε χορείαν, ἢ [6] τράπεζαν δευτέραν
καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.

Ἄμφις δ', ἐν Γυναικομανίᾳ·

Vita molita. Α. Ἤδη ποτ' ἤκουσας βίον ἀλληλεσμένον; [7]
. . . . . αι τοῦτ' ἐκεῖν' ἔστιν σαφῶς· [8]
ἄμητες, οἶνος ἡδύς, ὠά, [9] σησαμαῖ, [10]
μύρον, στέφανος, αὐλητρίς. Β. Ὦ Διοσκόρω,
ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας. b

Ἀναξανδρίδης, Ἀγροίκοις·

1 μᾶλλον δι' ὰς *Epit.* 2 προσφέρει edd. 3 τρώγοιμ' ἂν *Epit.* & caret καί. τρώγοιμ' ἂν edd. & καὶ initio versus seq. ponunt. τρώγοιμι ἄν. corrigit Casaub. & deinde κ' ὠὸν δὲ &c. 4 ἄλλου δεόμενος legebat Dalec. οὐδ' ἄλλου τινός corr. Casaub. ἄλλου δ' οὔ τινος Kopp. 5 Ὁμοίαις corr. Dalec. & Casaub. 6 Forſ. καὶ τραπ. 7 ἀλληλεμένον vulgo. 8 αἰ τοῦ τυχεῖν ἐστι σαφῶς † edd. αἰ τοῦτ τεχειν ἐστὶν σαφῶς ms. *A.* 9 ὠὰ ed. Ven. & Baſ. cum ms. *A.* 10 σησαμαὶ edd. σήσαμα ms. *Ep.*

molles admodum [*quae cum melle contendere poſſint.*]
A. *Mellita vero ſi quis offerat?* B. *Arrodam, atque etiam ovum deglutiam:* [*aliud vero nihil.*]

& in Similibus:

Deinde choream introduxit, & ſecundam menſam adpoſuit omni genere piſtorii operis onuſtam.

Amphis vero, in Gynaecomaniâ:

A. *Audiſti-ne umquam m o l i t a m v i t a m, quae dicitur?*
— — *Hoc ipſum eſt haud dubie:*
placentae, vinum dulce, ova, ſeſamides,
unguentum, corona, tibicina. B. *Ecaſtor!*
duodecim Deorum recenſuiſti nomina.

Anaxandrides, Ruſticis:

Ὡς δ' ἐστεφανώθην, ἡ τράπεζ' ἐπήγετο,
τοσαῦτ' ἔχουσα βρώματ', ὅσα, μὰ τοὺς θεοὺς
καὶ τὰς θεὰς, οὐδ' ἔνδον ὄντ' ἤδειν [1] ἐγὼ,
οὕτω [2] παρέζων χρηστῶς οὐκ ἔζων τότε. [3]

Κλέαρχος, Πανδρόσῳ·

Α. Λάβ' ὕδωρ κατὰ χειρός. Β. Μηδαμῶς. καλῶς ἔχει.

c Α. Λάβ', ὦ 'γαθέ. οὐδὲν χεῖρον. παῖ, [4] ἐπιτίθει
ἐπὶ τὴν τράπεζαν κάρυα καὶ τραγήματα.

Εὔβουλος, Καμπυλίωνι·

Α. Τραγημάτων δ' ἔσθ' ἡ τράπεζά σοι πλέα.

Β. Οὐχὶ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

Ἀλεξις, Πολυκλείᾳ· (ἑταίρας δ' ὄνομα Πολύκλεια.)

Ὁ πρῶτος εὑρὼν κομψὸς ἦν τραγήματα.
τοῦ συμποσίου γὰρ διατριβὴν ἐξεῦρέ πως,

1 οὐδ' εἶδον, οὔτ' ἤδειν ed. Cas. 2 οὕτως Ms. 3 Versum sic legebam cum Cas. οὔπω γὰρ ἔζων χρηστῶς, ὡς ἔζων τότε. 4 παῖς vulgo. Forsan, ἐπιτίθει σὺ παῖ.

Ut coronatus eram, illata mensa est,
tot onusta cibis, quot, per Deos
Deasque omnes, intus esse nesciveram. [sive, *nec videram, nec noveram ego.*]
Numquam ita laute vixeram, ut vixi tunc.

Clearchus, Pandroso:

A. *Aquam cape lavandis manibus.* B. *Neutiquam: bene sit.*
A. *Cape, quaeso: nihilo deterius erit. Puer, impone tu mensae nuces & tragemata.* (*bellaria.*)

Eubulus, Campylione:

A. *Bellariorum est tibi plena mensa.*
B. *Non semper me bellaria delectant.*

Alexis, Polyclea: (meretricis nomen Polyclea est:)

Qui scitamenta (*bellaria*) *reperit, pol scitus fuit:*
nam bene protraxit epulas; & fecit simul,

καὶ ἀργοὺς ἔχειν μηδέποτε [1] τὰς σιαγόνας.
καὶ ἐν Ὁμοίᾳ· [2] (τὸ δ' αὐτὸ δρᾶμα καὶ ὡς Ἀντιδό- d
του φέρεται.)

Α. Οὐδὲ φιλόδειπνός εἰμι, μὰ τὸν Ἀσκληπιὸν,
τραγήμασιν δὲ χαίρω μᾶλλον. Β. Εὖ πάνυ.
Α. Τραγήματ' αἰσθάνομαι γὰρ ὅτι νομίζεται
ταῖς νυμφίοις μετιοῦσι — Β. τὴν νύμφην λέγεις, —
Α. παρέχειν, ἄμητας, καὶ λαγῷα, καὶ κίχλας.
τούτοισι χαίρω, τοῖς δὲ κεκαρυκευμένοις [3]
ὄψοισι καὶ ζωμοῖσιν ἀήδομ', [4] ὦ θεοί.

Ἀπίων δὲ [5] καὶ Διόδωρος, ὥς φησι Πάμφιλος, ἐπαί- e
κλειά φασι καλεῖσθαι τὰ μετὰ τὸ δεῖπνον τραγήματα.

L.

Cibi varii, Bellariorum nomine comprehensi.

Ἔφιππος, Ἐφήβοις, [τραγήματα ἀπαριθμούμενος φησίν·] [6]

Χόνδρος μετά τ' εἰσῆλθεν, μύρον τ' [7] Αἰγύπτιον·

1 μηδεπώποτε edd. cum ms. *A*. 2 ἐν Ὁμοίαις corrigunt viri docti. 3 κεκαρυκευμ. edd. 4 ἥδομ' vulgo. ζωμοῖς ἀηδοῦμ' corr. Casaub. Forſ. ἀηδῶ γ', ὦ θεοί. 5 Ἀπίων δὴ edd. 6 Deſunt iſta edd. & ms. *A*. 7 *Abeſt* vulgo τ' poſt μύρον.

ne quae eſſent umquam maxillares feriae.
& in Simili - muliere: (cuius dramatis auctorem alii Antidotum perhibent:)

A. *Non me coenae delectant, per Aeſculapium;*
ſed bellariis delector magis. B. *Optime!*
A. *Bellaria enim audio moris eſſe*
ſponſis ambientibus — B. *Sponſam, dicis:* —
A. *exhibere, placentas, leporinam, & turdos.*
His gaudeo: multis autem ſcitamentis parata
obſonia & iuscula faſtidio. [B.] *Proh Dii!*

Apion vero & Diodorus, ut refert Pamphilus, *epaeclea* vocari aiunt bellaria quae poſt coenam adponuntur.

50. Ephippus in Ephebis [bellaria recenſet haecce:]

Alica poſthaec intravit, & unguentum Aegyptium,

Φοινικοῦ [1] βίκος τις ὑπανεώγνυτο,
εἶτ' ἴτρια [2] τραγήματά θ' ἧκε, [3] πυραμοῦς, ἄμης,
ὠῶν ἑκατόμβη. [4] πάντα ταῦτ' ἐχναύομεν,
ἐκματώμεθ' [5] οὕτως [6] ἀνδρικῶς ὅσ' εἴχομεν·
καὶ γὰρ παραμασύλτας [7] τινὰς παραβόσκομεν. [8]

καὶ ἐν Κύδωνι·

„Καὶ μετὰ τὸ δεῖπνον κόκκος, ἐρέβινθος, κύαμος, χόνδρος, τυρὸς, μέλι, σησαμίδες, βράχος, βρυγμὸς, μνοῦς, πυραμίδες, μῆλον, κάρυον, γάλα, κανναβίδες, κόγχαι, χυλὸς, Διὸς ἐγκέφαλος."

Ἄλεξις, Φιλίσκῳ·

„Ἀρτέον τράπεζαν, ἀπονίψασθαι δοτέον, προσοιστέος στέφανος, μύρον, σπονδὴ, λιβανωτὸς,

1 Φοινίκου vulgo. 2 ἠτρία edd. 3 θῆκε vulgo. 4 ὠὸν, ἑκατόμβη edd. 5 ἐμασώμεθ' legendum puto. 6 ὄντως fortaſſe. 7 Rectius alibi παραμασύντας. 8 παρέβοσκομεν fortaſſe.

palmei vini dolium apertum erat,
dein itria aliaque bellaria venerunt, placentarum varium genus,
ovorum hecatombe: iſta omnia manducavimus,
voravimus ita ſtrenue [vel, *ſtrenue admodum*] *quidquid aderat:*
nam & paraſitos quosdam ſimul paſcebamus.

Et in Cydone:

» *Et poſt coenam coccus, cicer, faba, alica, caſeus, mel, ſeſamides, brachus, brygmus, mnûs, pyramides, mala, nuces, lac, cannabidis, conchae, ſuccus, Iovis cerebrum.* «

Alexis, Philiſco:

» *Auferenda menſa, danda aqua lavandis manibus, adferenda corona, unguentum, libatio, thus, focu-*

ἔσχαρις, τραγήματα δοτέον, ἔτι πλακοῦντος ἅπτέον."

Philoxeni Convivium.

Ἐπεὶ δὲ καὶ ὁ Κυθήριος Φιλόξενος ἐν τῷ Δείπνῳ δευτέρων τραπεζῶν μνημονεύων πολλὰ καὶ τῶν ἡμῖν παρακειμένων ὠνόμασε, Φέρε καὶ τούτων ἀπομνημονεύσωμεν· a

„Τὰς δὲ δὴ πρόσθεν μολούσας λιπαραυγεῖς πορθμίδας, πολλῶν ἀγαθῶν πάλιν εἰσέφερον γεμούσας· τὰς ἐφημέριοι καλέοντι νῦν τραπέζας, ἀθάνατοι δέ τ' Ἀμαλθείας κέρας. Ταῖσι δ' ἐν μέσαις ἐγκαθιδρύθη μέγα χάρμα βροτοῖς, λευκὸς μυελὸς γλυκερὸς, λεπτοῖς ἀράχνας ἐναλιγκίοισι [1] πέπλοις συγκαλύπτων [2] ὄψιν αἰσχύνας ὕπο, μὴ κατίδῃς μολογενὲς πῶϋ λιπὼν ταῖς ἀνάγκαις ξηρὸν ἐν ξηροῖς Ἀριστάίου παλιρρύτοισι πάγαις. [3] τὸ δ' ὄνομ' ἦς ἄμυλλος. [4] Χερσὶν δ' ἐπέθεντο [5] στόμιον μαλεραῖς τὰν δε- b

1 ἐναλίγκιος ed. Caſ. 2 συγκαλύπτον ed. Ven. & Baſ. cum Msto. 3 παγαῖς edd. 4 τὸ δ' ὀνόμασαν μυλός vulgo. 5 ἐπίθεντο Ms.

lüs, tragemata danda, placenta item attingenda. α

Quoniam vero etiam Cytherius Philoxenus, in Coena ſua, ubi ſecundarum menſarum meminit, multa quoque ex his quae nobis adponebantur nominavit, age haec etiam commemoremus:

» *Quae igitur antea advenerant ſplendidae naviculae, easdem rurſus inferebant multis bonis onuſtas: quas unius diei homines m e n ſ a s vocant; immortales vero, Amaltheae cornu. Harum in medio poſita erat magna mortalibus voluptas, alba medulla dulcis, tenuibus araneae ſimilibus peplis tegens faciem prae pudore, ne adſpiceres . . . . . aridum in aridis Ariſtaei retro tractis retibus: nomen eius erat amyllus. Manibus vero impoſuerunt . .*

ξαμένην, ὅ τι καὶ δίδω τὶς ἀζανὸς [1] καλέοντι τρώγματ'.[2] ἐπεὶ τ'[3] ἐπένειμεν ἐν κατάκνα κομιγὲς [4] πεφρυγμένον πυροβρομολευκερεβινθοακανθουμικριτο [5] ἀδὺ βρῶμα τὸ πάντ'[6] ἀναμικτὸν ἀμπυρικηροειδηστίχας. παρεγίνετο τούτοις ταίτιν ὁ κολχομανὴς τοξαισελαιοξανθεπίπαν καπυρὸς, χοιρινισάδεα δὲ κυχλωτὰ ὁμοφλωκτὰ ἀνάριθμα, καὶ μελίπηκτα τετυγμένα ἄφθονα σασαμόφλωκτα. [7] τυρακίνας τε γάλακτι καὶ μέλιτι συγκατάφυρτος ἧς [8] ἄμυλος, πλατάνισσα. [9] σασαμορυτοπάγη [10] δὲ καὶ ζεσελαιοπάγη πλάτυντος [11] σασαμόπαστα [12] πέμματα καὶ τερεβινθοκνακοσυμμιγεῖσα [13] παλαῖς [14] θάλλοντες ὥραις ἀμυγδαλίδες τὰν μαλακόφλοια, ὧν τετρώκατε [15] παισὶν ἀδυί-

c

1 ἃ Ζανὸς lego. 2 τρώγματα edd. 3 ἔπειτ' lego. 4 Forſ. ἐν κατάνοις κνακομιγὲς. 5 Sic Ms. 6 Forſ. τὸ πᾶν τ'. 7 ἀφθόνας ἀσαμόφλωκτα edd. 8 συγκαταφυρτόσης edd. 9 An πλατανίς? 10 σαμορύτοπάγη edd. 11 An πλάτυντο? 12 ἀσαμόπαστα edd. 13 καὶ θερεβινθ. edd. καί τ' ἐρεβινθ. ſcribendum puto. 14 παλλαῖς edd. καλαῖς fortaſſe oportebat. 15 ὧν τε τετρώκατε citatur ex Msto.

. . . . . *quae Iovis vocant bellaria.*
Deinde distribuit in patinis ex cneco mixtum frixum
. . . . . *ſuave edulium,*
omnia mixtim . . . . . *Aderat his* . . . . . .
. . . . . *innumerabilia,*
& dulciaria elaborata copioſa ſeſamo . . . *Et ex caſeo, lacte, & melle mixta placenta* . . .
ſeſamo-ruto- . . . . . *ſeſamo conſperſum piſtorium-opus & cicere & cneco mixt* . . . *vigentes tempeſtatibus amygdalae molli cortice* . . . . *pueris ſuave edulium nuces: aliaque*

δη [1] κάρυα· ἄλλα τε, ὅσσα πρέπει παρὰ θοίναν ὀλβιόπλουτον. πόσις δ' ἐπεραίνετο, κότταβοί τε, λόγοι τ' ἐπὶ κοινᾶς.[2] ἔνθα τι κηνὸν [3] ἐλέχθη κομψὸν ἀθυρμάτιον, καὶ ἐθαύμασαν d αὐτὸ, ἔπειτ' ἤνησαν." [4]

Philoxenum laudat Antiphanes.

Ταῦτα καὶ ὁ Κυθήριος Φιλόξενος. ὃν ἐπαινῶν Ἀντιφάνης ἐν τῷ Τριταγωνιστῇ, φησίν·

Πολύ γ' ἐστὶ πάντων τῶν ποιητῶν διάφορος
ὁ Φιλόξενος. τὰ πρῶτα [5] μὲν γὰρ ὀνόμασιν
ἰδίοισι καὶ καινοῖσι [6] χρῆται παντα χοῦ.
ἔπειτα τὰ μέλη [7] μεταβολαῖς καὶ χρώμασι
ὡς εὖ κέκραται! [8] θεὸς ἐν ἀνθρώποισιν ἦν 5
ἐκεῖνος, εἰδὼς τὴν ἀληθῶς [9] μουσικήν. e
Οἱ νῦν δὲ κισσόπληκτα, καὶ κρηναῖα, καὶ

1 ἀδυεδῆ corr. Fior. 2 λόγοι τε πυκινὰς edd. unde πυκινοὶ corr. Dal. & Fior. 3 καινὸν corrigunt iidem. 4 ἔπειτα ἤνησαν edd. 5 πρῶτα absque τὰ vulgo. 6 ἰδίοις καὶ κοινοῖσι vulgo. κ' ο ὐ κοινοῖσι corr. Caſ. 7 ἔπειτα μέλη vulgo. ἔπειτα δὲ μέλη Grot. 8 κέχρωσται *Epit.* 9 τἀληθῶς vulgo. ὡς ἀληθῶς corr. Caſaub.

quae par eſt in epulo lauto & copioſo. Compotatio peragebatur, & cottabi, & ſermones in commune. [ſive, *frequentes.*] *Ibi . . dicebatur lepidum oblectamentum, & admirati ſunt illud, deinde laudarunt.*"

Haec igitur Philoxenus Cytherius. Quem laudans Antiphanes in Tritagoniſta, ait:

Multum poëtas caeteros Philoxenus
anteſtat. Primum namque nominibus novis
a ſe repertis paſſim audacter utitur.
Deinde variis vicibus ac coloribus
carmen figurat. Inter homines ceu Deus
exſtabat, artem veram callens muſicam.
At nunc poëtae floricarpa carmina,

ἀνθεσιπότητα [1] μέλεα μελέοις ὀνόμασι
ποιοῦσιν ἐμπλέκοντες [2] ἀλλότρια μέλη.

LI. De Placentis, generatim.

ΠΛΑΚΟΥΝΤΩΝ δὲ ὀνόματα πολλῶν καταλεξάντων, ὅσων [3] μέμνημαι, τούτων σοι καὶ μεταδώσω. Οἶδα δὲ καὶ Καλλίμαχον ἐν τῷ τῶν Παντοδαπῶν Συγγραμμάτων Πίνακι, ἀναγράψαντα Πλακουντοποιϊκὰ συγγράμματα Αἰγιμίου, [4] καὶ Ἡγησίππου, καὶ Μητροβίου, ἔτι δὲ Φαίτου. ἡμεῖς δὲ ἃ μετεγράψαμεν ὀνόματα πλακούντων, τούτων σοι [5] καὶ μεταδώσομεν, οὐχ ὡς τοῦ ὑπ' [6] Ἀλκιβιάδου πεμφθέντος Σωκράτει· ὃν Ξανθίππης καταπατησάσης, γελάσας [7] ὁ Σωκράτης· „Οὐκοῦν, ἔφη, οὐδὲ σὺ μεθέξεις τούτου.“ τοῦτο δὲ ἱστόρησεν Ἀντίπατρος ἐν τῷ πρώτῳ Περὶ Ὀργῆς. ἐγὼ δὲ, Φιλοπλάκουντος ὤν, οὐκ ἂν περιεῖδον τὸν θεῖον ἐκεῖνον ἐξυβριζόμενον πλακοῦντα.

1 ἄνθεσι πώτατά τε edd. ἀνθεσιπότατά τε ins. *A.* ἀνθεσίποτά abs-que τε ms. *Ep.* ἀερσιπότητα corr. Cas. 2 ποιοῦντες ἐμπλέκουσιν Grot. 3 ὅσον vulgo. 4 Αἰγήμιου Ms. 5 ὧν σοι vulgo. 6 Deest ὑπ' vulgo. 7 Ξανθίππης καταγελασάσης vulgo.

fontana, hederea; miseris pangunt vocibus,
alienaque opera operibus intexunt suis.

51. PLACENTARUM nomina multi quum recensuerint, quorumcumque nominum mihi succurret memoria, ea tecum communicabo. Novi vero etiam, Callimachum in Variorum Librorum Tabulâ libros de conficiendis Placentis recensuisse Aegimii & Hegesippi & Metrobii, item Phaeti. Quae autem nos descripsimus placentarum nomina, ea tecum communicabimus, non quemadmodum ab Alcibiade Socrati missa placenta est: quam quum pedibus conculcasset Xanthippe, ridens Socrates dixit: *Igitur ne tu quidem partem huius habebis*: quod Antipater tradidit primo libro de Irâ. Ego vero, placentarum amans, aegre passurus eram divinam illam placentam ita ignominiose acceptam. Placentarum igitur

μνημονεύων οὖν [1] ὁ κωμικὸς Πλάτων εἴρηκεν ἐν τῷ Ποιητῇ οὕτως·

Μόνος δ' ἄγευστος ἄσπλαγχνος ἐνιαυγίζομαι, [2]
ἀπλάκουντος, ἀλιβάνωτος. —

Ἀλλὰ μὴν οὐδὲ τῆς κώμης ἀμνήμων εἰμὶ, ἣν Πλακοῦντά φησι καλεῖσθαι Δημήτριος ὁ Σκήψιος ἐν δωδεκάτῳ Τρωϊκοῦ διακόσμου, τῶν Ὑποπλακίων Θηβῶν φάσκων αὐτὴν ἀπέχειν σταδίους ἓξ. Περισπαστέον δὲ λέγοντας πλακοῦς τὴν ὀνομαστικήν· συνήρηται γὰρ ἐκ τοῦ πλακόεις, ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς. εἴρηται δὲ κατ' ἔλλειψιν τοῦ ἄρτος. Ὅτι δὲ καλοὺς πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου φαγεῖν ἐστιν, οἱ ἐπιδημήσαντες μαρτυρήσουσιν. Ἄλεξις γὰρ πεπλάνηται, λέγων τοὺς ἐκ Πάρου. λέγει δὲ οὕτως ἐν τῷ ἐπιγραφομένῳ Ἀρχιλόχῳ· b

1 Deeſſe aliquid viſum erat Caſaubono. 2 Corrigunt ἐνιαυτίζομαι, ἐναυλίζομαι, ἐναγίζομαι.

mentionem faciens Plato Comicus, in fabulâ Poëta, ſic dixit:

Solus igitur viſcerum expers ego ſacra faciam,
absque placentâ, absque thure? —

Nec vero immemor ſum vici etiam alicuius, cui *Placûs* (quaſi *Placenta*) nomen eſſe ait Demetrius Scepſius, duodecimo libro Troiani Adparatus, dicens a Thebis Hypoplaciis ſex ſtadia abeſſe. Circumflectendus eſt autem nominativus caſus πλακοῦς: eſt enim ex πλακόεις contractus, quemadmodum ex τυρόεις fit τυροῦς, ex σησαμόεις σησαμοῦς. Sic autem dicitur, ſubintellecto nomine ἄρτος, *panis*. Exquiſitas autem comedi placentas in *Pario* oppido ad Hellespontum, teſtificabuntur qui in illo oppido morati ſunt. Errat enim Alexis, placentas ex *Paro* dicens. Sic enim ait ille in Archilocho qui inſcribitur:

Ὦ τὴν εὐτυχέα [1] ναίων Πάρον, ὄλβιε πρέσβυ,
ἣ κάλλιστα φέρει χώρα δύο τῶν συναπασῶν,
c κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας.

Ὅτι δὲ καὶ οἱ Σάμιοι διαφέροντές εἰσι πλακοῦντες, Σώπατρος ὁ Φλυακογράφος φησὶν ἐν Βακχίδος μνηστῆρσι·

Πλακουντοποιὸν ὠνομασμένην Σάμον.

LII. Enchytus, placenta.

Ἐγχύτων δὲ πλακούντων μνημονεύει Μένανδρος μὲν ἐν Ψευδηρακλεῖ·

Οὐκ ἔστι κανδύλους ποιεῖν, [2] οὐ δ' ὅσσα [3] σὺ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν, [4] μέλι,
d σεμιδάλιν, ᾠά. πάντα [5] γὰρ τἀναντία
νῦν ἐστίν. ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ
πλακοῦντας ὀπτοὺς, [6] χόνδρον ἑψεῖ, καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον [7] καὶ βότρυς·

1 εὐτυχῆ vulgo. Forſ. εὔποτμον. 2 Neſcio an *interrogative* accipienda iſta ſint. 3 Alibi οἷα. 4 καρυκκεύειν ibid. 5 σεμιδάλινον ἅπαντα edd. 6 ὀπτῷ alibi. 7 θρίον vulgo.

O felicem habitans Parum, fortunate ſenex!
quae regio una omnium duas res fert praeſtantiſſimas;
lapidem, ornamentum Divis; mortalibus vero placentas.

Excellere vero etiam Samias placentas, Sopater Phlyacographus dicit, in Bacchidis procis:

Samum, quae placentarum artifex audit.

52. ENCHYTORUM *placentarum* Menander meminit in Falſo-Hercule:

Non iam hoc agitur, ut candylos facias, aut alia quae tu conſueviſti in unum condire, mel,
ſimilaginem, ova. Omnia enim contraria
nunc ſunt. Coquus enchytos facit,
placentas frigit, alicam coquit, & menſae infert
poſt ſalſamenta, deinde thrium, & uvas:

ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρέα διοπτᾷ [1] καὶ κίχλας. —
Εὐάγγελος δ' Ἀνακαλυπτομένῃ· [2]
— [3] Α. Τέτταρας τραπέζας τῶν γυναικῶν εἶπά σοι, [4]
ἐξ δὲ τῶν ἀνδρῶν· τὸ δὲ δεῖπνον ἐντελὲς, καὶ μηδενὶ [5]
ἐλλιπές. λαμπροὺς γίνεσθαι βουλόμεσθα [6] τοὺς ε
γάμους.
Β. Οὐ παρ' ἑτέρου δεῖ πυθέσθαι· πάντα δ' αὐτόπτης ἐρῶ.
τῶν μὲν ἐλαῶν ἄφελε* πάνθ' ὅσα βούλει γένη· 5
εἰς δὲ τὰ κρέα μόσχον ἔλαβες, δέλφακας, [7] χοίρους, λαγώς· [8]
Α. Ὡς ἀλαζὼν ὁ κατάρατος! Β. θρῖα, τυρὸν, ἐγχύτους.
Α. Παῖ, Δρόμων! Β. κάνδυλον, ὠά τ', ἀμύλιον. [9] — — —

1 Aliter κρεάδι' ὀπτᾷ. 2 δ' ἐν Ἀκαλυπτ. vulgo. 3 Τέττα suppletFior. 4 εἶπας edd. absque σοι. 5 μηδὲν vulgo. 6 βουλόμεθα γὰρ edd. 7 δέλφακα vulgo. 8 λαγωούς vulgo. λαγούς Fior. 9 ἀμύλιόν τε μὴ οὐ πάρει supplet Fior.

mulier contra dulciariorum & placentarum artifex carnes assat & turdos. —

Evangelus vero in Anacalyptomene: (Novâ-nuptâ:)

A. *Quatuor mensas dixi tibi mulierum,*
sex vero virorum: coenam autem omnibus numeris absolutam, in qua
desit nihil. Splendidas fieri volumus nuptias.
B. *Noli ex alio quaerere: ipse omnia inspexi, tibique dicam.*
[*Olivarum tolle*] *quotquot volueris genera.*
Pro carne accepisti vitulum, porcellos, porcos, lepores:
A. *Quam gloriator est hic nebulo!* B. *thria, caseum, enchytos:*
A. *Puer Dromo!* B. *candylum, ova, amylium.*

τὸ πέρας, ὕψος τῆς τραπέζης πήχεων ἐστὶ [1] τριῶν,
f ὥστε τὸν δειπνοῦντ' ἐπαίρειν, ἄν τι βούληται λα-
βεῖν. 10

Ἄμης· πλακοῦντος γένος. Ἀντιφάνης· Ames.

Ἄμητες, ἄμυλοι. —

Μένανδρος, ἐν Ὑποβολιμαίῳ·

Τὸν ἄμητα χαιρίππου [2] κέαι [3] ἐς πέττιν τινά.

Ἴωνες δέ, ὥς φησι Σιληνὸς [4] ἐν ταῖς Γλώσσαις, ἄμην αὐτὸν καλοῦσι. καὶ τοὺς μικροὺς, ἀμητίσκους. Τηλεκλείδης· „Αὐτόμαται δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγγ' [5] εἰσεπέτοντο."

LIII.

Placentarum genera: Diaconium, Amphiphon.

ΔΙΑΚΟΝΙΟΝ. Φερεκράτης·

a — Ὑπὸ τῆς ἀπληστίας
διακόνιον ἔπησθεν, ἀμφιφῶντ' ἔχων.

Ἀμφιφῶν· πλακοῦς Ἀρτέμιδι ἀνακείμενος,

1 ἔστω corr. viri docti. 2 χαιρίσπου edd. quod ex χαίροις που corruptum videri poterat. 3 An χέαι? καῖε edd. unde corrigunt καὶ εἰ ἔπεττόν τινα. 4 Σειληνὸς edd. 5 τὴν φάρυγγ' ed. Caſ. 2. & 3.

Denique altitudo menſae trium cubitorum eſt, ut attollat ſeſe conviva, capere ſi quid velit.

Ames: placentae genus. Antiphanes:

Ametes, amyli.

Menander, in Suppoſititio:

[*Ametem tu gauderes ſi quis tibi coqueret.*]

Iones vero, ut ait Silenus in Gloſſis, *amen* hanc vocant. Parvae autem vocantur *ametiſci*. Teleclides: *Ultro turdi cum ametiſcis in fauces advolabant.*

53. DIACONIUM. Pherecrates:

— *Prae inſatiabili voracitate*
diaconium inſuper comedebat, cum amphiphontem haberet.

Amphiphon: placenta Dianae oblata, in circuitu

ἔχει δ' ἐν κύκλῳ καόμενα δᾳδία. Φιλήμων, ἐν Πτωχῇ [1] ἢ Ῥοδίᾳ·

Ἄρτεμι, φίλη δέσποινα, τοῦτόν σοι φέρω,
ὦ πότνι', ἀμφιφῶντα καὶ σπονδήσιμα.

μνημονεύει δ' αὐτοῦ καὶ Δίφιλος, ἐν Ἑκάτῃ. Φιλόχορος δε, ἀμφιφῶντα αὐτὸν κληθῆναι, καὶ εἰς τὰ τῆς Ἀρτέμιδος ἱερὰ φέρεσθαι, ἔτι δὲ καὶ εἰς τὰς τριόδους, ἐπει ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐπικαταλαμβάνεται ἡ σελήνη ἐπὶ ταῖς δυσμαῖς ὑπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς, καὶ b ὁ οὐρανὸς ἀμφιφῶς γίνεται.

Basynias. Βασυνίας. Σῆμος ἐν δευτέρῳ Δηλιάδος· „Ἐν τῇ τῆς Ἑκάτης, φησὶ, νήσῳ τῇ Ἰριδι θύουσι Δήλιοι τοὺς βασυνίας καλουμένους. ἔστι δὲ ἐφθὸν πύρινον σταῖς σὺν μέλιτι, καὶ τὰ καλούμενα κόκκωρα, ἰσχὰς καὶ κάρυα τρία."

Strepti &c. Στρεπτοὶ καὶ Νεήλατα. Τούτων μνημο-

[1] Πτωχῷ vulgo h. l.

faculas habens accenſas. Philemon, in Mendicâ ſive Rhodiâ:

Diana, cara domina, hunc tibi offero,
o veneranda, amphiphontem & libamenta.

Meminit eiusdem etiam Diphilus, in Hecate. Philochorus vero, *amphiphonta* vocari ait, & in Dianae templis offerri, atque etiam in triviis, quoniam ea die antevertitur luna verſus occidentem a ſolis ortu, atque adeo coelum fit ἀμφιφῶς, i. e. luce utrimque colluſtratum.

Baſynias. Semus, ſecundo libro Deliadis: »In Hecatae inſula, ait, Iridi ſacrificant Delii, offerentes *baſynias* quos vocant. Eſt autem cocta triticea farina cum melle, & quae *coccora* vocantur, carica & nuces tres.«

Strepti (*Torti panicelli*) & *Neelata.* Horum memi-

νεύει Δημοσθένης ὁ ῥήτωρ ἐν τῷ ὑπὲρ Κτησιφῶντος περὶ τοῦ στεφάνου.

Ἐπιχύτων,[1] Νικοχάρης ἐν Χειρογάστορσιν·

c Ἐγὼ μὲν ἄρτους, μάζαν, ἀβάρην, ἄλφιτα,
κόλλικας, ὀβελίαν, μελιτοῦτταν,[2] ἐπιχύτους,
πτισάνην, πλακοῦντας, δενδαλίδας, ταγηνίας.

Πάμφιλος δὲ τὸν ἀττανίτην[3] καλούμενον ἐπίχυτόν φησι καλεῖσθαι. τοῦ δὲ ἀττανίτου Ἱππώναξ ἐν τούτοις μνημονεύει·

Οὐκ ἀττάγας τε[4] καὶ λαγὼς καταβρύκων,
οὐ τηγανίτας[5] σησάμοισι φαρμάσσων,
οὐδ' ἀττανίτας κηρίοισιν ἐμβάπτων.

d Κρήϊον· πλακοῦς ἄρτος, ὃν Ἀργεῖοι παρὰ τῆς νύμφης πρὸς τὸν νυμφίον φέρουσι. ὀπτᾶται δ' ἐν ἄν-

1 Vulgo Ἐπίχυτον. Νικοχάρης &c. 2 καὶ μελιττοῦταν edd. 3 ἀττανίστην *Epit.* 4 Οὐ καττάς τε vulgo. 5 τηγανίας vulgo.

nit Demosthenes orator, in Oratione pro Ctesiphonte de Corona.

Epichytorum (meminit) Nicochares in Operariis:

Ego quidem panes, mazam, pultem, polentam,
pastillos, obeliam, mellitum, epichytos,
ptisanam, placentas, dendalides, tagenias.

Pamphilus vero eum qui *attanites* vocatur, epichytum nominari ait. Attanitae autem Hipponax meminit, his verbis:

Non attagenes aut lepores manducans,
non teganitas sesamis miscens,
nec attanitas favis intingens.

Creium: panis ex placentarum genere, quem Argivi a sponsa sponso adferunt. Coquitur autem in pruna:

θραξι, καὶ καλοῦνται ἐπ' αὐτὸν οἱ φίλοι, παρατίθεται δὲ μετὰ μέλιτος· ὡς φησι Φιλήτας [1] ἐν Ἀτάκτοις.

Γλυκίνας· ὁ διὰ γλυκέος καὶ ἐλαίου πλακοῦς παρὰ Κρησίν· ὡς φησι Σέλευκος ἐν Γλώσσαις.

Ἐμπέπτας. [2] ὁ αὐτός φησι, πύρινος ἄρτος κοῖλος καὶ σύμμετρος, ὅμοιος ταῖς λεγομέναις κρηπῖσιν, εἰς ἃς ἐντίθενται τὰ διὰ τοῦ τυροῦ [3] σκευαζόμενα πλακούντια.

LIV. Encrides, & alia placentarum genera.

ἘΓΚΡΙΔΕΣ. πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ, e καὶ μετὰ τοῦτο μελιτούμενον. μνημονεύει αὐτῶν [4] Στησίχορος διὰ τούτων·

— — — χόνδρον τε καὶ ἐγκρίδας,
ἄλλα τε πέμματα καὶ μέλι χλωρόν.

μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος, καὶ ἐν τοῖς Χειρογάστορσι Νικοφῶν. Ἀριστοφάνης δ' ἐν Δαναΐσι, καὶ ποιητήν [5] φησιν αὐτῶν [6] εἶναι ἐν τούτοις·

1 Φιλίτας ms. *A*. 2 Ἐμπέμπτας mss. 3 πυροῦ edd. κηροῦ ms. *Ep*. 4 καὶ Στ. edd. 5 Forſ. πωλητὴν, deleto verbo εἶναι. 6 αὐτὸν edd.

vocanturque ad eum amici, adponitur autem cum melle; ut Philetas ait in Miſcellaneis.

Glycinas: placenta cum paſſo & oleo parata apud Cretenſes; ut ait Seleucus in Gloſſis.

Empeptas: ut ait idem, triticeus panis cavus & apte demenſâ formâ, ſimilis *crepidinibus* quae vocantur, in quas imponunt placentulas ex caſeo paratas.

54. ENCRIDES: piſtorium opus in oleo coctum, & deinde mellitum. Meminit eorum Steſichorus, his verbis:

— *Alicamque, & encridas,*
aliasque placentas cum melle recente.

Meminit eorumdem etiam Epicharmus, & in Operariis Nicophon. Ariſtophanes vero, in Danaidibus, etiam poëtam illarum [inſitorem] eſſe ait, his verbis:

μήτ' ἄρμα [1] εἶναι ἐγκριδοπώλην.

Φερεκράτης δ' ἐν Κραπατάλλοις·

Ταῦτ' ἔχων ἐν ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας.

Ἐπικύκλιος· πλακοῦς τις, παρὰ Συρακουσίοις οὕτω καλούμενος. καὶ μέμνηται αὐτοῦ Ἐπίχαρμος ἐν Γᾷ καὶ Θαλάσσῃ.

Γοῦρος. ὅτι πλακοῦντος εἶδος, ὁ Σόλων ἐν τοῖς Ἰάμβοις φησί· Solonis iambi.

Πίνουσι, καὶ τρώγουσιν οἱ μὲν ἴτρια,
οἱ δ' ἄρτον αὐτὸν, [2] οἱ δὲ συμμεμιγμένους
γούρους φακοῖσι. κεῖθι δ' οὔτε πεμμάτων
ἄπεστιν οὐδέν, ἄσσ' ἂν [3] ἀνθρώποισι γῆ
φέρει μέλαινα, πάντα δ' ἀφθόνως πάρα.

a Κριβάνας· [4] πλακοῦντάς τινας ὀνομαστικῶς Ἀπολλόδωρος, παρ' Ἀλκμᾶνι. [5] ὁμοίως καὶ Σωσίβιος

1 μήθ' ἅρμα edd. Corruptus locus. μήθ' ἅμα corrigunt. 2 αὐτῶν vulgo. 3 οὐδ' ἔνασσεν Ms. 4 Κυριβάνας vulgo. 5 παρ' Ἀλκμάνος edd.

Nec [simul] *encridum esse venditorem.*

Pherecrates vero in Crapatallis:

Haec habens, in viis rapiat encridas.

Epicyclius. Placenta quaedam sic dicta apud Syracusios; cuius meminit Epicharmus in Terrâ & Mari.

Gurus etiam, tamquam placentae genus, memoratur a Solone in Iambis:

Bibunt, comeduntque alii itria,
alii nudum panem, alii mixtos
guros lenticulae: ibique nec bellariorum
abest quidquam. Quaecumque hominibus terra
fert nigra, copiose omnia adsunt.

Cribanas: placentas quasdam proprie sic nominatas; Apollodorus, apud Alcmanem. Similiter etiam Sosibius

ἐν τρίτῳ Περὶ Ἀλκμᾶνος· τῷ σχήματι μαστοειδεῖς [1] εἶναι Φάσκων αὐτούς, χρῆσθαι δ' αὐτοῖς Λάκωνας πρὸς τὰς τῶν γυναικῶν ἐστιάσεις, περιφέρειν τε αὐτοὺς ὅταν μέλλωσιν ᾄδειν τὸ παρεσκευασμένον ἐγκώμιον τῆς παρθένου αἱ ἐν τῷ χορῷ ἀκόλουθοι.

Κριμνίτης· πλακοῦς ποιὸς διὰ κρίμνων γινόμενος, ὡς Ἰατροκλῆς ἐν τῷ Περὶ Πλακούντων ἀναγράφει.

LV. *Staetitas, aliaque placentarum genera.*

ΣΤΑΙΤΊΤΑΣ. πλακοῦς ποιὸς, ἐκ σταιτὸς [2] καὶ μέλιτος. μνημονεύει Ἐπίχαρμος ἐν Ἥβας γάμῳ. σταῖς δ' ἐστὶν ὑγρὸν εἰς τήγανον ἐπιχεόμενον, μέλιτος ἐπιβαλλομένου, καὶ σησάμης, καὶ τυροῦ· ὡς Ἰατροκλῆς [3] φησίν. b

Χαρίσιος. Τούτου μνημονεύει Ἀριστοφάνης ἐν Δαιταλεῦσιν·

— Ἐγὼ δὲ νῷν [4]
πέμψω πλακοῦντ' ἐς ἑσπέραν [5] χαρίσιον.

1 τὸ σχηματοειδεῖς edd. 2 ἐκ στέατος edd. 3 Ἱεροκλῆς vulgo.
4 σοι corr. Brunck. 5 πλακοῦνθ' ἑσπέραν edd.

tertio libro de Alcmane: dicens formam habere mammarum, uti autem illis Lacones in mulierum epulis, circumferreque eas quando laudes virginis (ſponſae) encomio parato cantaturae ſunt amicae illius, chorum formantes.

Crimnites: placenta quaedam ex farinâ craſſiore, ut Iatrocles ſcribit in libro de Placentis.

55. Staetitas. Placenta quaedam ex farina triticea & melle. Meminit illius Epicharmus in Hebae Nuptiis. Eſt autem triticea farina aquâ ſubacta ſartagini infuſa, adiecto melle, ſeſamo & caſeo; ut Iatrocles ait.

Charisius. Huius meminit Ariſtophanes in Convivatoribus:

— *Ego vero* (pro) *nobis*
placentam ſub veſperam mittam chariſium.

Εὔβουλος δ' ἐν [1] Ἀγκυλίωνι, ὡσπερεὶ [2] ἄρτου αὐτοῦ ὄντος, οὑτωσὶ λέγει·

Ἐξεπήδησ' ἀρτίως [3] πέττουσα τὸν χαρίσιον.

c Ἐπίδαιτρον· πλακουντῶδες μάζιον [4] ἐπὶ τῷ δείπνῳ ἐσθιόμενον, ὡς φησι Φιλήμων ἐν τῷ Περὶ Ἀττικῶν Ὀνομάτων.

Νάνος· ἄρτος πλακουντώδης, διὰ τυροῦ καὶ ἐλαίου σκευαζόμενος. [5]

Ψωθία· τὰ ψαθύρια. Φερεκράτης, Κραπατάλλοις·

„Λήψει δ' ἐν ᾅδου κραπάταλλον τριωβόλου καὶ ψωθία."

Ἀπολλόδωρος δὲ ὁ Ἀθηναῖος, καὶ Θεόδωρος δ' [6] ἐν Ἀττικαῖς Γλώσσαις, τοῦ ἄρτου τὰ ἀποψαυόμενα ψωθία καλεῖσθαι, ἃ τινὰς ὀνομάζειν ἀτταράγους. [7]

d Ἴτριον· πεμμάτιον λεπτὸν, διὰ σησάμου καὶ μέ- Itrium, placenta.

1 Abeſt ἐν edd. 2 Ὥσπερ edd. 3 ἐξεπίλησας ἀρτίῳ edd. 4 πλακούντων δεσμάτιον ed. Ven. & Baſ. ἐδεσμάτιον ed. Caſ. 5 κατασκευαζόμενος edd. 6 Abeſt δ' edd. 7 ἀτταβράγους ms. *A*.

Eubulus vero in Ancylione, quaſi de pane, ſic loquitur:

Exſilueram modo coquens chariſium.

Epidaetrum. Offula de genere placentarum, quae poſt coenam comedebatur, ut ait Philemon in libro de Nominibus Atticis.

Nanus: panis placentaceus, cum caſeo & oleo paratus.

Pſothia: quae & *pſathyria.* Pherecrates, Crapatallis:

Apud inferos triobolo crapatallum emet & pſothia.

Apollodorus vero Athenienſis, atque etiam Theodorus in Atticis Gloſſis aiunt, quae a pane deterguntur vel friantur, ea *pſothia* vocari, quae a nonnullis *attaragi* nominentur.

Itrium: parvulum bellarium, cum ſeſamo & melle

λιτος γινόμενον. [1] μνημονούει αὐτοῦ Ἀνακρέων οὕτως·

„Ἡρίστησα μὲν ἰτρίου λεπτὸν ἀπόκλας,
οἴνου δ' ἔπιον κάδον." [2]

Ἀριστοφάνης Ἀχαρνεῦσι·

— Πλακοῦντες, σησαμοῦντες, ἴτρια.

Σοφοκλῆς, Ἐριδι· [3]

Ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω.

Ἀμόραι. Τὰ μελιτώματα [4] Φιλήτας [5] ἐν Ἀτάκτοις [6] ἀμόρας φησὶ καλεῖσθαι. μελιτώματα δ' ἔστι πεπεμμένα. [7]

Tagenites, vel Tagenias. Ταγηνίτης· πλακοῦς ἐν ἐλαίῳ τετηγανισμέ- e
νος. [8] μνημονεύει Μάγνης, ἢ ὁ ποιήσας τὰς εἰς αὐτὸν ἀναφερομένας κωμῳδίας, ἐν Διονύσῳ δευτέρῳ·

1 γενόμενον edd. 2 Anacreontis verſiculi ſic ſcribendi:
Ἡρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς,
οἴνου δ' ἐξέπιον κάδον. --
3 Ἰριδι edd. 4 μελιττώματα edd. & ſic mox iterum. 5 Φιλήτας conſtanter ms. *A*. 6 Ἀτάκτοις absque ἐν edd. 7 Forſ. Φιλήτας -- φησὶ καλεῖσθαι μελιτώματα, ἃ ἔστι πεπεμμένα. Quam coniecturam in verſione expreſſi. 8 In *Epit.* adiicitur: ὁ καὶ ταγηνίας.

paratum. Meminit eius Anacreon his verbis:

Pranſus ſum itrii minutum fruſtulum,
vini autem cadum ebibi.

Ariſtophanes, Acharnenſibus:

— *Placentae, ſeſamuntes, itria.*

Sophocles, in Eride:

Ego vero eſuriens rurſus itria reſpicio.

Amorae: mellita dulciaria. Philetas in Miſcellaneis ait, *amoras* vocari mellita, quae ut piſtorium opus cocta ſint.

Tagenites: placenta in oleo fricta. Meminit Magnes in ſecundo Dionyſo, ſive qui eſt alius huius auctor fabularum, quae illi tribui ſolent:

Ταγηνίας ἤδη τεθέασαι χλιαροὺς
σίζοντας, ὅταν αὐτοῖσιν [1] ἐπιχέῃς μέλι;

καὶ Κρατῖνος, ἐν Νόμοις·

Καὶ δρόσον βάλλων ἕωθεν χλιαροὺς ταγηνίας.

Ἔλαφος· πλακοῦς ὁ τοῖς ἐλαφηβολίοις ἀναπλασσόμενος, διὰ σταιτὸς, καὶ μέλιτος, καὶ σησάμου.

Ναστός· πλακοῦντος εἶδος, ἔχων ἔνδον καρυκείας. [2]

LVI. Χόρια. βρώματα διὰ μέλιτος καὶ γάλακτος γινόμενα. Choria.

Ἀμορβίτης· πλακοῦντος εἶδος παρὰ Σικελοῖς, οἱ δὲ, παισά· πλακούντια παρὰ Κώοις, ὥς φησιν Ἰατροκλῆς.

Σησαμίδες· ἐκ μέλιτος καὶ σησάμων [3] πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. Εὔπολις, Κόλαξιν· Sesamides.

1 αὐτοῖς vulgo. 2 καρυκείας edd. 3 σησάμου edd.

Tagenias iam vidisti calidos,
stridentes cum mel eis adfunderes?

Et Cratinus, in Legibus:

Et rorem spargens mane calidos tagenias.

Elaphus: placenta quae Elapheboliorum feriis fingitur ex subactâ triticea farina & melle & sesamo.

Nastos. Placentae genus, variis condimentis intus farctae.

56. Chorìa: edulium ex melle & lacte paratum.

Amorbites: placentae apud Siculos: *paesa* vero, placentulae apud Coos: ut ait Iatrocles.

Sesamides: bellaria ex melle & frictis sesamis oleoque, sphaericâ formâ. Eupolis, in Adsentatoribus:

Ὃς χαρίτων μὲν ὀμιχεῖ,[1] καλλαβίδας[2] δὲ βαίνει,
σησαμίδας δὲ χέζει,[3] μῆλα δὲ χρέμπτεται.

Ἀντιφάνης, Δευκαλίωνι·

Σησαμίδας, ἢ μελίπηκτα, ἢ τοιοῦτό τι.

μνημονεύει αὐτῶν καὶ Ἔφιππος ἐν Κύδωνι· πρόκειται τὸ μαρτύριον.

Μυλλοί. Ἡρακλείδης ὁ Συρακόσιος[4] ἐν τῷ Περὶ Θεσμῶν, ἐν Συρακούσαις, φησὶ, τοῖς παντελείοις τῶν ΘεσμοΦορίων ἐκ σησάμου καὶ μέλιτος κατασκευάζεσθαι[5] ἐΦήβαια γυναικεῖα, ἃ καλεῖσθαι κατὰ πᾶσαν Σικελίαν μυλλοὺς, καὶ περιΦέρεσθαι ταῖς Θεαῖς. a

Ἔχῖνος. Λυγκεὺς ὁ Σάμιος, ἐν τῇ πρὸς Διαγόραν Ἐπιστολῇ, ἐκ παραλλήλου τιθεὶς τὰ κατὰ τὴν Ἀττικὴν ἐξαιρέτως γινόμενα[6] τοῖς ἐν τῇ Ῥόδῳ, γράΦει οὕτως· „Τῇ δὲ περὶ τὸν ἄμητα δόξῃ τὸν καινὸν b

1 με νομίζει Ms. 2 κολλαβίδας edd. 3 ὄζει ms. Ep. 4 Συρακούσιος edd. 5 κατασκευάσασθαι edd. 6 γενόμενα edd.

Qui gratias mingit, callabidas graditur,
ſeſamidas cacat, poma exſcreat.

Antiphanes, Deucalione:

Seſamidas, aut mellita bellaria, aut tale quidpiam.

Meminit eorumdem etiam Ephippus in Cydone, cuius ſupra adpoſitum eſt teſtimonium.

Mylli. Heraclides Syracuſius, in libro de Ritibus, ait: Syracuſis praecipuo Thesmophoriorum die (τοῖς παντελείοις τῶν Θεσμοφορίων) confici ex ſeſamo & melle pudenda muliebria, quae totâ Siciliâ *mylli* adpellentur; eaque in honorem Dearum circumferri.

Echinus. Lynceus Samius in Epiſtola ad Diagoram, conferens ea quae Athenis exquiſita conficiuntur cum his quae Rhodi, ita ſcribit: » *Ametis* placentae famae

ἀνταγωνιστὴν ἐπὶ τῆς δευτέρας εἰσάγουσα τραπέζης ἐχῖνον. ὑπὲρ οὗ νῦν μὲν ἐπὶ κεφαλαίου· παραγινομένου δέ σου, καὶ συντεθέντος κατὰ τοὺς ἐν Ῥόδῳ νόμους ἀναμασησάμενος [1] πειράσομαι πλείω περιθεῖναι λόγον."

Κοτυλίσκοι. Ἡρακλέων ὁ Ἐφέσιος πλακοῦντάς τινας φησὶν οὕτω καλεῖσθαι, τοὺς ἐκ τρίτου μέρους τῆς χοίνικος γινομένους.

Χοιρίναι. Τούτων μνημονεύει Ἰατροκλῆς ἐν τῷ Περὶ Πλακούντων,[2] καὶ τοῦ πυραμοῦντος καλου- Πυραμοῦς.
c μένου, διαφέρειν λέγων τῆς πυραμίδος καλουμένης. γίνεσθαι γὰρ ταύτην ἐκ πυρῶν πεφωσμένων, καὶ μέλιτι δεδευμένων. αὗται δὲ ἆθλα τίθενται ταῖς παννυχίσι τῷ διαγρυπνήσαντι.

Χρύσιππος δ' ὁ Τυανεὺς ἐν τῷ ἐπιγραφομένῳ LVII.
Ἀρτοκοπικῷ,[3] εἴδη πλακούντων καὶ γένη τάδε ἀνα-

1 ἀναμασησαμένου corrigunt viri docti. ἅμα μασησαμένου malebam, & hoc interpretatus sum. 2 Vulgo Πλακούντων καὶ τοῦ πυραμοῦντος absque distinctione. 3 An Ἀρτοποπικῷ? Alibi Ἀρτοποιϊκῷ.

novum aemulum secundis mensis infert *echinum*. De quo nunc quidem summatim: sed quum praesens adfueris, & Rhodiorum more confectum mecum manducaveris, tum vero uberius de eo verba facere conabor. «

Cotylisci. Heracleo Ephesius placentas quasdam ita vocari ait, ex tertia choenicis parte confectas.

Choerinae. Harum Iatrocles meminit in libro De Placentis: item *pyramuntis* qui vocatur, quem differre ait a *pyramide*. Confici enim hanc ex tritico fricto, quod cum melle fuerit maceratum. Haec autem praemia ponuntur in pervigiliis ei qui totam noctem insomnis transegit.

57. Chrysippus vero Tyaneus, in libro qui De Panificio inscribitur, species placentarum atque genera haec-

Chryſippi Tyanei recenſio Placentarum.

γράφει· „Τερεντῖνον,[1] Κρασσιανὸν,[2] Τουτιανὸν,[3] Σαβελλικὸν,[4] Κλοῦστρον, Ἰουλιανὸν, Ἀπικιανὸν, Κανωπικὰ, πελούκιδον,[5] Καππαδοκικὸν, ἡδύβια, μαρυπτὸν, πλίκιον, γουττᾶτον, Μοντιανόν. τοῦτον, φησὶ, μάξεις ἐξ οἴνου σκληρόν· εἰ δέ σοι τυρίον παρέσται, ἥμισυ μάξεις ἐξ οἴνου,[6] καὶ ἥμισυ ἐκ τυροῦ· ἡδονικώτερον γὰρ γίνεται. Κλοῦστρον κυριανὸν,[7] κλοῦστρον[8] d τουττᾶτον,[9] κλοῦστρον Ταβωνιανόν. Μουστάκια ἐξ οἰνομέλιτος, μουστάκια σησαμᾶτα, κροῦστον πούριον, γωσγλωάνιον, Παυλιανόν. Ἐκ τυροῦ δὲ, φησὶ, γίνεται πλακούντηρα τάδε· ἔγχυτος, σκριβλίτης,[10] σουβίτυλλος. γίνεται δὲ καὶ ἐξ ἄλικος σουβίτυλλος. σπίρα· καὶ οὗτος ἐκ τυροῦ γίνεται. λούκουντλοι,[11] ἀργυροτρύφημα, λίβος, κίρκος, αἰξάφας, κλουστροπλακοῦς. Γίνεται δὲ, φησὶ, καὶ ὀρυζίτης πλακοῦς. ὁ δὲ

1 Ταραντῖνον edd. 2 Κρασιάνὸν edd. 3 Deeſt Τουτιανὸν edd. 4 Σικελικὸν edd. Σακελλικὸν Ms. 5 Κανωπικὸν, Περλουκίδιον ed. Caſ. Deſunt ed. Ven. & Baſ. 6 Deſunt decem verba editis. 7 κοιριανὸν edd. 8 κροῦστον h. l. edd. & ſic mox κροῦστον Ταβ. 9 Forſ. τουτουλᾶτον. 10 ὀχιρβαίτης vulgo. 11 λούκουλλοι ed. Ven. λούκολλοι ed. Baſ. & Caſ.

ce recenſet: »*Terentinam*, *Craſſianam*, *Tutianam*, *Sabellicam*, *Cluſtrum*, (ſive, *Cruſtulum*,) *Iulianam*, *Apicianam*, *Canopica*, *Pellucidam*, *Cappadocicam*, *Hedybia*, *Marypton*, *Pliciam*, *Guttatam*, *Montianam*. Hanc, inquit, ſubiges cum vino duram: ſin tibi caſeolus adſit, dimidium cum vino ſubiges, & dimidium cum caſeo; ſic enim fiet ſuavior. *Cluſtrum* (ſive *cruſtulum*) *Cyrianum*, *cluſtrum tutatum*, *cluſtrum Tabonianum*. *Muſtacea ex mulſo*, *muſtacea ſeſamata*, *cruſtum purum*, *goscloanion*, *Paulianum*. Ex caſeo autem, ait, fiunt placentulae hae: *Enchytos*, *ſcriblites*, *ſubityllus*: fit autem ſubityllus etiam ex alicâ. *Spira*: etiam haec ex caſeo paratur. *Lucuntuli*, *argyrotryphema*, *libum*, *circus*, *aexaphas*, *cluſtroplacenta*. Fit vero etiam, inquit, *oryzites* placenta. *Phthois* vero ita para-

Φθοῖς οὕτω γίνεται· [1] τυρὸν ἐκπιέσας τρίβε, καὶ ἐμ- Phthois.
e βαλὼν ἐς κόσκινον χάλκεον διήθει, εἶτ' ἐπίβαλλε [2] μέλι καὶ σιλίγνεως [3] ἡμίναν, καὶ συμμάλαξον εἰς ἕν. Κάτιλλος δὲ ὀρνάτος ὁ λεγόμενος παρὰ Ῥω- Catillus ornatus.
μαίοις οὕτω γίνεται· [4] θρίδακας πλύνας ξέσον, [5] καὶ ἐμβαλὼν οἶνον εἰς θυείαν τρίβε τὰς θρίδακας, εἶτα τὸν χυλὸν ἐκπιέσας, σιλίγνιον [6] συμφύρασον αὐτῷ, καὶ συμπεσεῖν ἐάσας, μετ' ὀλίγον τρίψον αὐτὸν ὡς [7] προσβαλὼν ὀλίγον στέατος χοιρείου καὶ πέπερι· καὶ πάλιν τρίψας ἕλκυσον λάγανον, καὶ λειάνας [8] ἐκτε-
f μὼν κατάτεμνε, καὶ ἕψε εἰς ἔλαιον θερμότατον, εἰς ἡθμὸν βαλὼν τὰ κατακεκομμένα. Ἄλλα πλακούν- Tyrocoscinum & hypotyrides.
των γένη· ὀστρακίτης, ἀττανίται, [9] ἄμυλον, τυροκό-
σκινον. [10] τυρὸν ἐκπιάσας [11] καλῶς, θὲς εἰς ἄγγος, εἶτ' ἄνω κόσκινον χαλκοῦν [12] ἐπιθεὶς δίαγε τὸν τυρόν.

1 γίγνεται ms. *A.* 2 ἐπίβαλε ms. *Ep.* 3 σελίγνεως ed. Ven. cum ms. *A.* σελιγνέως ed. Casaub. 4 οὕτως γίγνεται ms. *A.* 5 ξέσον corrigit vir doctus. 6 σελίγνιον edd. cum Msto. 7 ἑαυτὸν ὡς Ms. εὐτόνως suspicatus sum. 8 λιάνας Ms. 9 ἀτταχίται edd. 10 Temere τυροκόσσινον τυρὸν ἐκπ. ed. Cas. 11 ἐκπιέσας edd. 12 ἐπάνω κοσκίνου χαλκοῦ corr. Villebr.

tur: Caseum expressum tere, & in cribrum aeneum iniectum percola; deinde adiice mel, & siliginis heminam, & in unum subige. *Catillus* vero *ornatus* qui a Romanis vocatur, ita paratur: Lactucas, postquam lavisti, concide; tum in mortario adfuso vino contere lactucas; dein cum expresso succo subige siliginem: postquam consideres siveris, iterum tere valide adiecto paululo pinguedinis suillae & piperis: dein, postquam rursus triveris, tractum facito; tum complana, & resseca, & in frusta discinde: ea frusta, postquam qualo imposueris, in oleo fervidissimo coque. Alia placentarum genera: *ostracites*, *attanitae*, *amylum*, *tyrocoscinum*. Caseum probe expressum iniice vasi, deinde aeneo cribro impo-

ὅταν δὲ μέλλῃς προσφέρειν, βάλε μέλιτος αὐταρκες ἐπάνω. Ὑποτυρίδες δὲ οὕτω [1] γίνονται· εἰς γάλα βαλὼν μέλι, ἐκπίεσον, καὶ βάλε εἰς σκεῦος, καὶ ἔα παγῆναι. ἐὰν δέ σοι παρῇ κοσκίνια μικρὰ, ἐπίβαλε εἰς αὐτὰ τὸ σκεῦος,[2] καὶ ἔα ἐκρεῖν τὸν ὄρρον.[3] καὶ ὅταν σοὶ δοξῃ πεπηγέναι, ἆρας τὸ σκεῦος μετάβαλε [4] εἰς ἀργύρωμα, καὶ ἔσται ἡ ὄψις ἄνωθεν. ἐὰν δὲ μὴ ᾖ κοσκίνια, Φλαβιλλίοις [5] καινοῖς χρῶ, ἐν οἷς τὸ πῦρ ῥιπίζεται· τὴν γὰρ αὐτὴν [6] ποιεῖ χρείαν. Κοπτοπλακοῦς. Ἐν Κρήτῃ δὲ, φησὶ, πλακούντηρον ποιοῦσιν,
Gaſtris. ὅπερ ὀνομάζουσι γάστριν, γίνεται δὲ οὕτως· κάρυα [λαβε] [7] Θάσια καὶ Ποντικὰ καὶ ἀμύγδαλα, ἔτι δὲ μήκωνα, ὃν φρύξας θεράπευσον καλῶς, καὶ εἰς a θυείαν καθαρὰν τρίψον ἐπιμελῶς· συμμίξας τε τὴν ὀπώραν μάξον μέλιτι ἡψημένῳ, προσβαλὼν πέπερι

1 οὕτως Ms. 2 Abeſſe h. l. malim τὸ σκεῦος. 3 ὄρον ms. *A*. 4 μετάβαλλε edd. 5 φλαβελλίοις edd. 6 καὶ γὰρ αὐτῶν edd. 7 Abeſt vulgo verbum.

ne, & transmitte caſeum. Quando vero menſae illaturus es, ſuperne coniice mellis quantum ſatis eſt. *Hypotyrides* vero ita conficiuntur: Lacti mixtum mel exprime, & in vas coniectum concreſcere ſine. Si tibi parva cribra adſint, in ea coniice id quod in vaſe eſt, & ſerum effluere ſine. Quum ſatis coiiſſe tibi viſum fuerit, ſublato vaſe coniice in lancem argenteam, & erit facies (ea pars quae conſpici debet) ſuperne. Sin ad manus non ſint parva cribra, flabellis novis utere, quibus ventilari ignis ſolet; eumdem enim uſum praeſtant. *Coptoplacenta.* In Creta vero, inquit, placentulam faciunt, quam *gaſtrin* vocant, quae ita paratur: Nuces ſume Thaſias & Ponticas, & amygdalas; adhaec papaveris ſemen, quod poſtquam multa cum cura torrueris, in mundo mortario diligenter tere, & adiectis arborum fructibus, quos dixi, ſubige cum melle cocto,

πλέον, καὶ μάλαξον· (γίνεται δὲ μέλαν διὰ τὴν μήκωνα.) διαπλατύνας [1] ποίησον τετράγωνον. εἶτα σήσαμον λευκὸν τρίψας, μάλαξον μέλιτι ἡψημένῳ, καὶ ἕλκυσον λαγάνια δύο, καὶ ἓν θὲς ὑποκάτω, καὶ τὸ ἄλλο ἐπάνω, ἵνα τὸ μέλαν εἰς μέσον γένηται, [2] εὐρύθμισόν τε [3] αὐτό." Ταῦτα καὶ ὁ σοφὸς πεμματολόγος Χρύσιππος.

LVIII. Pancarpia?

b Ἁρποκρατίων δὲ ὁ Μενδήσιος ἐν τῷ Περὶ Πλακούντων, τὴν παρὰ Ἀλεξανδρεῦσι καλουμένην παγκαρπίαν [4] καλεῖ. ἴτρια δ' ἐστὶ ταῦτα συντεθρυμμένα, μετὰ [5] μέλιτος ἑψόμενα· καὶ μετὰ τὴν ἕψησιν σφαιρηδὸν συντεθέντα περιδεῖται βύβλῳ λεπτῇ ἕνεκα τοῦ συμμένειν. Πόλτου δὲ μνημονεύει Ἀλκμὰν οὕτως· Puls.

Ἤδη παρέξει πυάνιόν τε πόλτον,
χίδρον τε λευκὸν, κηρίναν τ' ὀπώραν.

1 Forſ. καὶ πλατύνας, aut καὶ διαπλατύνας. 2 γίνηται edd. 3 εὐρύθμησόν τε vulgo. 4 παγχάπραν Ms. Intercidiſſe autem aliud nomen hic videtur. 5 ἃ μετὰ μελ. ed. Caſ.

multo adiecto pipere, & fac ut fiat maſſa mollis: (erit autem nigra, propter papaver:) eam maſſam in quadram dilata. Deinde ſeſamum album tere, & cum melle cocto mollem in maſſam ſubige, & duo tracta facito, quorum alterum inferne, alterum ſuperne ponas, ut nigrum in medio ſit; concinnamque ei dato formam." Haec igitur etiam ſapiens operis piſtorii ſcriptor Chryſippus.

58. Harpocration vero Mendeſius, in libro de Placentis, eam nominat quam Alexandrini *Pancarpiam* vocant. Sunt autem itria contrita, cum melle cocta: quae poſtquam cocta ſunt, ad inſtar globulorum finguntur, & tenui byblo, ne dilabantur, adſtringuntur. *Pultis* (πόλτος Graecis dicitur) Alcman meminit his verbis:

Iam & fabaceam pultem (πυάνιον πόλτον) *praebebit,*
& chidrum candidum, & cereum fructum. (κηρίναν ὀπώραν.)

ἐστὶ δὲ τὸ πυάνιον, ὥς φησι Σωσίβιος, πανσπερμία ἐν γλυκεῖ ἠψημένη· χίδρον δὲ, οἱ ἑφθοὶ πυροί. κηρίναν δὲ ὀπώραν λέγει τὸ μέλι. καὶ Ἐπίχαρμος δὲ οὕτως λέγει ἐν Γῇ καὶ Θαλάσσῃ· [1] c

Πόλτον [2] ἕψειν ὄρθριον.

Meliceris. Καὶ τῶν καλουμένων δὲ μελικηρίδων μνημονεύει Φερεκράτης ἐν Αὐτομόλοις, οὕτως·

ὥσπερ τῶν αἰγιδίων ὄζειν
ἐκ τοῦ στόματος μελικήρας. [3]

LIX. Λεχθέντων καὶ τούτων, ὁ σοφὸς Οὐλπιανὸς ἔφη·

Chryſippus & Harpocration, obſcuri ſcriptores. Πόθεν ὑμῖν, ὦ πολυμαθέστατοι Γραμματικοὶ, καὶ ἐκ ποίας βιβλιοθήκης ἀνεφάνησαν οἱ σεμνότατοι οὗτοι συγγραφεῖς, Χρύσιππος καὶ Ἁρποκρατίων, διαβάλλοντες καλῶν ὀνόματα φιλοσόφων τῇ ὁμωνυμίᾳ; τίς δὲ καὶ ἡμίναν Ἑλλήνων ὠνόμασεν; ἢ τίς ἀμύλου

1 Γᾷ καὶ Θαλάσσῃ edd. 2 πόντον edd. 3 μελικήρας ſcribendum puto.

Πυάνιον autem, ut Soſibius ait, dicuntur varii generis ſemina in muſto cocta. *Chidrum* vero, eſt coctum [*ſive*, frixum] triticum. *Cereum* autem *fructum* (κηρίναν ὀπώραν) dicit mel. Porro Epicharmus, in Terra & Mari, ait:

Pultem (πόλτον) *coquere matutinam.*

Meliceridum vero (id eſt, favorum) Pherecrates meminit in Transfugis, his verbis:

Sicut (alius) *hircum olet,*
ſic (ille) *ex ore favum.*

59. His dictis, ſapiens Ulpianus ait: Unde vero vobis, doctiſſimi Grammatici, & quanam ex bibliotheca in lucem emerſerunt graviſſimi hi ſcriptores, *Chryſippus* & *Harpocration*, ſimilitudine nominum invidioſa reddentes clarorum nomina philoſophorum? Quis vero tandem Graecorum nominavit ἡμίναν? aut quis *amyli* meminit?

d μνημονεύει; Ἀπαντήσαντος δὲ αὐτῷ τοῦ Λαρησίου, καὶ εἰπόντος, τὴν μὲν ἡμίναν οἱ τὰ εἰς Ἐπίχαρμον ἀναφερόμενα ποιήματα πεποιηκότες οἴδασιν, καὶ ἐν τῷ Χείρωνι ἐπιγραφομένῳ οὕτως λέγεται·

Καὶ πιεῖν ὕδωρ διπλάσιον χλιαρὸν ἡμίνας δύο.

Τὰ δὲ ψευδεπιχάρμεια [1] ταῦτα [2] πεποιήκασιν ἄνδρες ἔνδοξοι· Χρυσόγονός τε ὁ αὐλητὴς, ὥς φησιν Ἀριστόξενος ἐν ὀγδόῳ Πολιτικῶν Νόμων, τὴν Πολιτείαν ἐπιγραφομένην· Φιλόχορος δ' ἐν τοῖς Περὶ Μαντικῆς, Ἀξιόπιστον τὸν εἴ τε Λοκρὸν γένος, ἢ Σικυώνιον, τὸν e Κανόνα καὶ τὰς Γνώμας πεποιηκέναι φησίν. ὁμοίως δὲ ἱστορεῖ καὶ Ἀπολλόδωρος. Τοῦ δὲ ἀμύλου μνημονεύει Τηλεκλείδης ἐν Στερροῖς, οὑτωσὶ λέγων·

Φιλῶ πλακοῦντα θερμὸν, ἀχράδας οὐ φιλῶ,
χαίρω λαγωοῖς ἐπ' ἀμύλῳ καθημένοις.

Pseudepicharmi scripta.

Τούτων ἀκούσας ὁ Οὐλπιανὸς ἔφη· Ἀλλ' ἐπει- LX.

1 ψευδεπιχαρμαῖα edd. ψευδεπιχάρμια Ms. 2 ταῦτα ὅτι πεπ. vulgo.

Cui Larensius respondit, dicens: Ἡμίναν norunt carminum auctores quae Epicharmo tribui solent: & in Chirone qui inscribitur haec verba leguntur:

Et bibere aquae duplum tepidae, heminas duas.

Istorum autem carminum, nomen Epicharmi mentientium, auctores sunt viri nobiles. Nam Chrysogonus tibicen, ut ait Aristoxenus octavo libro Legum Civilium, carminis illius auctor est, quod *Respublica* inscribitur: Axiopistum autem, Locrum genere aut Sicyonium, *Canonem* scripsisse & *Sententias*, Philochorus ait in libro de Divinatione. Eademque Apollodorus tradit. *Amyli* vero Teleclides meminit, in Rigidis:

Amo placentam calidam; sylvestres pyros non amo:
delector leporinae frustis amylo insidentibus.

60. His auditis Ulpianus ait: At, quoniam *coptam*

Copta, placenta.

δὴ καὶ κοπτήν [1] τινα καλεῖτε, ὁρῶ δὲ ἑκάστῳ κειμένην ἐπὶ τῆς τραπέζης, λέγετε ἡμῖν, ὦ λίχνοι, τίς τοῦ ὀνόματος τούτου τῶν ἐνδόξων μνημονεύει. καὶ ὁ Δημόκριτος ἔφη· Τὸ μὲν θαλάσσιον πράσσον,[2] κόπτην [3] φησὶ καλεῖσθαι Διονύσιος ὁ Ἰτυκαῖος, ἐν ἑβδόμῳ [4] τ Γεωργικῶν. τοῦ δὲ ἡμῖν παρακειμένου μελιπήκτου μέμνηται Κλέαρχος ὁ Σολεὺς ἐν τῷ Περὶ Γρίφων,[5] οὑτωσὶ λέγων· „Σκεύη κελεύοντα [6] λέγειν ὅμοια, εἰπεῖν·

Τρίπους, χύτρα, λυχνεῖον, ἀκταία, βάθρον,
σπόγγος, λέβης, σκαφεῖον, ὅλμος, λήκυθος,
σπυρὶς, μάχαιρα, τρυβλίον, κρατὴρ, ῥαφίς.

καὶ πάλιν ὄψων, οὕτως·

Ἔτνος, φακῆ, τάριχος, ἰχθὺς, γογγυλὶς,
σκόροδον, κρέας, θύννειον, [7] ἅλμη, [8] κρόμμυον, a

1 κόπτην ed. Caſ. 2 Rectius πράσον. 3 κοίτην h. l. ed. Ven. & Baſ. cum Ms. 4 Deeſt vox in ed. Ven. & Baſ. cum ſpatio vacuo. 5 περὶ Γραφῶν vulgo. 6 κελεύοντος legebam. 7 θυννίον vulgo. 8 αλλη Ms.

quoque aliquam (κοπτὴν) vocatis, quam unicuique etiam in menſa adpoſitam video; dicite mihi, catillones, ecquis clarorum ſcriptorum vocabuli huius meminerit. Tum Democritus: Marinum quidem porrum, inquit, *coptam* (κόπτην) vocari, Dionyſius Uticenſis ait ſeptimo libro Georgicorum. Sed adpoſiti nobis dulciarii operis Clearchus meminit Solenſis, in libro de Griphis, ubi ita ſcribit: »Si quis *vaſa* iubeat *nominari* ſimilia, dicendum:

Tripus, chytra, candelabrum, actaea, [i. e. *marmoreum mortarium,*] *ſcamnum,*
ſpongia, lebes, pala, pila, olearia ampulla,
ſporta, culter, catinus, calix, acus.

Rurſus *obſoniorum* nomina, hoc modo:

Puls fabacea, lenticula, ſalſamentum, piſcis, rapum,
allium, caro, thynni pulpamentum, muria, cepa,

σκόλυμος, ἐλαία, κάππαρις, βολβὸς, μύκης.
ἐπί τε τῶν τραγημάτων, ὁμοίως·

Ἄμης, πλακοῦς, ἔντιλτος, ἴτριον, ῥοὰ, [1]
ᾠὸν, ἐρέβινθος, σησάμη, κοπτὴ, βότρυς,
ἰσχὰς, ἄπιος, πέρσεια, [2] μηλέ', ἀμύγδαλα."

ταῦτα μὲν ὁ Κλέαρχος. Ὁ δὲ φλυακογράφος Σώπατρος, ἐν τῷ ἐπιγραφομένῳ Πύλαι δράματι, φησίν·

Τίς δ' ἀναρίθμου μήκωνος εὗρε κοπτὰς, [3]
ἢ κνηκοπύρους ἡδονὰς τραγημάτων
ἔμιξεν; — —

Ἀπέχεις, ὦ καλέ μου λογιστὰ Οὐλπιανὲ, τὴν κο-
b πτήν· ἧς συμβουλεύω σοι ἀπεσθίειν. καὶ ὃς, οὐδὲν μελ- Ἀπεσθίειν, ab esu abstinere.
λήσας, ἀνελόμενος ἤσθιε. γελασάντων δὲ πάντων, ἔφη
ὁ Δημόκριτος· ἀλλ' οὐκ ἐσθίειν σε προσέταξα, καλὲ
ὀνοματοθήρα, ἀλλὰ μὴ ἐσθίειν. τὸ γὰρ ἀπεσθίειν

1 Vulgo ἴτριον, ῥοδῶν, ἐρεβ. 2 περσία vulgo. Poterant & iungi duo vocabula, πέρσεια μηλέ'. 3 τὰς κοπτὰς forsan.

carduus edulis, oliva, capparis, bulbus, fungus.

De *bellariis* similiter:

Ames, placenta, entiltus, itrium, punicum malum,
ovum, cicer, sesamum, copta, uva,
carica, pyrum, Persica, poma, (sive, *mala Persica*)
amygdalae."

Haec quidem Clearchus. Sopater vero phlyacographus, in dramate quod Pylae inscribitur, ait:

Quis vero innumerorum paveris seminum invenit coptas,
aut cneco-triticeas delicias bellariorum
miscuit? — —

Habes, o mi praeclare rationum-exactor Ulpiane, *coptam*: de qua te ἀπεσθίειν iubeo. Et ille, nil cunctatus, cepit comeditque. Arridentibus vero cunctis, Democritus ait: At non te *comedere* iussi, praeclare vocabulorum-venator; sed *non comedere*. In hanc enim sententiam

οὕτως εἴρηκεν ἐν Φινεῖ ὁ κωμῳδιοποιὸς [1] Θεόπομπος·

Παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις·
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρυξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν. [2]
ταῦτ' ἢν ποῇς, [3] ῥᾴων ἔσει [4] τὴν οὐσίαν.

Χρῶνται δὲ τῷ ἀπεσθίειν καὶ ἀντὶ τοῦ ἀπό τινος ἐσθίειν, ὡς Ἕρμιππος ἐν Στρατιώταις·

Οἴμοι τάλας, δάκνει, δάκνει, ἀπεσθίει
μου τὴν ἀκοήν. —

LXI. Pistacia, & varia nominis scriptura.

Ἐπὶ τούτῳ ἐλεγχθεὶς ὁ Σύρος, καὶ δηχθεὶς σφόδρα· Ἀλλὰ μήν, ἔφη, παράκειται ἡμῖν ἐπὶ τῆς τραπέζης καὶ ψιττάκια· [5] ἅπερ ἢν εἴπῃς παρὰ τίνι κεῖται, δώσω σοι, οὐ χρυσέους δέκα στατῆρας κατὰ τὸν Ποντικὸν λεσχηνευτὴν, ἀλλὰ τουτὶ τὸ ἔκπωμα. σιωπήσαν-

1 κωμωδοποιὸς edd. 2 εὐκοιλίαν corr. Coray. 3 Ταύτην πίῃς ed. Cas. 4 καὶ ῥᾷον ἔσῃ edd. 5 φιστάκια vel πιστάκια corr. Cas.

verbo ἀπεσθίειν usus est in Phineo comicus Theopompus:

Desine adolescens aleam, atque in posterum
oleribus vescere. Alvus praedura est tibi,
tum saxatilibus piscibus te abstine. (ἀπέσθιε.)
Villum praetenue confert ad sapientiam.
Hoc bibe: [vel, *Haec fac:*] *& habebit melius se patrimonium.*

Utuntur vero verbo ἀπεσθίειν etiam pro *comedere de cibo quodam.* Sic Hermippus, in Militibus:

Vae mihi! mordet, mordet, devorat (ἀπεσθίει)
aures meas. —

61. Hisce convictus Syrus, atque etiam vehementer morsus, ait: At adposita vobis etiam in mensis video *Psittacia:* (i. e. *Pistacia:*) quae si tu mihi dixeris, apud quemnam nominata legantur, dabo tibi, non decem aureos stateras, ut *Ponticus* ille *Nugator* (Nugarum scriptor) dixit, sed hocce ipsum poculum. Tacente vero

τος δὲ τοῦ Δημοκρίτου· Ἀλλ' ἐπεὶ ἀπορεῖς, ἔφη, ἐγώ σε διδάξω. Νίκανδρος μὲν ὁ Κολοφώνιος ἐν τοῖς Θηριακοῖς μνημονεύων αὐτῶν φησίν·

Φιττάκι'[1] ἀκρεμόνεσσιν ἀμυγδαλέοισιν ὅμοια.

γράφεται δὲ καὶ,

Βιστάκια[2] — — ἀμυγδαλόεντα[3] πέφανται.

καὶ Ποσειδώνιος δὲ ὁ ἀπὸ τῆς Στοᾶς, ἐν τῇ[4] τρίτῃ τῶν Ἱστοριῶν, γράφει οὕτως· „Φέρει δὲ καὶ τὸ πέρσειον[5] ἡ Ἀραβία καὶ ἡ Συρία, καὶ τὸ καλούμενον βιστάκιον· ὃ δὴ καὶ βοτρυώδη τὸν καρπὸν ἀφίησι, λευκόφαιον[6] ὄντα, καὶ μακρὸν, παρεμφερῆ τοῖς δακρύοις,[7] ἃ δὴ ῥαγῶν τρόπον ἀλλήλοις ἐπιβάλλει· τὰ δ' ἔνδον ἔγχλωρον,[8] καὶ τοῦ κωνίου[9] τῶν στροβίλων ἧττον μὲν εὔχυμον, εὐώδη δὲ μᾶλλον." οἱ δὲ τὰ Γεωρ-

1 Ψιττάκι' edd. cum ms. *A.* πιστάκι' hodie apud Nicand. 2 ἀστάκια edd. κιστάκια ms. *A.* 3 ἀμύγδαλα ὄντα edd. cum Msto. 4 Abeſt τῇ edd. 5 περσίον edd. cum ms. *A.* πέρσιον ms. *Ep.* 6 λευκόφαοιον ms. *A.* λευκοφαῆ ms. *Ep.* λευκόφλοιον edd. 7 Corrigunt ἀκροδρύοις, δακτύλοις, ἀμυγδάλοις. 8 ἔνχλωρον ms. *A.* ἔστι χλωρὸν ms. *Ep.* 9 κωνείου edd. κώνου corrigunt.

Democrito: Quoniam tu dubitas, inquit; ego te docebo. Nicander Colophonius in Theriacis mentionem horum facit, dicens:

Phittacia e ramis pendentia, amygdalis ſimilia.

Scribitur vero etiam hoc modo:

Biſtacia — — amygdalarum ſpecie adparent.

Tum vero etiam Poſidonius Stoicus tertio libro Hiſtoriarum ita ſcribit: »Gignit autem Arabia atque Syria & Perſicum malum, & *biſtacium* quod dicitur, ſive biſtaciam arborem; quae fructum fert racemoſum, ex fuſco albentem, oblongum, lacrymis ſimilem, quae nimirum ad acinorum inſtar aliae aliis incumbunt; intrinſecus ſubviridem, & non tam boni quidem ſucci quam nuclei pinearum nucum, ſed fragrantiorem.« Auctores vero

γικὰ συγγράψαντες ἀδελφοὶ ἐν τῷ τρίτῳ γράφουσιν e οὕτως· „Καὶ τὴν μελίαν καὶ τὴν τέρμινθον, ἃ δὴ νῦν πιστάκια οἱ Σύροι καλοῦσιν.“ καὶ οὗτοι μὲν διὰ τοῦ π πιστάκια ταῦτα ὠνόμασαν· ὁ δὲ Νίκανδρος δασέως, φιττάκια· [1] Ποσειδώνιος δὲ, βιστάκια.

LXII. Connari & Paliuri.

Περιβλέψας οὖν ἐν τούτοις τοὺς παρόντας, καὶ τυχὼν ἐπαίνου· Ἀλλὰ μὴν καὶ περὶ τῶν ἄλλων πάντων τῶν παρακειμένων λελέξεταί μοι, ἵνα με τῆς πολυμαθίας ἀγασθῆτε· ἐρῶ δὲ πρότερον περὶ τῶν παρὰ Ἀλεξανδρεῦσι καλουμένων Κοννάρων, καὶ Παλιούρων. μνημονεύει δὲ αὐτῶν Ἀγαθοκλῆς ὁ Κυζικηνὸς ἐν τρίτῃ τῶν Περὶ τῆς Πατρίδος, λέγων οὕτως· „Κεραυνοῦ δὲ σκήψαντος εἰς τὸν τάφον, ἀνεβλάστησεν ἐκ τοῦ σήματος δενδρίον, ὃ ἐκεῖνοι κόνναρον ἐπονομάζουσι. ἔστι δὲ τὸ δενδρίον τῷ μεγέθει μὲν πτελέης καὶ πεύκης οὐθέν τι μεῖον. ἀκρέμονας δ' ἔχει θαμέας, f

1 φιτάχια ed. Ven. & Baſ. φιστάκια ed. Caſ.

Georgicorum fratres tertio libro ita ſcribunt: »Et fraxinum arborem, & *terebinthum*, (ferentem) ea quae *piſtacia* nunc Syri vocant.« Hi igitur *piſtacia*, per *p* literam, haec nominarunt: Nicander vero aſpiratâ literâ, *phittacia*: Poſidonius autem, *biſtacia*.

62. His dictis (Ulpianus) circumſpexit praeſentes; & ab eis collaudatus, ſic perrexit: Atqui etiam de aliis omnibus, quae adpoſita ſunt, verba iam ſum facturus, quo meam admiremini eruditionem: prius vero dicam de *connaris* & *paliuris* quae apud Alexandrinos vocantur. Meminit autem eorum Agathocles Cyzicenus tertio libro Rerum Patriarum, ubi ita ſcribit: »Poſtquam de coelo tactum eſt ſepulcrum, enata eſt ex monumento arbuſcula, quam *connaron* illi (Aegyptii) nominant. Eſt autem arbuſcula magnitudine ulmi aut piceae, nihilo minor. Ramos autem habet crebros, & longos, ac non-

καὶ δολιχοὺς, καὶ ἐπ' ὀλίγον ἀκανθώδεας· τὸ δὲ Φύλλον τέρεν καὶ χλωρὸν, τῇ φυῇ περιφερές. καρποφορεῖ
a δὲ δὶς τοῦ ἔτεος, ἦρός τε καὶ φθινοπώρου. γλυκὺς δὲ πάνυ ὁ καρπὸς, μέγεθος κατὰ φαυλίην [1] ἐλαίην, καὶ τὴν σάρκα καὶ τὸ ὀστέον ταύτῃ προσείκελον, διαλλάσσον [2] δὲ τῇ τοῦ [3] χυμοῦ ἡδονῇ. καὶ τρώγεται ἔτι χλωρὸς ὁ καρπός· καὶ, ἐπὴν αὐανθῇ, ποιοῦσιν ἐξ αὐτοῦ ἄλευρα, καὶ πατέονται ταῦτα, [4] οὐ μάξαντες, οὐδ' ὕδατι δεύοντες, ἀλλὰ φαύλως οἷά πεῳ πέφυκεν." Καὶ Εὐριπίδης ἐν Κύκλωπι φησίν· „παλιούρου κλάδῳ." [5] Θεόπομπος δ' ἐν εἰκοστῇ πρώτῃ Φιλιππι-
b κῶν μνημονεύει αὐτῶν, καὶ Δίφιλος ὁ Σίφνιος ἰατρὸς ἐν τῷ Περὶ τῶν Προσφερομένων τοῖς Ὑγιαίνουσι καὶ τοῖς Νοσοῦσι. Τούτων δὲ πρῶτον ἐμνήσθην, ἄνδρες φίλοι, οὐχ ὅτι ἡμῖν παράκειται νῦν, ἀλλ' ὅτι πολλάκις ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ ἐπὶ τῶν δευτέρων τραπε-

1 Temere καὶ inserunt edd. 2 διαλλάσσει edd. 3 Deest τοῦ edd. 4 πατέοντι ταῦτα edd. πατέον ταῦτα ms. *A*. προσφέρονται ταῦτα ms. *Ep*. 5 κλάδου edd. κλάδων corr. Musgr.

nihil spinosos: folium vero tenerum, & ex viridi pallidum, figurâ rotundum. Fructum fert autem bis quotannis, vere & autumno. Estque dulcis fructus, magnitudine fere phauliae olivae, & carne & nucleo huic similis, sed saporis suavitate praestantior. Comeditur autem fructus & recens adhuc, &, postquam siccatus est, massas ex eo faciunt, quas comedunt, non subactas, aut aquâ humectatas, sed nude ac crude quales sunt." Euripides vero, in Cyclope, dixit „*paliuri ramo*." Meminit vero eorumdem & Theopompus libro primo & vicesimo Philippicorum, & Diphilus Siphnius medicus in libro De Alimentis Sanorum & Aegrotantium. Horum igitur prius mentionem feci, Amici viri, non quod nunc nobis adposita sint, sed quod, quum in pulcra Alexandria frequenter secundis mensis adposita

ζῶν παρακείμενα ἔλαβον, καὶ ζητηθέντος ἐκεῖ τοῦ ὀνόματος, ἐνθάδε τῷ βιβλίῳ ἐντυχὼν ἀνελεξάμην.

LXIII. Pira, & hamamelides.

Ἑξῆς οὖν λέξω περὶ τῶν παρακειμένων ἀπίων· ἐπεὶ ἀπ' αὐτῶν καὶ ἡ Πελοπόννησος Ἀπία ἐκλήθη, διὰ τὸ ἐπιδαψιλεύειν ἐν αὐτῇ τὸ φυτόν, φησὶν Ἴστρος ς ἐν τοῖς Ἀργολικοῖς. ὅτι δὲ τὰς ἀπίους [1] ἐν ὕδατι εἰσέφερον εἰς τὰ συμπόσια, Ἄλεξις ἐν Βρεντίᾳ [2] παρίστησιν διὰ τούτων·

— Α. Εἶδές ποτε
πεινῶσιν [3] ἀνθρώποις ἀπίους παρακειμένας
ἐν ὕδατι πολλῷ; Β. Πολλάκις δήπου. τί οὖν;
Α. Οὐκ οὖν ἕκαστος ἐκλεγόμενος λαμβάνει
τῶν ἐπινευσῶν τὴν πεπαιτάτην ἀεί;
Β. Δηλονότι. —

Αἱ δ' ἀμαμηλίδες [4] οὐκ εἰσὶν ἄπιοι, ὥς τινες οἴου-

1 τοὺς ἀπίους ed. Ven. & Baf. 2 Βρεττίᾳ apud Stob. 3 πεινοῦσιν ed. Ven. & Baf. cum Ms. 4 ἀμαμαλλίδες edd. & ſic deinde ἀμαμαλλίδας iidem.

comediſſem, quumque de illorum nomine ſaepius quaeſtio eſſet iniecta, hîc demum in librum incidi, in quo ea quae a me commemorata ſunt, legi.

63. Deinceps igitur de *piris*, quae adpoſita video, dicam: quandoquidem ab illorum Graeco nomine (ἄπια) etiam Peloponneſus *Apia* nominata eſt, quod hoc fructu abundaret; ut ait Iſter in Argolicis. Inferre autem in convivia ſolitos eſſe pira in aqua, docet Alexis in Brutia, ubi ait:

— A. *Vidiſtin' umquam*
eſurientibus hominibus pira adpoſita
multâ in aquâ? B. *Frequenter utique: quid igitur?*
A. *Nonne ergo quilibet ſeligit capitque*
ex innatantibus ſemper maturrimas?
B. *Sic ſane eſt.* —

Hamamelides autem non ſunt eaedem cum piris, ut pu-

d ται, ἀλλ' ἕτερόν τι, καὶ ἥδιον, καὶ ἀπύρηνον. Ἀριστομένης ἐν Διονύσῳ φησίν·

Ὁ Χῖος [1] οὐκ οἶσθ' ὡς ἀμαμηλίδας ποιεῖ;

ὅτι δ' ἐστὶν ἕτερον τῆς ἀπίου καὶ ἥδιον, Αἰσχυλίδης παρίστησιν ἐν τρίτῳ Γεωργικῶν. περὶ Κέω γοῦν τῆς νήσου λέγων, γράφει οὕτως· „Ἀπίους ἡ νῆσος φέρει κρατίστας, κατὰ τὰς ἐν Ἰωνίᾳ καλουμένας ἀμαμηλίδας· εἰσὶ γὰρ ἀπύρηνοί τε καὶ ἡδεῖαι καὶ γλυκεῖαι." Ἀέθλιος δ' ἐν πέμπτῳ Ὡρων [2] Σαμίων, εἰ γνήσια τὰ συγγράμματα, ὁμομηλίδας αὐτὰς καλεῖ. Πάμ-
e φιλος δ' ἐν τοῖς Περὶ Γλωσσῶν [3] καὶ Ὀνομάτων· „Ἐπιμηλὶς, φησὶν, ἀπίου γένος." Ἀντιφῶν δ', ἐν τῷ Περὶ Γεωργικῶν, φωκίδας φησὶν εἶδος ἀπίων εἶναι.

[Ῥοαί. Ῥοῶν δὲ λέγονται αἱ μὲν ἀπύρηνοι εἶναι, ἕτεραι δὲ σκληροκκοι.] [4] τῶν γὰρ ἀπυρήνων Ἀριστο- LXIV. Punica mala.

1 An Ἡ Κεῖος? 2 Ὅρων edd. 3 περὶ Γλώσσης vulgo. 4 Loco istorum, vulgo hîc ita scribitur: εἶδος ἀπίων εἶναι, ῥοῶν δὲ σκληροκόκκων. τῶν γὰρ ἀπυρήνων &c.

tant nonnulli; sed diversum quiddam, & suave, & absque nucleis. Aristomenes in Baccho ait:

Chium [sive, *Ceum*] *an nescis hamamelidas facere?*

Esse autem diversum fructum a piro, & suaviorem, Aeschylides docet tertio libro Georgicorum; ubi de Ceo loquens, ita scribit: »Fert ea insula pira praestantissima; quae cum *hamamelidibus*, quas vocant in Ionia, conferri possint: nucleo enim carent, & suavia sunt atque dulcia.« Aëthlius vero quinto libro Annalium Samiorum, si genuini illi libri sunt, *homomelidas* easdem vocat. Pamphilus vero, in libris de Glossis & Nominibus: »*Epimelis*, ait, piri genus.« Antiphon autem, in Georgicis, *phocidas* dicit pirorum esse speciem.

64. [*Punica mala*, sive *Mala Granata*. Punicorum malorum alia dicuntur *apyrena* esse, *i. e.* absque nucleis; alia vero *duros nucleos habere*.] Apyrenorum Ari-

Φάνης ἐν Γεωργοῖς μνημονεύει. καὶ ἐν Ἀναγύρῳ· [1]

— Πλὴν ἀλεύρου καὶ ῥοᾶς.

καὶ ἐν Γηρυτάδῃ. Ἕρμιππος δ' ἐν Κέρκωψι φησίν· [2]

Ἤδη τεθέασαι κόκκον ἐν χιόνι ῥοᾶς;

ῥοίδιον μέντοι, ὡς βοίδιον, τὸ ὑποκοριστικόν. [ῥοῶν δὲ σκληροκόκκων] [3] Ἀντιφάνης ἐν Βοιωτίᾳ·

— Ἐνεγκεῖν ἐξ ἀγροῦ μοι τῶν ῥοιῶν [4]

τῶν σκληροκόκκων. —

Ἐπίλυκος, Φωραλίσκῳ· [5]

Μῆλα καὶ ῥοᾶς λέγεις.

Ἀλεξις, Μνηστῆρσι·

Ῥοᾶν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν. —

Σίδας δὲ ὅτι τὰς ῥοιὰς καλοῦσι Βοιωτοὶ, Ἀγαθαρ- f
χίδης ἐν τῇ ἐννεακαιδεκάτῃ τῶν Εὐρωπιακῶν [6] οὕτως γράφει· „Ἀμφισβητούντων Ἀθηναίων πρὸς Βοιωτοὺς

1 ἐν Ἀγύρῳ edd. 2 Desunt editis octo verba, cum subiecto versu. 3 Absunt h. l. vulgo tria verba. 4 Rectius fuerit τῶν ῥοῶν. 5 Forſ. Κωραλίσκῳ. 6 Εὐρωπικῶν vulgo h. l.

ſtophanes meminit in Agricolis. Idem in Anagyro ait:

— *Praeter farinam & malum Punicum.*

Item in Gerytade. Hermippus vero in Cercopibus ait:

Vidiſti – ne iam nucleum in nive mali Punici?

A Graeco nomine ῥοὰ, diminutivum ῥοίδιον dicitur; ut βοίδιον. [Malorum vero Punicorum *duro nucleo* meminit] Antiphanes in Boeotia:

— *Adferre ex agro mihi Punica nonnulla*
duris nucleis. —

Epilycus, Phoraliſco: [*ſive*, Coraliſco:]

Mala dicis atque Punica.

Alexis, in Procis:

Punicum enim malum ex illorum manibus.

Sidas autem a Boeotis nominata eſſe mala Punica, Agatharchides docet libro decimo nono Europiacorum, ita ſcribens: »Diſceptantibus Athenienſibus cum Boeotis

περὶ τῆς χώρας, ἣν καλοῦσιν Σίδας, Ἐπαμινώνδας δικαιολογούμενος ἐξαίφνης ἐκ τῆς ἀριστερᾶς μεταλαβὼν κεκρυμμένην ῥοὰν, καὶ δείξας, ἤρετο αὐτοὺς, τί καλοῦσι τοῦτο; τῶν δ' εἰπόντων ῥοάν· ἀλλ' ἡμεῖς, εἶπε, σίδαν. ὁ δὲ τόπος τοῦτ' ἔχει τὸ φυτὸν ἐν αὐτῷ πλεῖστον, ἀφ' οὗ τὴν ἐξ ἀρχῆς εἴληφε προσηγορίαν· καὶ ἐνίκησε." Μένανδρος δ' ἐν Αὐτοντιμωρουμένῳ ῥοΐδια αὐτὰς ὠνόμασεν, διὰ τούτων· Sidae, regio Boeotiae.

Μετ' ἄριστον γὰρ ὡς ἀμυγδάλας ἐγὼ [1]
παρέθηκα, καὶ τῶν ῥοϊδίων ἐτρώγομεν.

Λέγεται δέ τι [2] καὶ φυτὸν σίδη [3] ὅμοιον ῥοιᾷ, γινόμενον ἐν τῇ Περὶ Ὀρχομενὸν [4] λίμνῃ ἐν αὐτῷ τῷ ὕδατι, οὗ τὰ μὲν φύλλα τὰ πρόβατα ἐσθίει, τὸν δὲ βλαστὸν αἱ ὗες, ὡς ἱστορεῖ Θεόφραστος ἐν τετάρτῳ Sida; planta aquatilis.

1 Versus sic resingendus:
Ἐγὼ μετ' ἄριστον γὰρ ὡς ἀμυγδάλας
2 δ' ἔτι ms. *A.* 3 φυτὸν ἐν αὐτῷ σίδη edd. 4 Ὀρχόμενον edd.

de agro, quem *Sidas* vocant, Epaminondas iura Boeotorum defendens subito malum Punicum, quod siniſtra manu occultum tenuerat, sumens ostendensque, quaesivit ex Athenienſibus, *quo nomine hoc vocarent?* Cumque illi respondiſſent, ῥοάν: *At nos*, inquit, *sidam.* Habet autem is locus plurimas id genus arborum, unde principio nomen ei est inditum. Atque ita cauſſam Epaminondas obtinuit. « Menander vero in Heautontimorumeno ῥοΐδια eadem vocavit, ubi ait:

Poſt prandium etenim simul amygdalas ego
adpoſui, deque Punicis guſtavimus.

Vocatur vero etiam alia planta *sida*, Punicae malo similis, nascens in palude circa Orchomenum in ipsa aqua; cuius folia comedunt oves, germen vero sues: ut Theophraſtus tradit quarto libro de Plantis; ubi in

Περὶ Φυτῶν· γίνεσθαι λέγων καὶν τῷ Νείλῳ ὁμώνυμόν τι αὐτῇ ἄνευ ῥιζῶν. b

LXV. Palmulae.

Φοίνικες. Ξενοφῶν μὲν ἐν δευτέρῳ Ἀναβάσεως φησίν· „Ἐνῆν δὲ [1] σῖτος πολὺς, καὶ οἶνος φοινίκων, καὶ ὄξος ἐψητὸν ἀπὸ τῶν αὐτῶν. αὗται [2] δὲ αἱ βάλανοι τῶν φοινίκων, [3] οἷας μὲν ἐν τοῖς Ἕλλησίν ἐστιν ἰδεῖν, τοῖς οἰκέταις ἀπέκειντο· αἱ δὲ τοῖς δεσπόταις ἀποκείμεναι ἦσαν ἀπόλεκτοι, θαυμάσιοι τὸ κάλλος καὶ τὸ μέγεθος, ἡ δὲ ὄψις ἠλέκτρου οὐδὲν διέφερε· τὰς δέ τινας [4] ξηραίνοντες, τραγήματα παρετίθεντο. καὶ ἦν παρὰ πότον ἡδὺ μὲν, κεφαλαλγὲς δέ.“ Ἡρόδοτος δ' ἐν τῇ πρώτῃ, περὶ Βαβυλῶνος λέγων, φησίν· „Εἰσὶ δὲ αὐτόθι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον, οἱ πλεῖνες αὐτῶν καρποφόροι· ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι ποιέονται. τοὺς συκεῶν [5] τρό- c

1 Ἐν δὲ ed. Ven. cum ms. *A*. 2 αὗται vulgo. 3 Perperam φοινικίων ms. *A*. & φοινικείων ed. Ven. 4 δέ τινες ed. Baf. & Caf. 5 συκέων edd.

Nilo etiam ait naſci cognominem illius plantam abſque radicibus.

65. *Palmulae.* Xenophon ſecundo libro De Cyri Expeditione ait: »Inerat autem frumenti copia, & vinum e palmis, & acetum ex eisdem coctum. Ipſae autem *glandes palmarum*, quales quidem in Graecia videre eſt, famulis erant deſtinatae: quae vero dominorum uſui inſerviebant, ſelectae erant, mira & pulcritudine & magnitudine, aſpectu prorſus ſimiles electro. Harum autem alias, ſiccatas, pro bellariis adponebant. Et erant inter potum iucundae quidem, ſed capitis adferebant dolorem.« Herodotus vero libro primo, ubi de Babylone loquitur, ait: »Naſcuntur per totam planitiem *palmae*, maiorem partem frugiferae: e quibus & cibaria & vinum & mel parant. Curant autem eas eodem modo quo ficus ar-

πον θεραπεύουσιν. τῶν γὰρ Φοινίκων οὓς ἔρσενας [1] καλέουσι, τούτων [2] τὸν καρπὸν περιδέουσι τῇσι βαλανηφόροισι τῶν Φοινίκων, ἵνα τε πεπαίνῃ σφιν [3] ὁ ψὴν τὴν βάλανον ἐνδύνων, [4] καὶ μὴ ἀποῤῥείῃ [5] ὁ καρπὸς τοῦ Φοίνικος. ψῆνας γὰρ δὴ φορέουσιν ἐν τῷ καρπῷ οἱ ἔρσενες, καθάπερ οἱ ὄλυνθοι." [6] Τὰ παραπλήσια τοῖς περὶ τὸν Ἡρόδοτον ἱστορεῖ περὶ τοῦ ἐν Λιβύῃ καλουμένου λωτοῦ αὐτόπτης γενόμενος ὁ Μεγαλοπολίτης Πολύβιος, ἐν τῇ δωδεκάτῃ τῶν Ἱστοριῶν, λέγων οὕτως· „Ἔστι δὲ τὸ δένδρον ὁ λωτὸς οὐ μέγα, τραχὺ δὲ καὶ ἀκανθῶδες, ἔχει δὲ φύλλον χλωρὸν παραπλήσιον τῇ ῥάμνῳ, μικρῷ βαθύτερον [7] καὶ πλατύτερον. ὁ δὲ καρπὸς τὰς μὲν ἀρχὰς ὁμοιός ἐστι καὶ τῇ χρόᾳ καὶ τῷ μεγέθει ταῖς λευκαῖς μυρτίσι ταῖς τετελειωμέναις· αὐξανόμενος δὲ τῷ μὲν χρώματι γίνεται φοινικοῦς, τῷ δὲ μεγέθει ταῖς γογγύλαις [8] ἐλαίαις

Lotus Libyca, ex Polybio.

1 ἄρσενας edd. & deinde ἄρσενες. 2 τοῦτον vulgo. 3 ἵνα πεπαίνηταί σφι ed. Baſ. & Caſ. ἵνα πεπαίνῃ σφι ed. Ven. ἵνα τε πεπέννη σφιν ms. *A*. 4 ἐσδύνων ed. Baſ. & Caſ. 5 ἀποῤῥέῃ apud Herodot. 6 ὄλονθοι Ms. 7 Vulgo μικρὸν, βαθύτερον καὶ πλατύτερον. 8 στρογγύλαις edd.

bores. Nam, quas palmas masculas vocant, earum fructum adligant palmis glandes-ferentibus; quo fit ut & culex in glandem ſe inſinuans maturet illam, nec de arbore decidat fructus. Nam culices in fructu ſuo ferunt masculae palmae, quemadmodum groſſi, id eſt, fructus caprifici.« Similia Herodoto de *Loto*, quem vocant in Africa, Polybius Megalopolitanus refert, oculatus teſtis, Hiſtoriarum libro duodecimo, his verbis: »Eſt autem *Lotus arbor* non procera, aſpera vero & ſpinoſa. Folium ex viridi pallidum habet, rhamno ſimile, paulo craſſius & latius. *Fructus*, initio quidem, & colore & magnitudine albis myrti baccis, cum perfectae ſunt, ſimilis eſt. Auctus deinde colorem induit puniceum, magnitudine

παραπλήσιος, πυρῆνα δὲ ἔχει τελέως μικρόν. ἐπὰν δὲ e
πεπανθῇ, συνάγουσι· καὶ τὸν μὲν τοῖς οἰκέταις μετὰ
χόνδρου κόψαντες σάττουσιν εἰς ἀγγεῖα· τὸν δὲ τοῖς
ἐλευθέροις, ἐξελόντες τὸν πυρῆνα, συντιθέασιν ὡσαύ-
τως, καὶ σιτέονται [1] τοῦτον. ἔστι δὲ τὸ βρῶμα [2] πα-
ραπλήσιον σύκῳ καὶ Φοινικοβαλάνῳ, τῇ δὲ εὐωδίᾳ
βέλτιον. γίνεται δὲ καὶ οἶνος ἐξ αὐτοῦ βρεχομένου καὶ
τριβομένου δι' ὕδατος, κατὰ μὲν τὴν γεῦσιν ἡδὺς καὶ
ἀπολαυστικὸς, οἰνομέλιτι χρηστῷ παραπλήσιος, ᾧ
χρῶνται χωρὶς ὕδατος· οὐ δύναται δὲ πλέον δέκα μέ-
νειν ἡμερῶν, διὸ καὶ ποιοῦσι κατὰ βραχὺ πρὸς τὴν f
χρείαν. ποιοῦσι δὲ καὶ ὄξος ἐξ αὐτῶν."

LXVI. Φοίνιξ, & arbor & fructus.

Μελανιππίδης ὁ Μήλιος [3] ἐν ταῖς Δαναΐσιν, Φοίνικας τὸν καρπὸν οὕτως ὀνομάζει, τὸν λόγον ποιούμενος περὶ αὐτῶν·

1 σιτεύονται edd. 2 Perperam χρῶμα ms. *Ep.* 3 ὁ Μιλήσιος edd.

vero rotundis olivis fere fit aequalis; nucleum autem admodum habet puſillum. Is fructus ubi maturus eſt, colligitur: & partim ſervorum in uſum, cum alica tuſus, ſtipatur in vaſa; partim in uſum ingenuorum, exemto nucleo, ſimiliter componitur, atque pro cibo eſt. Eſt autem edulium guſtu non diſſimile caricis & palmulis, odore vero ſuaviore. Fit autem & *vinum* ex eodem fructu in aqua macerato ac trito, ſaporis grati & ſuavis, qualis eſt optimi mulſi. Bibunt illud ſine aqua: ſed ultra decimum diem non durat: quamobrem ſubinde, prout requirit uſus, illud parant. Ex eodem fructu *acetum* quoque conficiunt. «

66. Melanippides Melius in Danaidibus *palmarum glandes* φοίνικας (ſic) nominavit, ubi mentionem earum facit:

„Τῶν γὰρ ἀΐδων [1] οὐ γὰρ ἀνθρώπων φόρευν μορφὰν ἐνεῖδος· [2] οὐδὲ τὰν ἀὔτὰν [3] γυναικείαν [4] ἔχον· ἀλλ' ἐν ἁρμάτεσσι διφρούχοις ἐγυμνάζοντο † ἄνευη λιασδέα [5] πολλάκι [6] θῆρες φρένα τερπόμεναι, ἱερόδακρυ λίβανον εὐώδεις τε φοίνικας κασίαν τε πατεῦσαι [7] τέρενα Συρίας τέρματα." [8]

a καὶ Ἀριστοτέλης ἐν τῷ Περὶ Φυτῶν, οὕτως· „Φοινίκων ἀνόρχων, [9] οὓς τινες εὐνούχους καλοῦσιν, οἱ δὲ ἀπυρήνους." Φοίνικα δὲ τὸν καρπὸν καὶ Ἑλλάνικος κέκληκεν ἐν τῇ Εἰς Ἄμμωνος Ἀναβάσει, εἰ γνήσιον τὸ σύγγραμμα, καὶ Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις. Περὶ δὲ τῶν Νικολάων καλουμένων Φοινίκων, τοσοῦτον ὑμῖν εἰπεῖν ἔχω, τῶν ἀπὸ τῆς Συρίας

Spadones palmulae.

Palmulae Nicolaae.

1 ἀΐδων absque accentu Ms. ἀϊδῶν corr. Caſ. Τῶν γραΐδων Fior. 2 καὶ εἶδος corrigunt. An ἐνείδειν vel ἐνιδεῖν? 3 αὐδὰν corr. Caſ. αὐτὰν vulgo. 4 γυναικίαν vulgo. 5 ἀν' ὕλας ἴδας τε corr. Caſ. ἀεί· ὕλαις δὲ πολυθήραις Fior. ἀνηλέας δὲ - - φρέας Villebr. 6 οἷα πολλάκι Caſaub. 7 κατεῦσαι edd. 8 Συρίας σπέρματα videtur legendum. μυρώματα, ῥεύματα vel ἀρώματα coni. Caſ. τέρενά τε Συρίας τέρμινθα Villebr. Σύρια σπέρματα Fior. 9 Temere ἐνόρχων ed. Caſ. ἐνόρχων editt. vett. cum msstis.

» *Nam* [*infernalium*] *nec enim hominum gerebant ſpeciem . . . nec vocem muliebrem habebant: ſed in curribus ſedes-habentibus exercitabantur . . . . . ſaepe* [veluti] *ferae animum delectantes, ſacram-lacrymam thuris fragrantesque* φοίνικας *& caſiam calcantes, mollia Syriae ſemina.* «

Et Ariſtoteles in libro De Plantis, his verbis: »Φοινίκων teſticulis-carentium, quas *ſpadones* nonnulli vocant, alii *apyrenas.*« Φοίνικα vero *fructum* Hellanicus etiam nominavit in Profectione ad templum Iovis Ammonis, ſi genuinum ſcriptum; & Phormus comicus in Aralantis. De *Nicolais* vero quae vocantur *palmulis*, quae e Syria

καταγομένων, ὅτι ταύτης τῆς προσηγορίας ἠξιώθησαν ὑπὸ τοῦ Σεβαστοῦ αὐτοκράτορος σΦόδρα χαίροντος τῷ βρώματι, Νικολάου τοῦ Δαμασκηνοῦ ἑταίρου ὄντος αὐτῷ, καὶ πέμποντος Φοίνικας συνεχῶς. τῶν ἀπὸ τοῦ b
Περιπάτου δ' ὢν ὁ Νικόλαος καὶ Ἱστορίαν συνέγραψε πολλήν.

LXVII. Caricae: optimae Atticae.

Ἰσχάδες. ΣΦόδρα τῶν ἰσχάδων ἐθαυμάζοντο αἱ Ἀττικαί. Δίνων [1] γοῦν ἐν τοῖς Περσικοῖς Φησίν· „Παρετίθεντο δ' ἐπὶ τῆς τραπέζης τῆς βασιλέως ὅσα ἡ γῆ βρώματα Φέρει, ἧς ἄρχει βασιλεύς, ἀΦ' ἑκάστου ὅσον ἀπαρχήν. ξενικῷ δὲ οὐδενὶ οὔτε βρώματι, οὔτε ποτῷ, ᾤετο δεῖν ὁ ἐξ ἀρχῆς [2] τοὺς βασιλεῖς χρῆσθαι· ὅθεν καὶ νόμος τις ὕστερον [3] ἐγένετο. εἰσενέγκαντος γάρ ποτε τῶν εὐνούχων τινὸς ἐν τοῖς λοιποῖς τρα- c
γήμασιν ἰσχάδας Ἀττικὰς, ἐρωτῆσαι [4] ποταπαὶ [5] εἶεν.

1 Δείνων ms. *Ep.* 2 ὁ Ξέρξης corr. viri docti: alii ὁ ἐξ ἀρχῆς βασιλεὺς vel βασιλεύσας. Forſ. ᾤοντο δεῖν οἱ ἐξ ἀρχῆς. 3 Forſ. νόμος τοῖς ὑστέρου. 4 Immo ἠρώτησεν, & fortaſſe adiici debuit ὁ βασιλεύς. 5 Rectius ποδαπαὶ ed. Caſ. 2. & 3.

advehuntur, hoc tantum vobis dicere poſſum, cognomine illo honoratas fuiſſe ab Auguſto Imperatore: quum ei Nicolaus Damaſcenus, quo familiariter utebatur, conſtanter palmulas mitteret, quo illo cibo valde delectabatur. Fuit autem Stoicus philoſophus Nicolaus, & ſpiſſum etiam Hiſtoriarum opus conſcripſit.

67. *Caricae.* Singulari in pretio habebantur *Atticae caricae.* Dinon igitur in Perſicis ſcribit: »Adponebant menſae regis, primitiarum inſtar, quaecumque cibaria fert terra regis poteſtati ſubiecta: peregrino vero neque cibo, neque potu utendum regi conſuerat is qui primus regnum obtinuerat; [*ſive*, conſuerat Xerxes;] unde etiam ad poſteros illud inſtitutum duravit. Cum enim eunuchorum quidam inter reliqua bellaria caricas adpoſuiſſet Atticas,

ἐπεὶ δὲ ἐπύθετο ἐξ Ἀθηνῶν,[1] τοῖς ἀγορασταῖς ἐκέλευεν[2] ὠνεῖσθαι, ἕως ἂν[3] ἐξουσία γένηται αὐτῷ[4] λαμβάνειν ὅταν ἐθέλῃ, καὶ μὴ ἀγοράζειν. λέγεται δὲ τὸν εὐνοῦχον ἐπίτηδες τοῦτο ποιῆσαι, ἵνα αὐτὸν ὑπομνήσῃ τῆς ἐπὶ τὰς Ἀθήνας στρατείας." Ἄλεξις δ' ἐν Κυβερνήτῃ φησίν·

Εἰσέβαινον ἰσχάδες, τὸ παράσημον τῶν Ἀθηνῶν,[5]
καὶ θύμου δέσμαι τινές. —

Λυγκεὺς δ' ἐν τῇ πρὸς τὸν κωμικὸν Ποσίδιππον[6] Ἐπι-
d στολῇ· „Ἐν τοῖς τραγικοῖς, φησὶ, πάθεσιν Εὐριπίδην νομίζω Σοφοκλέους οὐδὲν διαφέρειν· ἐν δὲ ταῖς ἰσχάσι τὰς Ἀττικὰς τῶν ἄλλων πολὺ προέχειν." καὶ ἐν τῇ πρὸς Διαγόραν δὲ Ἐπιστολῇ γράφει οὕτως· „Ἡ δὲ γῆ ταῖς μὲν χελιδονίοις[7] ἰσχάσιν ἀντιπαρατιθεῖσα τὰς Βριγινδαρίδας[8] καλουμένας, τῷ μὲν ὀνόματι βαρβα-

1 Immo ὅτι ἐξ Ἀθηνῶν. 2 Forſ. τοὺς ἀγοραστὰς ἐκώλυεν. 3 ὡς ἂν mssti. 4 αὐτῶν mssti. 5 Ἀττικῶν ms. *Ep.* 6 Ποσείδιππον edd. 7 χελιδονίαις ms. *Ep.* 8 Βαγινδάριοι apud Poll.

interrogavit rex, cuiates illae eſſent: cumque intellexiſſet eſſe ex Athenis, iuſſit [*ni potius*, vetuit] obſonatores emere, donec ipſi poteſtas foret ſumendi, quum vellet, non emtas. Aiunt autem, conſulto id feciſſe eunuchum, quo in memoriam revocaret regi expeditionem adverſus Athenas ſuscipiendam.« Alexis vero, in Gubernatore, ait:

Intrabant caricae, Athenarum inſigne,
& thymi aliquot faſciculi. —

Lynceus vero in Epiſtola ad comicum Poſidippum ait: »Tragicis in caſibus Euripidem nihilo arbitror ſuperiorem eſſe Sophocle, in caricis vero longe omnibus antecellere Atticas.« Idem in Epiſtola ad Diagoram ita ſcribit: »Terra haec *chelidoniis* ficis opponit *Brigindaridas* quas vocant, nomine quidem barbaras, ſed ſaporis ſua-

ριζούσας, ταῖς δὲ ἡδοναῖς οὐδὲν ἧττον ἐκείνων ἀττικιζούσας." Φοινικίδης δ' ἐν Μισουμένῃ Φησίν·

Μύρτων λέγουσι καὶ μέλιτος ἐγκώμια,
καὶ τῶν προπυλαίων, [1] καὶ τέταρτον ἰσχάδων. e
τούτων ἐγευσάμην, καταπλεύσας εὐθέως,
καὶ τῶν προπυλαίων· κ' οὐδὲν [2] ἦν τούτων ὅλως
πρὸς ἀτταγῆνα [3] συμβαλεῖν τῶν βρωμάτων.

Ἐν τούτοις τηρητέον καὶ τὴν τοῦ ἀτταγῆνος μνήμην. Φιλήμων δ', ἐν τῷ Περὶ τῶν Ἀττικῶν Ὀνομάτων· „Αἰγιλίδας, Φησὶν, εἶναι τὰς καλλίστας ἰσχάδας· Αἴγιλα δ' εἶναι δῆμον τῆς Ἀττικῆς, ἀπὸ Αἰγίλου τινὸς ἥρωος ὠνομασμένον· χελιδονίας τε καλεῖσθαι τὰς ἐρυθρομελαίνας ἰσχάδας." Θεόπομπος δ' Εἰρήνῃ, τὰς f Τιθρασίας ἐπαινῶν ἰσχάδας, Φησὶν οὕτως·

Μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι.

1 προσπυλαίων Ms. & sic mox iterum. 2 καὶ οὐδὲν Ms. 3 πρὸς τὴν ἀταγῆνα edd.

vitate nihilo minus, quam illae, atticiſſantes." Phoenicides vero in Exoſâ ait:

Myrti baccarum & mellis celebrant laudes,
& propylaeorum; tum, quarto loco, caricarum.
Has ego guſtavi ſimul atque huc adpuli,
item propylaea: at nullus horum omnino erat
ciborum, qui conferri cum attagene poſſet.

Quibus in verbis notanda etiam *attagenis* (τοῦ ἀτταγῆνος) mentio. Philemon vero, in libro de Atticis Nominibus: »*Aegilidas*, ait, optimas eſſe caricas: eſſe autem *Aegila* pagum Atticum, ab Aegilo quodam heroë denominatum: *chelidonias* autem vocari caricas e nigro rubeſcentes." Theopompus vero, in Pace, *Tithraſias* laudans caricas, ait:

Mazae, placentae, caricae Tithraſiae.

Οὕτω δὲ ἦσαν περισπούδαστοι πᾶσιν ἀνθρώποις αἱ ἰσχάδες, (ὄντως γὰρ, κατὰ τὸν Ἀριστοφάνην,

οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων·)

ὡς καὶ Ἀμιτροχάτην τὸν τῶν Ἰνδῶν βασιλέα γράψαι Ἀντιόχῳ, ἀξιοῦντα (φησὶν Ἡγήσανδρος) πέμψαι αὐτῷ γλυκὺν, καὶ ἰσχάδας, καὶ σοφιστὴν, ἀγοράσαντα. καὶ τὸν Ἀντίοχον ἀντιγράψαι· „Ἰσχάδας μὲν, καὶ γλυκὺν, ἀποστελοῦμεν σοί· σοφιστὴν δ' ἐν Ἕλλησιν οὐ νόμιμον πωλεῖσθαι." Ὅτι δὲ καὶ πεφωσμένας ἰσχάδας ἤσθιον, Φερεκράτης δείκνυσιν ἐν Κοριαννοῖ, λέγων οὕτως·

Ἀλλ' ἰσχάδας μοι πρόελε τῶν πεφωσμένων.

καὶ μετ' ὀλίγα δέ·

Οὐκ ἰσχάδας οἴσεις τῶν μελαινῶν; μανθάνεις;
ἐν τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις
χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας.

Tanto vero ſtudio omnibus hominibus expetitae erant caricae, (*Re vera enim*, ut ait Ariſtophanes,

re vera nihil dulcius quam caricae:)

ut Amitrochates etiam, Indiae rex, Antiocho ſcriberet, (quod tradit Hegeſander) petens ab eo, *emeret ſibi mitteretque dulce vinum, caricas, & Sophiſtam.* Cui Antiochus reſcripſit: *Caricas quidem & vinum dulce tibi mittemus: ſophiſtam vero apud Graecos vendi prohibent leges.* Solitos vero etiam eſſe *toſtas* comedere *caricas*, Pherecrates oſtendit in Corianno, ubi ait:

At caricas mihi ſelige ex toſtis.

Paulo poſt vero:

Nonne caricas mihi adferes nigras? Intelligis?
Apud Mariandynos illos barbaros
chytras (ollas) *vocant nigras caricas.*

Οἶδα δὲ καὶ Πάμφιλον εἰρηκότα προκνίδας[1] γέ- b
νος ἰσχάδων.

LXVIII. Uvae. Βότρυς δὲ ὅτι μὲν κοινὸν δῆλον. σταφυλῆς δὲ μέμνηται, καίτοι δοκοῦντος τοῦ ὀνόματος Ἀσιαγενοῦς εἶναι, Κράτης ἐν δευτέρῳ Ἀττικῆς Διαλέκτου· „ἐν τοῖς ὕμνοις τοῖς ἀρχαίοις, Φάσκων, ἀντὶ τοῦ βότρυος τὴν σταφυλὴν κεῖσθαι, διὰ τούτων·

Αὐτῇσι σταφυλῇσι μελαίνῃσιν κομόωντες."

ὅτι δὲ καὶ παρ' Ὁμήρῳ ἐστὶ, παντὶ δῆλον. Πλάτων δ' ἐν ὀγδόῳ Νόμων καὶ βότρυς καὶ σταφυλὰς ὀνομάζει, διὰ τούτων· „Ὃς ἂν ἀγροίκου ὀπώρας γεύσηται, c
βοτρύων, εἴ τε καὶ σύκων, πρὶν ἐλθεῖν τὴν ὥραν τὴν τοῦ τρυγᾶν, ἀρκτούρῳ σύνδρομον, εἴ τ' ἐν τοῖς αὐτοῦ χωρίοις, εἴ τε καὶ ἐν ἄλλων, ἱερὰς μὲν πεντήκοντα[2] ὀφειλέτω τῷ Διονύσῳ δραχμὰς, ἐὰν ἐκ τῶν αὐτοῦ δρέπῃ· ἐὰν δὲ ἐκ τῶν γειτόνων, μνᾶν· ἐὰν δὲ ἐξ ἄλλων, δύο

1 προσκνίδας vulgo. 2 Deeſt πεντήκοντα ed. Ven. & Ms.

Nec me fugit autem, etiam *procnidas*, caricarum genus quoddam commemorare Pamphilum.

68. *Uvam* Graece vulgo βότρυν vocari, neminem latet. Alterius vero Graeci vocabuli, σταφυλὴ, quamvis Aſiaticae videatur originis eſſe, Crates ſecundo libro de Dialecto Attica ita meminit, ut dicat: *in priſcis hymnis, pro vocabulo* βότρυς, σταφυλὴν *nominari; ut in illo verſu:*

Ipſis nigris uvis (σταφυλῇσι) *comati.*

Legi autem etiam apud Homerum id nomen, norunt omnes. Plato vero, octavo libro Legum & βότρυς & σταφυλὰς nominat, ubi ait: »Si quis autumnales fructus, qui in agris ſunt, comederit, uvas, (βότρυς) aut ficos, priusquam tempus vindemiarum adſit, quod in arcturi exortum incidit, ſive in ſuis agris, ſive in alienis; is quinquaginta drachmas Baccho pendat, ſi e ſuis agris decerpſerit; ſin e vicinorum, minam; ſin ex aliorum,

μέρη τῆς μνᾶς. ὃς δ' ἂν τὴν γενναίαν νῦν λεγομένην σταφυλὴν, ἢ [1] τὰ γενναῖα σῦκα ἐπονομαζόμενα ὀπωρίζειν βούληται, ἐὰν μὲν ἐκ τῶν οἰκείων λαμβάνῃ, ὅπως ἂν ἐθέλῃ, καὶ ὁπόταν βούληται, καρπούσθω. ἐὰν δὲ ἐξ ἄλλων, μὴ πείσας, ἐπόμενος τῷ νόμῳ, τῷ Μὴ κινεῖν, ὅ τι μὴ κατέθετο, ἐκεῖνος [2] ἀεὶ ζημιούσθω." Ταῦτα μὲν ὁ θεῖος Πλάτων· ἐγὼ δὲ πάλιν ζητῶ, τίς ἡ γενναῖα σταφυλὴ, καὶ τίνα τὰ γενναῖα σῦκα. ὥρα οὖν ζητεῖν ὑμῖν, ἕως ἐγὼ περὶ τῶν ἐξῆς παρακειμένων διεξέλθω. Καὶ ὁ Μασούριος ἔφη·

Μήδ' ἀναβάλλεσθαι ἐς τ' αὔριον ἐς τ' ἔννυφι.

Γενναῖα λέγει τὰ εὐγενῆ ὁ φιλόσοφος, ὡς καὶ Ἀρχίλοχος·

Πάρελθε, γενναῖος γὰρ εἶς. —

ἢ τὰ ἐπιγεγεννημένα, [3] οἷον τὰ ἐπεμβεβλημένα. [4] ὁ

Uvae & fici nobiles, & generosae.

1 Deest ἢ ed. Ven. & Ms. 2 ἐκεῖνως apud Plat. 3 ἐπιγεγενημένα edd. cum ms. *A*. 4 Tria verba desunt edd.

duas minae trientes. Si quis vero quam *nobilem* nunc vocamus *uvam*, (σταφυλὴν,) aut *nobiles* quae cognominantur *ficos*, voluerit colligere; si de suis sumere libeat, fructus percipiat quocumque modo & quandocumque voluerit: sin de alienis invito domino, migrans legem quae vetat *movere quod non posueris*, is (praedicto modo) mulctetur." Haec igitur divinus Plato: ego vero rursus quaero, quaenam sit *nobilis uva*, & quae sint *nobiles fici?* quod vobis quaerere interim vacabit, dum ego de reliquis, quae hîc adposita sunt, disputavero. Cui Masurius respondit:

At nec in crastinum hoc differamus, nec in perendinum.

Nobilia dicit philosophus quae sunt *generosa;* quemadmodum Archilochus:

Accede tu; es enim nobilis. —

Aut *ingenerata*, tamquam insititia. Nam Aristoteles et-

γὰρ Ἀριστοτέλης καὶ ἐπεμβολάδας ἀπίους ὀνομάζει, τὰς ἐγκεκεντρισμένας. Δημοσθένης ἐν τῷ Ὑπὲρ Κτη- e σιφῶντος· „σῦκα καὶ βότρυς καὶ ἐλαίας συλλέγων.“ Ξενοφῶν [1] ἐν Οἰκονομικῷ· „ὑπὸ τοῦ ἡλίου γλυκαίνεσθαι τὰς σταφυλάς.“ Οἴδασι δὲ [2] οἱ πρὸ ἡμῶν καὶ τοὺς ἐν οἴνῳ συντιθεμένους βότρυς. Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ φησίν·

Uvae in vino conſervatae.

— Ἀλλὰ παραλαβὼν
ἀκράτῳ κροῦε, καὶ δίδου πυκνὰς, καὶ βότρυς [3]
τρώγειν ἀνάγκαζ' αὐτὸν ἐξ οἴνου συχνούς.

Ὁ δὲ τὸν Χείρωνα πεποιηκὼς, τὸν εἰς Φερεκράτην ἀναφερόμενον, φησίν· f

Ἀμυγδάλας, καὶ μῆλα, καὶ μιμαίκυλα,
καὶ μύρτα, καὶ σέλινα, κἀξ οἴνου βότρυς,
καὶ μυελόν. —

1 Exſpectaveram Δημοσθένης μὲν - - - Ξενοφῶν δὲ &c. 2 Οἴδασι δὲ καὶ οἱ edd. 3 Turbatum verſum variis modis tentavit Caſaub. Forſ.

δίδου πυκνὰς, καὶ κροῦ' ἀκράτῳ, καὶ βότρυς.

iam *inſititia pira* dicit, quae ex inſitione nata ſunt. Iam Demoſthenes quidem in oratione pro Cteſiphonte ait: *ficos & uvas* (βότρυς) *& olivas colligens.* Xenophon vero, in Oeconomico: *a ſole dulces reddi uvas.* (τὰς σταφυλάς.) Noverant vero etiam maiores noſtri *uvas in vino conſervatas.* Eubulus quippe, in Adglutinato, ait:

— *Hunc tu acceptum*
temeto pulſa, & frequentes (calices) *infunde, & uvas*
comedere eum coge ex vino bene multas.

Auctor vero fabulae cui Chiron titulus, quae Pherecrati tribuitur, ait:

Amygdalas, & mala, & arbuta,
& myrti baccas, & apium, & ex vino uvas,
& medullam. —

Ὅτι δὲ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι, μαρτυρεῖ Ἀριστοφάνης ἐν Ὥραις.[1] τί οὖν παράδοξον ἱστορεῖν δοκεῖ Αἴθλιος ὁ Σάμιος, ἐν πέμπτῳ Σαμίων Ὡρων[2] λέγων· „Σῦκον, καὶ σταφυλὴ, καὶ ὁμομηλὶς καὶ μῆλα, καὶ ῥόδα, δὶς τοῦ ἐνιαυτοῦ ἐγέ-
a νετο. “ Λυγκεὺς δ', ἐν τῇ πρὸς Διαγόραν Ἐπιστολῇ,[3] ἐπαινῶν τὸν κατὰ τὴν Ἀττικὴν γενόμενον Νικοστράτιον[4] βότρυν, καὶ ἀντιτιθεὶς[5] αὐτῷ τοὺς Ῥοδιακοὺς, φησίν· „Τῷ δ' ἐκεῖ καλουμένῳ βότρυϊ Νικοστρατίῳ[6] τὸν Ἱππώνιον[7] ἀντεκτρέφουσι βότρυν· ὃς ἀπὸ Ἑκατομβαιῶνος μηνὸς, ὥσπερ ἀγαθὸς οἰκέτης, διαμένει τὴν αὐτὴν ἔχων εὔνοιαν.“

LXIX. Ἐπεὶ δὲ πολλάκις ὑμῖν εἴρηται περί τε κρεῶν, καὶ ὀρνίθων καὶ περιστεριδίων, ἔρχομαι κἀγὼ λέξων ὅσα ἐκ πολυαναγνωσίας εὑρεῖν ἠδυνήθην παρὰ τὰ προ-

1 ἐν Εἰρήνη ms. *Ep.* 2 Ὡραίων ed. Ven. & Baf. Ὅραν ed. Caſ. 3 ἐν τῇ ἐπιστολῇ πρὸς Διαγ. edd. 4 Νικοστράτειον edd. 5 ἀντιθεὶς edd. 6 Νικοστρατείῳ ms. *Ep.* 7 Ἱππώνειον ms. *Ep.* inter lin.

Athenis autem perpetuo omne genus autumnalium fructuum praeſto fuiſſe, teſtis eſt Ariſtophanes in Horis. Quid igitur praeter opinionem tradere videatur Aëthlius Samius? quinto Annalium Samiorum dicens: »Ficus, & uva, & homomelis, & mala, & roſae, bis quotannis gignebantur.« Lynceus vero, in Epiſtola ad Diagoram, laudans Nicoſtratiam uvam quam Attica gignit, & opponens illi Rhodiacas, ait: »Nicoſtratiae uvae, quae ibi gignitur, ex adverſo alunt hi uvam Hipponiam: quae inde ab Hecatombaeo menſe, veluti bonus famulus, conſtanter eamdem in dominum benevolentiam ſervat.«

69. Quoniam vero & de carnibus etiam, & de gallinis, & columbulis, multa a vobis diſputata ſunt; accedo & ego, dicturus quae ex multorum librorum lectione reperire, praeter ea quae iam ante dicta ſunt,

Περιστέριον, columbula.

εἰρημένα. Περιστέριον οὕτως ἐστὶν εὑρεῖν εἰρημένον παρὰ Μενάνδρῳ ἐν Παλλακῇ· b

— — Μικρὸν ἐπιμείνας [1] προστρέχει,
ἠγόρακά σοι περιστέρια λέγων. —

ὁμοίως Νικόστρατος Ἄβρᾳ· [2]

„ Ταῦτ' ἀξιῶ, εἴτ' ὀρνιθάριον, [3] τὸ περιστέριον, τὸ γάστριον."

Ἀναξανδρίδης, ἐν Ἀντερῶντι·

Περιστέρια γὰρ εἰσάγων καὶ στρουθία.

Φρύνιχος, [4] Τραγῳδοῖς·

Περιστέριον δ' αὐτῷ τι λάβε τριωβόλου.

Phasiana avis.

Φασιανικός. Πτολεμαῖος ὁ βασιλεὺς, ἐν τῷ δυοκαιδεκάτῳ τῶν Ὑπομνημάτων περὶ τῶν ἐν Ἀλεξανδρείᾳ βασιλείων λέγων, καὶ περὶ τῶν ἐν αὐτοῖς ζώων c τρεφομένων, φησίν· „ Τά τε τῶν φασιανῶν, οὓς τε-

1 ἐπέμεινας vulgo. 2 Edebatur Νικόστρατος, Ἄβρα ταῦτ' &c. ubi Ἀβρᾷ corrigebat Dalec. 3 Sic ſcribendum puto:
-- Ταῦτ' ἀξιῶ·
τ' ὀρνιθάριον, τὸ περιστέριον, τὸ γάστριον.
4 Vulgo Περιστέριον δὲ Φρύνιχος &c. ubi Περιστερίδιον ſuſpicari quis poſſit.

potui. Περιστέριον (ſic) nominata *columbula* reperitur apud Menandrum, in Pellice:

— — *Paululum moratus adcurrit;*
dicens, emi tibi columbulas. (περιστέρια.)

Similiter Nicoſtratus, in Abrâ: (i. e. Ancillâ puellâ:)

Haec volo: gallinulam, columbulam, ſuminulum.

Anaxandrides, in Redamante:

Columbulas inferens & paſſerculos.

Phrynichus, in Tragoedis:

Columbulam ei eme triobolo.

Phasiana avis. Ptolemaeus rex, duodecimo libro Commentariorum, de regia loquens, quae eſt Alexandriae, & de animalibus quae in illa aluntur, ait: »Et ad phaſianos quod adtinet, quos *tetaros* adpellant, non

τάρους [1] ὀνομάζουσιν, οὓς [2] οὐ μόνον ἐκ Μηδείας μετεπέμποντο,[3] ἀλλὰ καὶ νομάδας ὄρνιθας ὑποβαλὼν, [4] ἐποίησε πλῆθος, ὥστε καὶ [5] σιτεῖσθαι. τὸ γὰρ βρῶμα πολυτελὲς ἀποφαίνουσιν." Αὕτη τοῦ λαμπροτάτου βασιλέως φωνὴ, ὃς οὐδὲ φασιανικοῦ ὄρνιθός ποτε γεύσασθαι ὡμολόγησεν, ἀλλ' ὥσπερ τι κειμήλιον ἀνακείμενον εἶχε τούσδε τοὺς ὄρνιθας. εἰ δὲ ἑωράκει, ὡς ἡμῶν ἑκάστῳ εἷς ἐστι παρακείμενος χωρὶς τῶν ἤδη
d κατηναλωμένων, προσαναπεπληρώκει [6] ἂν ταῖς πολυθρυλλήτοις ἱστορίαις τῶν Ὑπομνημάτων τούτων τῶν εἰκοσιτεσσάρων καὶ ἄλλην μίαν. Ἀριστοτέλης δὲ ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι· „Τῶν Φασιανῶν, φησὶν, οὐ κατὰ λόγον ἡ ὑπεροχὴ τῶν ἀῤῥένων, ἀλλὰ πολλῷ μείζων."

LXX. Pavones.

Εἰ δ' ὁ προειρημένος βασιλεὺς καὶ τὸ τῶν ταώνων πλῆθος ἑωράκει τῶν κατὰ τὴν Ῥώμην, κατεπε-

1 τετράωνας edd. 2 An ὠὰ οὐ μόνον? 3 μετεπέμπετο corr. Caſ. 4 Corrigunt, νομάσιν ὄρνισιν ὠὰ ὑποβ. 5 ὡς καὶ edd. 6 προσαναπληρώκει edd.

modo ex Media eos arceſſebant; verum etiam altiles gallinas illis ſubmittens, multiplicavit genus, ita ut iis etiam veſceretur. Nam cibum magnificum eſſe affirmant.« Ecce ſplendidiſſimi regis vocem, qui ſe ne guſtaſſe quidem de phaſiano profitetur; ſed tamquam cimelium aliquod repoſitas has aves habebat. Qui ſi vidiſſet, quo pacto, praeter eas quae iam abſumtae ſunt, cuique noſtrûm una adpoſita eſt, famoſas ſuas hiſtorias, his viginti quatuor Commentariorum libris comprehenſas, unâ inſuper auctūrus erat. Ariſtoteles vero, ſive Theophraſtus, in Commentariis ſcribit: »In phaſianis non pro ea ratione, quae in aliis avibus obtinet, ſed multo maior eſt marium excellentia.«

70. Quod ſi vero praedictus rex *Pavonum* etiam Romae vidiſſet multitudinem, ad ſacroſanctum Senatum

φεύγει ἂν ἐπὶ τὴν ἱερὰν σύγκλητον, ὡς ὑπὸ τοῦ ἀδελφοῦ πάλιν τῆς βασιλείας ἐξεληλαμένος. τοσοῦτον γάρ ἐστι τὸ πλῆθος τούτων τῶν ὀρνίθων ἐν τῇ Ῥώμῃ, ὡς e δοκεῖν προμεμαντευμένον τὸν κωμῳδιοποιὸν Ἀντιφάνην ἐν Στρατιώτῃ ἢ Τύχωνι εἰρηκέναι τάδε·

Τῶν ταὼν [1] μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους δ' [2] εἰσὶ νῦν τῶν ὀρτύγων.
Χρηστὸν ἄνθρωπον δ' ἐάν τις [3] ἕνα μόνον ζητῶν ἴδῃ, [4]
ὄψετ' ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας.

Ἀλεξις δ' ἐν Λαμπάδι· f

— Καταφαγεῖν
αὐτὸς τοσοῦτ' ἀργύριον. οὐδ' εἰ [5] γάλα λαγὼ [6]
εἶχον, μὰ τὴν γῆν, καὶ ταὼς, κατήσθιον.

Ὅτι δὲ καὶ τιθάσους [7] εἶχον αὐτοὺς ἐν ταῖς οἰκίαις, Στράττις παρίστησιν ἐν Παυσανίᾳ [8] διὰ τούτων·

1 Τὸν τάὼν vulgo h. l. 2 *Abeſt* δ' ms. *Ep.* 3 δέ γ' ἄν τις edd. 4 εἴδῃ ms. *A.* 5 οὐδ' ἦν edd. 6 γάλα εἶχον vulgo, & vſ. ſeq. λαγοῦ μὰ τὴν γῆν. 7 τιθασοὺς edd. 8 Παυσαμίᾳ edd.

confugiſſet, tamquam a fratre rurſus regno eiectus. Tanta enim Romae eſt multitudo harum avium, ut in eam vaticinatus eſſe videatur Comicus Antiphanes in Milite, ſive Tychone, ubi ait:

Ex quo par pavonum in urbem neſcio quis primum attulit,
rari qui fuerant, magis crebros cernas coturnicibus.
At virum bonum quaerendo ſi quis unum repererit,
natos ex illo ſceleratos quinque cernet filios.

Alexis vero, in Lampade:

— *Abſumſiſſe*
unum ipſum tantam vim pecuniae! Equidem ſi lac leporis
haberem, per ſanctam Cererem, & pavones, non abſume-
rem tantum.

Fuiſſe vero etiam manſuetos pavones in aedibus, Strattis docet in Pauſania:

Πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ' ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Ἀναξανδρίδης, ἐν Μελιλώτῳ·

a Οὐχὶ μανικόν ἐστιν ἐν οἰκίᾳ [1] τρέφειν ταῶς,
ἐξὸν τοιούτους ἴδι' [2] ἀγάλματ' ἀγοράσαι.

Ἀναξίλαος, Ὀρνιθοκόμοις·

Καὶ πρὸς ἐπὶ τούτοις τίθασος [3] οἰμώζων ταῶς.

Μηνόδοτος δὲ ὁ Σάμιος, ἐν τῷ Περὶ τῶν κατὰ τὸ Ἱερὸν τῆς Σαμίας Ἥρας, φησίν· „Οἱ ταοὶ ἱεροί εἰσι τῆς Ἥρας. καὶ μήποτε πρώτιστοι καὶ ἐγένοντο καὶ ἐτράφησαν ἐν Σάμῳ, καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν, ὡς καὶ οἱ ἀλεκτρύονες ἐν τῇ Περσίδι, καὶ αἱ καλούμεναι μελεαγρίδες ἐν τῇ Αἰτωλίᾳ.“ διὸ καὶ

b Ἀντιφάνης, ἐν τοῖς Ὁμοπατρίοις, φησίν·

Ἐν Ἡλίου μέν φασι γίνεσθαι [4] πόλει

1 οἰκίδᾳ ms. *A.* 2 δύ' ed. Ven. & Baſ. ἢ δύ' ed. Caſ. τοιούτους ἴδυο ms. *A.* τουτοισὶ δυ' ms. *Ep.* τοιαῦτ' ἠδίω coni. Caſ. τοσούτου νὴ Δία Coray. 3 τιθασὸς edd. 4 γενέσθαι edd.

Tantidem haec facienda ſunt, quanti multae veſtrae nugae, & pavones,
quos aliis vos pinnarum cauſſâ.

Anaxandrides, in Meliloto:

Annon veſanum eſt, domi alere pavones,
cum liceat propria ornamenta emere?

Anaxilaus, in Aviariis:

Adhaec inſuper cicur gemens pavo.

Menodotus vero Samius, in libro De his quae in Templo Iunonis Samiae viſuntur, ait: »Pavones Iunoni ſacri ſunt. Ac fortaſſe etiam primi omnium & nati & educati ſunt in Samo, indeque in alias regiones diverſi: quemadmodum primi galli gallinacei, in Perſide; & meleagrides quae vocantur, in Aetolia.« Quare etiam Antiphanes, in Germanis-fratribus, ait:

In Solis aiunt urbe naſci

Φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας. ἡ Κύπρος
ἔχει [1] πελείας διαφόρους· ἡ δ' ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν, φασὶν, ὀρνίθων γένος,
τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταὼς.
διόπερ καὶ ἐπὶ τοῦ νομίσματος τῶν Σαμίων ταὼς ἐστίν.

LXXI. Meleagrides.

Ἐπεὶ δὲ καὶ τῶν Μελεαγρίδων Μηνόδοτος ἐμνήσθη, λέξομέν τι καὶ ἡμεῖς περὶ αὐτῶν. Κλύτος ὁ Μιλήσιος, Ἀριστοτέλους δὲ μαθητὴς, ἐν τῷ πρώτῳ Περὶ Μιλήτου, γράφει περὶ αὐτῶν οὕτως· „Περὶ δὲ c τὸ ἱερὸν τῆς Παρθένου ἐν Λέρῳ [2] εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. ὁ δὲ τόπος ἐστὶν ἑλώδης ἐν ᾧ τρέφονται. ἔστι δὲ ἄστοργον πρὸς τὰ ἔκγονα τὸ ὄρνεον, καὶ ὀλιγωρεῖ τῶν νεωτέρων, ὥστε ἀνάγκη τοῖς ἱερεῦσιν ἐπιμελεῖσθαι αὐτῶν. ἔχει δὲ τὸ μὲν μέγεθος ὄρνιθος γενναίου, τὴν δὲ κεφαλὴν μικρὰν πρὸς τὸ σῶμα, καὶ ταύτην ψιλὴν, ἐπ' αὐτῆς δὲ λόφον σάρκινον, σκλη-

1 δ' ἔχει edd. 2 ἐν ἀέρῳ ed. Ven. & Baf. cum Ms.

phoenices, Athenis vero noctuas. Cyprus
columbas habet eximias: Samiam vero
Iunonem aureum habere aiunt avium genus,
formosos spectabilesque pavones.

Quare etiam in monetâ Samiorum pavo excusus est.

71. Quoniam vero etiam *Meleagridum* mentionem Menodotus fecit, nos quoque de eis nonnihil dicamus. Clytus Milesius, Aristotelis discipulus, primo libro De Mileto, de his ita scribit: » Circa Virginis templum, quod Leri est, aves sunt quae *meleagrides* vocantur. Palustris locus est, in quo aluntur. Pullos suos nullo amoris adfectu prosequitur haec avis, & teneros ita negligit, ut sacerdotes curam eorum gerere oporteat. Magnitudo ei est generosi galli gallinacei: caput pro corporis mole parvum, idemque glabrum: super capite vero cristam habet carneam, duram, rotundam, quae

ρὸν, στρογγύλον, ἐξέχοντα τῆς κεφαλῆς ὥσπερ πάτ-
d ταλον, καὶ τὸ χρῶμα [1] ξυλοειδῆ. [2] πρὸς δὲ ταῖς γνάθοις ἀπὸ τοῦ στόματος [3] ἀρξαμένην ἀντὶ πώγωνος μακρὰν σάρκα, καὶ ἐρυθροτέραν [4] τῶν ὀρνίθων. [5] τὴν δὲ τοῖς ὄρνισιν ἐπὶ τῷ ῥύγχει γινομένην, [6] ἣν ἔνοι πώγωνα καλοῦσιν, οὐκ ἔχει· διὸ καὶ ταύτῃ κολοβόν ἐστι. ῥύγχος δὲ ὀξύτερον καὶ μεῖζον ἢ ὄρνις ἔχει. τράχηλος μέλας, παχύτερος καὶ βραχύτερος τῶν ὀρνίθων. τὸ δὲ σῶμα ἅπαν ποικίλον, μέλανος ὄντος τοῦ χρώματος ὅλου, πτίλοις [7] λευκοῖς καὶ πυκνοῖς διειλημμένου [8] μείζοσι [9] φακῶν.
e οὗτοι δ' εἰσὶν ἐν ῥόμβοις οἱ κυκλίσκοι μελαντέροις [10] τοῦ ὅλου χρώματος· διὸ καὶ ποικιλίαν τινὰ οἱ ῥόμβοι παρέχονται, τοῦ μὲν μέλανος ἔχοντος λευκότερον τὸ χρῶμα, τοῦ δὲ λευκοῦ πολὺ μελάντερον. τὸ δὲ [11] κατὰ

1 σῶμα ed. Ven. & Baſ. 2 ξυλοειδὲς edd. cum ms. *A.* 3 σώματος iidem. 4 ἐρυθρωτέραν ms. *A.* 5 τῆς τῶν ὀρνίθων malim cum Caſ. 6 χειμένην ms. *Ep.* 7 σπίλοις legebam. 8 διειλημμένον edd. διειλημμένων ms. *A.* 9 Immo οὐ μείζοσι. 10 μέλασι edd. cum ms. *A.* 11 τὰ δὲ ms. *Ep.*

ex capite eminet veluti clavus, colore ligneo. Ad maxillas, loco barbae, habet oblongam carunculam, ab ore incipientem, rubentiorem quam in gallinaceis. Quam vero galli gallinacei roſtro adhaerentem habent, quam barbam nonnulli vocant, [latine palea vel mentum dicitur] eam non habet, eaque parte mutila eſt. Roſtrum vero acutius & maius habet, quam gallinaceus: collum nigrum, craſſius & brevius gallinaceis: corpus vero totum variegatum, univerſo quidem colore rubro, ſed eo frequentibus albis maculis diſtincto, [non] maioribus quam lentes. Inſunt autem hi orbiculi in rhombis, qui magis nigri ſunt quam color univerſus. Quare etiam ipſi rhombi varietatem aliquam efficiunt: cum id, quod in illis nigrum eſt, intra ſe contineat colorem candidiorem; id vero quod album, colorem multo nigrio-

τὰς πτέρυγας αὐταῖς πεποίκιλται λευκῷ πριονώδεσι σχήμασι πυρώδεσι,[1] καὶ παράλληλα[2] κειμένοις. σκέλη δὲ ἄκεντρα, ὅμοια τοῖς ὀρνιθίοις.[3] παραπλήσιαι δ' εἰσὶν αἱ θήλειαι τοῖς ἄρρεσιν· διὸ καὶ δυσδιάκριτόν ἐστι τὸ τῶν μελεαγρίδων γένος." Τοσαῦτα καὶ ὁ Περιπατητικὸς φιλόσοφος περὶ τῶν μελεαγρίδων ἱστόρησεν.

LXXII. Porcelli affi.

Ὀπτῶν δελφάκων δὲ μνημονεύει Ἐπικράτης, ἐν Ἐμπόρῳ· f

— Ἐπὶ τοῖσδ' ἐγὼ
μάγειρος.[4] οὔτε Σικελία καυχήσεται
τρέφειν τοιοῦτον ἄρταμον κατ' ἰχθύων·
οὐκ Ἦλις,[5] ἔνθα δελφάκων ἐγὼ κρέα
κάλλιστ' ὄπωπα πυρὸς ἀκμαῖς ἠνθισμένα.

Ἄλεξις δ', ἐν Πονήρᾳ·

Τριωβολοκρεΐσκον[6] ἀστεῖον πάνυ

1 πορώδεσι ms. *Ep.* Forte prorsus delenda vox. 2 πρὸς ἄλληλα ms. *Ep.* 3 ὀρνιθείοις ms. *Ep.* in contextu, sed - θίοις inter lin. 4 μάγειρον edd. 5 οὐκήλισ' vulgo. οὔτ' Ἦλις corr. Casaub. 6 Τριοβολ. ed. Bas. & Cas.

rem. Qua parte sunt alae, color ex albo variegatus est figuris serratis [rutilis?] per versus parallelos dispositis. Crura sine calcaribus, quemadmodum in gallinis. Sunt autem similes foeminae maribus: quare aegre dignoscitur sexus in meleagridum genere." Haec igitur Peripateticus philosophus de meleagridibus tradidit.

72. *Assorum Porcellorum* Epicrates meminit in Mercatore:

— *His ego conditionibus*
coquus sum. Neque Sicilia gloriabitur
alere se talem parandorum piscium artificem;
non Elis, ubi porcellorum carni ego
pulcerrimum vidi ignis vigore colorem obductum.

Alexis, in Aerumnosa:

Triobolarem carunculam lepidam admodum

ὕειον ὀπτὸν, καὶ [1] θερμὸν, εὐχυλώτερον, [2]
a ὅταν ᾖ προσφέρον. [3] —

„Ἀθηναῖοι δ', ὥς φησι Φιλόχορος, ταῖς Ὥραις θύοντες, οὐκ ὀπτῶσιν, ἀλλ' ἕψουσι τὰ κρέα· παραιτούμενοι τὰς θεὰς ἀπείργειν τὰ περισκελῆ καύματα καὶ τοὺς αὐχμοὺς, μετὰ δὲ τῆς συμμέτρου θερμασίας καὶ ὑδάτων ὡραίων ἐκτελεῖν τὰ φυόμενα. τὴν μὲν γὰρ ὄπτησιν ἐλάττους παρέχεσθαι ὠφελείας, τὴν δὲ ἕψησιν οὐ μόνον τὴν ὠμότητα περιαιρεῖν, ἀλλὰ καὶ τὰ σκληρὰ μαλάττειν δύνασθαι, καὶ τὰ λοιπὰ πεπαίνειν. ἔτι δὲ εὐμενέστερον καὶ ἀκινδυνότερον πεπαίνει τὴν
b τροφήν. διόπερ ἑφθὸν ἐποπτᾶν οὔ φασι δεῖν, οὐδ' ἐφέψειν. τὸ μὲν γὰρ ἀνάλυσιν ἔχειν δοκεῖ τοῦ βελτίονος, ὥς φησιν Ἀριστοτέλης. τὰ δὲ ὀπτὰ [4] τῶν ἑφθῶν ὠμότερα καὶ ξηρότερα.“ Τὰ δὲ ὀπτὰ κρέα καλεῖται

Athenienſes Horis ſacra faciunt.

Aſſae carnes.

1 Deletum καὶ malles. 2 εὐχυλότερον ms. *A.* cum ed. Ven. & Baſ. ἐγχυλώτερον corr. Coray. 3 An πρόσφορον? προσφέρων ed. Ven. & Baſ. 4 τὰ δὲ ὄντα Ms. Intercidit forſan aliquid.

ſuillam aſſam, & calidam, ſucculentiorem, quum fuerit commodum. [ſive: *ſi quis offerat.*]

»Athenienſes vero, ut ait Philochorus, quum Horis ſacra faciunt, non aſſant carnem, ſed elixant: precantes Deas, ut praeduros aeſtus & ſiccitates arceant, ac moderato calore & tempeſtivis imbribus ad maturitatem perducant ea quae e terra gignuntur. Aſſationem enim (exiſtimant) minus praebere utilitatis; elixationem vero non modo cruditatem tollere, ſed & dura emollire poſſe, & alia omnia matura & mitia reddere. Atque etiam blandius & minore periculo mite molleque alimentum reddit elixatio. Quare etiam aiunt, elixatum nec deinde aſſari nec recoqui debere: hoc enim ſi fit, videtur diſſolvi id quod optimum eſt, ut ait Ariſtoteles. Aſſata vero magis cruda & arida ſunt, quam elixa.« Vocantur autem aſſatae carnis fruſta φλογίδες. (quaſi,

φλογίδες. Στράττις γοῦν, ἐν Καλλιππίδῃ, ἐπὶ τοῦ Ἡρακλέους φησίν·

— Αὐτίκα δ' ἥρπασε τεμάχη
θερμάς τε κάπρου φλογίδας, ἔβρυχέν τε [1] πάνθ' ἅμα. —

καὶ Ἄρχιππος, ἐν Ἡρακλεῖ γαμοῦντι·

„Τὰ δαίδαλα [2] χοίρων ἀκροκώλια μικρῶν, ταύρων ταξικέρων [3] φλογίδες, αἱ δολιχαί τε κάπρου φλογίδες."

LXXIII. Perdicum volatus.

Περὶ δὲ Περδίκων τί δεῖ καὶ λέγειν ἐμὲ, c πλεόνων εἰρημένων ὑφ' ὑμῶν; ἀλλ' οὐ παραλείψω τὸ ἱστορηθὲν ὑφ' Ἡγησάνδρου [4] ἐν τοῖς Ὑπομνήμασιν. φησὶ γὰρ, ὅτι Σάμιοι πλεύσαντες εἰς Σύβαριν, καὶ κατασχόντες τὴν Σιρῖτιν χώραν, περδίκων ἀναπτάντων καὶ ποιησάντων ψόφον, ἐκπλαγέντες ἔφυγον, καὶ ἐμβάντες εἰς τὰς ναῦς, ἀπέπλευσαν. Περὶ δὲ λα-

1 ἔβρεχέ τε edd. Forſ. ἔβρυκέν τε. 2 Τὰ δίδαλλα Ms. 3 ταύρου ταξικέρων Ms. ταύρων τ' ὀξυκέρων coni. Caſaub. 4 ὑπὸ Ἡγησάνδρ. ms. *A*.

ad flammam toſta.] Sic quidem Strattis, in Callippide, de Hercule ait:

— *Statimque rapuit fruſta*
& calidas apri phlogidas, voravitque omnia
ſimul. —

Et Archippus in Hercule Nuptias-celebrante:

»*Varii mixtim porcorum trunculi parvorum, taurorum acutis cornibus phlogides, & praelongae apri phlogides.*«

73. De *Perdicibus* vero quid dicam poſt tam multa, quae a vobis dicta ſunt? Nec tamen praetermittam id quod ab Hegeſandro narratur in Commentariis. Ait enim, Samios Sybarin navigantes, cum Siritin regionem tenuiſſent, evolantibus cum magno ſtrepitu perdicibus territos aufugiſſe, & conſcenſis navibus disceſſiſ-

γ ὧ ν Χαμαιλέων φησὶν ἐν τῷ Περὶ Σιμωνίδου, ὡς δειπνῶν παρὰ τῷ Ἱέρωνι ὁ Σιμωνίδης, οὐ παρατεθέν- Simonides, fordide avarus.
d τος αὐτῷ ἐπὶ τὴν τράπεζαν, καθάπερ καὶ τοῖς ἄλλοις, λαγωοῦ,[1] ἀλλ' ὕστερον μεταδιδόντος τοῦ Ἱέρωνος, ἀπεσχεδίασεν·

Οὐδὲ γὰρ οὐδ'[2] εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.

Οὗτος δὲ ἦν ὡς ἀληθῶς κίμβιξ ὁ Σιμωνίδης καὶ αἰσχροκερδής, ὡς Χαμαιλέων φησίν. ἐν Συρακούσαις γοῦν τοῦ Ἱέρωνος ἀποστέλλοντος αὐτῷ τὰ καθ' ἡμέραν λαμπρῶς, πωλῶν τὰ πλείω ὁ Σιμωνίδης τῶν παρ' ἐκείνου πεμπομένων, ἑαυτῷ μικρὸν μέρος ἀπετίθετο. ἐρομένου δέ τινος τὴν αἰτίαν· „Ὅπως εἶπεν ἥ τε Ἱέρω-
e νος μεγαλοπρέπεια καταφανὴς ᾖ, καὶ ἡ ἐμὴ κοσμιότης." Οὔθατος δὲ Τηλεκλείδης ἐν Στερροῖς οὕτως Uber.
μνημονεύει·[3]

Ὡς οὖσα θῆλυς εἰκότως οὔθαρ φέρω.[4]

1 Commode λαγώου corr. Caſ. 2 Deeſt οὐδ' msstis. 3 μνημονεύει ἐν Ἑταίροις οὕτως edd. ἐν Ἑτέροις οὕτως μνημονεύει ms. *A*. 4 Alibi φορῶ.

ſe. De *leporibus* Chamaeleon narrat in libro de Simonide, coenantem Simonidem apud Hieronem, cum leporina non, ut aliorum, ſic & ipſius menſae eſſet adpoſita, Hiero autem ei deinde portionem de ſua miſiſſet, ex tempore dixiſſe:

Nec enim, quamvis amplus, huc usque pertigerat.

Erat autem utique revera ſordide avarus Simonides, & turpis lucri avidus, ut Chamaeleon ait. Syracuſis ſane, cum quotidie ei Hiero cibaria magnifice mitteret, maiori eorum parte quae a rege miſſa erant vendita, exiguam portionem ſibi ſervavit. Cauſſam vero, cur ita faceret, interroganti cuipiam reſpondit: *Quo & Hieronis munificentia perſpiciatur, & mea temperantia. Uberis* (Οὔθατος) Teleclides in Rigidis meminit, his verbis:

Foemina cum ſim, par eſt ut uber adferam.

Ὑπογάστριον δ' αὐτὸ ὠνόμασεν Ἀντίδοτος ἐν Μεμψιμοίρῳ. [1]

LXXIV. Altilia animalia.

Σιτιστῶν δὲ, ὀρνίθων μὲν, μνημονεύει Μάτρων ἐν ταῖς Παρῳδίαις οὕτως·

Ὡς ἔφαθ'· οἱ δ' ἐγέλασσαν, ἐπήνεικάν τ' [2] ἐπὶ τούτῳ
σιτευτὰς ὄρνιθας ἐπ' ἀργυρέοισι πίναξιν,
ἄτριχας, [3] οἰετέας, λαγάνοις [4] κατὰ νῶτον εἴσας. f

Δελφάκων τε [5] σιτευτῶν ὁ Φλυακογράφος Σώπατρος, ἐν Βακχίδος γάμῳ, οὕτως·

Εἴ που κλίβανος ἦν, πολὺ δέλφαξ σιτευτὸς ἔτρυξε. [6]

Δελφάκια δὲ Αἰσχίνης εἴρηκεν ἐν Ἀλκιβιάδῃ οὕτως· „Ὥσπερ αἱ καπηλίδες τὰ δελφάκια τρέφουσιν." Ἀντιφάνης δ', ἐν Φυσιογνωμονικῷ·

„Καὶ γὰρ ἐκεῖναι τὰ δελφάκια πρὸς βίαν χορτάζουσιν."

1 Μεμψιμοίρα edd. 2 ἐπήνεγκάν τ' edd. 3 ὄτριχας ed. Caſ. 4 λαγανοῖς Ms. 5 Δελφάκων δὲ ſcriptum oportebat. 6 ἔτρυξεν ms. *Ep.* Forſ. ἔγρυξε aut ἔγρυξεν, *grunniebat.*

Pro *ubere* vero *hypogaſtrion* dixit Antidotus in Querulo.

74. *Altilium animalium*, & quidem *gallinarum*, Matro meminit in Parodiis, his verbis:

Sic dixit: illi vero riſerunt, intuleruntque poſt haec
altiles gallinas argenteis in patinis,
depiles, aetate pares, dorſo laganis (placentis) *ſimiles.*

Porcellorum (Δελφάκων) vero *altilium* Sopater meminit Phlyacographus in Bacchidis nuptiis, ubi ait:

Sicubi furnus erat, valde (ſive, *frequens*) *in eo ſtridebat altilis porcellus.*

Δελφάκια (diminutivâ nominis formâ) Aeſchines dixit in Alcibiade, his verbis: *Quemadmodum mulieres cauponariam exercentes porcellulos* (δελφάκια) *alunt.* Antiphanes, in Phyſiognomico:

Illae etenim porcellulos per vim ſaginant.

καὶ ἐν Προτρεπτικῷ δέ·

ἀντὶ δελφακίων τρέφεσθαι.

a Δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Πλάτων ἐν Ποιητῇ· „δέλφακα δὲ ῥαιότατον.“ [1] Σοφοκλῆς, Ὕβρει·

— ἐσθίειν ἐθέλων [2] τὸν δέλφακα.

Κρατῖνος, Ὀδυσσεῦσι· „δέλφακας μεγάλους.“ Θηλυκῶς δὲ Νικοχάρης [3] ἔφη·

— κύουσαν δέλφακα.

καὶ Εὔπολις, Χρυσῷ γένει·

„Οὐκ ἀλλεύθιον [4] δέλφακα ωδονθ' [5] εἰστία [6] καὶ μάλα καλήν.“

καὶ Πλάτων, Ἰοῖ·

„Πρόσφερε δεῦρο δὴ τὴν κεφαλὴν τῆς δέλφακος.“

Θεόπομπος, Πηνελόπῃ·

1 δεραιότατον edd. δ' ὡραιότατον corr. Caſ. δ' ἀραιότατον Toup. 2 ἐθέλω edd. 3 Temere Νικοχάρις ed. Caſ. 4 ἀλεύθιον edd. ὃς γαλαθηνὸν coni. Caſ. 5 † ὀδόν θ' edd. ἀνόδοντά θ' coni. Caſ. 6 ηστια ms. *A*.

item in Protreptico:

Porcellulorum loco ali.

Masculino genere δέλφακα Plato dixit in Poëta: »*Porcellum* (δέλφακα) *pulcerrimum.*« [ſive, *macerrimum.*] Sophocles, in Contumeliâ:

— *Comedere volens porcellum.*

Cratinus, in Ulyſſibus: »*porcellos magnos.*« In foeminino vero genere Nicochares dixit:

— *gravidam porcellam.*

& Eupolis, in Aureo Seculo:

[*Nonne lactentem*] *porcellam* [*dentes nondum habentem*] *in convivio adpoſuit, pulcram admodum?*

Item Plato, in Iô:

Adfer huc, age, caput illius porcellae.

Theopompus, in Penelope:

„Καὶ τὴν ἱερὰν ἡμῶν [1] σφάττουσι δέλφακα.“
Χηνῶν δὲ σιτευτῶν καὶ μόσχων Θεόπομπος ἐν b
τρισκαιδεκάτῳ Φιλιππικῶν, καὶ ἑνδεκάτῳ Ἑλληνι-
κῶν, ἐν οἷς ἐμφανίζει τὸ περὶ τὴν γαστέρα τῶν Λα-
κώνων ἐγκρατὲς, γράφων [2] οὕτως· „Καὶ οἱ Θασιοι
Agesilai continentia. ἔπεμψαν Ἀγησιλάῳ προσιόντι πρόβατα παντοδα-
πὰ, [3] καὶ βοῦς εὖ τεθραμμένους, πρὸς τούτοις δὲ καὶ
πέμματα καὶ τραγημάτων εἶδος παντοδαπόν. [4] ὁ δ'
Ἀγησίλαος τὰ μὲν πρόβατα [5] καὶ τοὺς βοῦς ἔλαβε,
τὰ δὲ πέμματα καὶ τὰ τραγήματα πρῶτον μὲν οὐδὲ
ἔγνω· κατεκεκάλυπτο γάρ. ὡς δὲ κατεῖδεν, ἀποφέ- c
ρειν αὐτοὺς ἐκέλευσεν, εἰπὼν, οὐ νόμιμον εἶναι Λα-
κεδαιμονίοις χρῆσθαι τούτοις τοῖς ἐδέσμασι. λιπαρούν-
των δὲ τῶν Θασίων· „Δότε, φησὶ, φέροντες ἐκείνοις·“
δείξας αὐτοῖς τοὺς εἵλωτας, [6] εἰπὼν ὅτι τούτους δέοι
διαφθείρεσθαι [7] τρώγοντας αὐτὰ πολὺ μᾶλλον, ἢ αὐ-

1 ἡμῖν edd. 2 γράφει edd. 3 Forſ. πρόβατα καὶ βρώματα παντοδαπά. 4 παντοδαπῶν mssti. 5 Decem verba deſunt ed. Ven. & Baſ. 6 εἵλωτας & dein εἵλωσιν ed. Caſ. 7 τούτους δὲ οἶδα φθειρ. ed. Ven. & Baſ. cum mssti.

Et ſacram noſtram mactant porcellam.

Anſerum vero *altilium* & *vitulorum* Theopompus (memînit) decimo tertio Philippicorum, & undecimo Hellenicorum, ubi continentiam Lacedaemoniorum quod ad gulam declarat, ita ſcribens: »Et Thaſii adpropinquanti Ageſilao cibariorum omne genus miſerunt, oves, & boves bene ſaginatos, ad haec piſtorii operis & bellariorum omne genus. Ageſilaus vero oves quidem & boves accepit: piſtorium opus autem & bellaria primum ne animadverterat quidem; tecta quippe erant: poſtquam vero conſpexit, auferre illos haec iuſſit, dicens *non fas eſſe Lacedaemoniis uti hisce eduliis.* Inſtantibus vero Thaſiis: *Iſtis*, inquit, *haec date;* Helotas oſtendens, dicensque, *hos potius talibus eduliis corrumpendos, quam aut ſe*

τὸν καὶ τοὺς παρόντας Λακεδαιμονίων." Ὅτι δὲ τοῖς εἵλωσιν ὑβριστικῶς πάνυ ἐχρῶντο Λακεδαιμόνιοι, καὶ Μύρων ὁ Πριηνεὺς ἱστορεῖ ἐν δευτέρῳ Μεσσηνιακῶν, Spartanorum severitas adv. Helotas.
d γράφων οὕτως· „Τοῖς δ' εἵλωσι πᾶν ὑβριστικὸν ἔργον ἐπιτάττουσι, πρὸς πᾶσαν ἄγον ἀτιμίαν. κυνῆν τε γὰρ ἕκαστον φορεῖν ἐπάναγκες ὥρισαν, καὶ διφθέραν περιβεβλῆσθαι, πληγάς τε τεταγμένας λαμβάνειν κατ' ἐνιαυτὸν ἀδικήματος χωρὶς, ἵνα μήποτε δουλεύειν ἀπομάθωσι. πρὸς δὲ τούτοις εἴ τινες ὑπερακμάζοιεν τὴν οἰκετικὴν ἐπιφάνειαν, ἐπέθηκαν ζημίαν θάνατον, [1] καὶ τοῖς κεκτημένοις ἐπιτίμιον, εἰ μὴ ἐπικόπτοιεν τοὺς ἀδρυμένους. [2] καὶ παραδόντες αὐτοῖς τὴν χώραν, ἔτα-
e ξαν μοῖραν ἣν αὐτοῖς ἀνοίσουσιν ἀεί." Χηνίζειν [3] δὲ εἴρηται ἐπὶ τῶν αὐλούντων. Δίφιλος, Συνωρίδι· Χηνίζειν.

Ἐχηνίασας· [4] ποιοῦσι τοῦτο πάντες οἱ
παρὰ Τιμοθέῳ. —

1 Temere θανάτου ed. Caſ. 2 ἀνδρυμένους vulgo. 3 Temere χρονίζειν ms. *Ep.* 4 Immo ἐχήνισας.

aut praeſentes Lacedaemonios. « Admodum contumelioſe vero tractatos eſſe *Helotas* a Lacedaemoniis, Myron etiam Prienenſis docet ſecundo libro Rerum Meſſeniacarum, ita ſcribens: » Helotis quodlibet ignominioſum opus & ad omne probrum pertinens iniungunt. Galerum e pelle geſtare, pellibusque pro veſte uti cogunt: quotannis ſtatuto tempore, etiamſi nihil deliquiſſent, verbera eis infligunt, ne ſervos ſe eſſe obliviſcantur. Ad haec, ſi qui praeter ſervilem conditionem florenti ſpecie & bene habito corpore conſpicerentur, ii capite id luunt: & heris irrogatur mulcta, qui non inhibent macerantque pingueſcentes. De agro, qui illis tributus eſt, certam portionem ſemper dominis pendere tenentur. «

Verbum χηνίζειν (quaſi *anſerizare*) uſurpatur de eis qui tibiis canunt. Diphilus, in Synoride:

Ἐχήνισας: *faciunt hoc omnes apud Timotheum.*

LXXV. Perna.

Ἐπεὶ δὲ καὶ πεταστῶνος μέρος ἑκάστῳ κεῖται, ἣν πέρναν καλοῦσι, φέρε τι εἴπωμεν καὶ περὶ αὐτῆς, εἴ τις τοῦ ὀνόματος μνημονεύει. κάλλισται μὲν γὰρ αἱ Γαλαϊκαὶ, [1] καὶ οὐκ ἀπολείπονται δὲ αὐτῶν οὔτε αἱ [2] ἀπὸ Κιβύρας τῆς Ἀσιατικῆς, οὔτε αἱ Λύκιαι. μνημονεύει δὲ αὐτῶν Στράβων ἐν τρίτῃ [3] Γεωγραφουμένων, ἀνὴρ οὐ πάνυ νεώτερος· λέγει γὰρ αὐτὸν [4] ἐν τῇ ἑβδόμῃ τῆς αὐτῆς πραγματείας ἐγνωκέναι Ποσειδώνιον τὸν ἀπὸ τῆς Στοᾶς Φιλόσοφον, οὗ πολλάκις μεμνήμεθα, συγγενομένου Σκιπίωνι, τῷ τὴν Καρχηδόνα ἑλόντι. γράφει δ' οὖν ὁ Στράβων οὕτως· „Ἐν Σπανίᾳ [5] πρὸς τῇ Ἀκυτανίᾳ πόλις [6] Πομπέλων, [7] ὡς ἂν εἴποι τις Πομπηϊόπολις, ἐν ᾗ πέρναι διάφοροι συντίθενται ταῖς Κουρικαῖς [8] ἐναμίλλοι."

Strabo Geographus.

f

a

1 Γαλατικαὶ, edd. 2 Perperam οὔτε ἀπὸ Κιβ. ms. *A.* absque αἱ. 3 τρίτῳ edd. 4 αὐτὸν edd. αὐτὸς melebam. 5 Ἱσπανίᾳ ed. Ven. & Baſ. 6 Perperam πόλεῖς ms. *A.* 7 Corrupte Πομπάδων ed. Ven. & Baſ. cum ms. *A.* 8 Corruptum utique videtur vocab. pro quo Κιβυρικαῖς habent edd. Καντα βρικαῖς ſcribitur apud Strab.

75. Quoniam vero etiam portio *petaſonis* cuique adpoſita eſt, quam *pernam* vocant; age, etiam de ea aliquid dicamus, ſi quis nominis huius meminit. Optimae enim ſunt Galaïcae, [*ſive*, Galaticae,] neque his inferiores Cibyricae ex Aſia, nec Lyciae. Meminit autem illarum Strabo, tertio libro Geographicorum, vir non admodum nuperae memoriae: dicit enim libro ſeptimo eiusdem operis, notum ſe habuiſſe Poſidonium, Stoicum philoſophum; cuius ſaepe meminimus, diximusque ſodalem comitemque fuiſſe Scipionis illius, qui Carthaginem expugnavit. Scribit igitur Strabo ſic: »In Hiſpania proxime Aquitaniam eſt oppidum Pompelon, quaſi quis dicat Pompeiopolin, in qua componuntur pernae, quae cum Curicis [*ſive*, Cantabricis] de principatu contendant.«

Ἁλιπάστων δὲ κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας [1] ποιητὴς Ἀριστομένης, [2] ἐν Διονύσῳ·

Ἁλίπαστα ταῦτα παρατίθημί σοι [κρέα]. [3]

καὶ ἐν Γόησιν·

— Ὄστακον [4]

ἁλίπαστον αἰεὶ [5] τὸν θεράποντ' ἐπεσθίειν. [6]

Ἐπεὶ δὲ καὶ „Σικελίας αὔχημα τροφαλὶς“ ἥδε ἔστι, φίλοι, λέξωμέν τι καὶ περὶ τυρῶν. Φιλήμων μὲν γὰρ ἐν τῷ ἐπιγραφομένῳ Σικελικῷ· LXXVI. Caseus.

Ἐγὼ πρότερον μὲν ᾠόμην, [7] τὴν Σικελίαν
b ἐν τοῦτ' ἀπόπακτον αὐτὸ [8] τοὺς τυροὺς ποιεῖν
καλούς. ἔτι τε [9] ταῦτα προσετίθην ἀκηκοὼς,
τυρὸς Σικελικὸς ὅτι κράτιστος ἦν,
αἵ τε περιστεραὶ Σικελικαί. [10]

1 Forſ. τῆς ἀρχαίας κωμῳδίας. 2 Ἀριστοφάνης ed. Ven. & Baſ. 3 Deeſt vulgo vocab. 4 ὄστρακον vulgo. 5 ἀεὶ edd. 6 ἐσθίειν ed. Ven. & Baſ. 7 ᾤμην vulgo. 8 αὐτὸν Ms. 9 Delendum τε videtur. 10 Corruptis ac mutilis duobus verſibus certa nulla ſuppetebat medicina.

Sale conſperſorum (vel *Salitorum*) carnium meminit (veteris) comoediae poëta Ariſtomenes, in Baccho:

Salita haec adpono tibi.

& in Praeſtigiatoribus:

Oſtacum ſalitum ſemper comedere famulum.

76. Quoniam vero *Siciliae gloria trophalis haec* (recens mollisque caſeus) eſt, amici! dicamus aliquid etiam de *caſeis*. Philemon quidem in fabula quae Siculus inſcribitur, ait:

Ego olim putaram, Siciliam
unum hoc exquiſitum facere, caſeos
praeſtantes. Nunc vero haec inſuper audita adieci:
non modo caſeum Siculum eſſe optimum,
verum etiam columbas;

ἱμάτια ποικίλ' εἰ λέγοι [1] τις, Σικελικά.
σκεύη μὲν οὖν καὶ κτήματ' ᾠόμην φέρειν.

καὶ ὁ Τρομιλικὸς [2] δὲ τυρὸς ἔνδοξος ἐστί. περὶ οὗ φησι Δημήτριος ὁ Σκήψιος, ἐν δευτέρῳ Τρωϊκοῦ Διακόσμου, [3] οὕτως· „Τῆς Ἀχαΐας πόλις Τρομίλεια, [4] περὶ ἣν γίνεται τυρὸς αἴγειος ἥδιστος, οὐκ ἔχων σύγκρισιν πρὸς ἕτερον, ὁ προσαγορευόμενος Τρομιλικός· οὗ c καὶ Σιμωνίδης μνημονεύει ἐν Ἰάμβῳ, οὗ ἡ ἀρχή·

Πολλὰ μὲν δὴ προεκπονῇ, [5] Τηλέμβροτε. [6]

γράφων·

Ἐνταῦθα μέντοι τυρὸς ἐξ Ἀχαιΐας [7]
Τρομίλιος [8] θαυμαστὸς, ὃν κατήγαγον."

Εὐριπίδης δ' ἐν Κύκλωπι ὀπίαν καλεῖ τυρὸν τὸν δριμὺν, τὸν πηγνύμενον τῷ τῆς συκῆς ὀπῷ·

1 An εὖ λέγοι? 2 Στρομιλικὸς *Epit.* & sic *iterum* paullo post. 3 Deest vocab. edd. 4 Τρομήλεια edd. cum ms. *A.* Στομίλεια ms. *Ep.* 5 An Πολλόν με δεῖ προεκπονεῖν? 6 Τηλέμβρωτε ms. *A.* 7 Ἀχαΐας vulgo. 8 Στρομίλιος h. l. ms. *A.*

tum, si quis variegatas vult vestes dicere, Siculas nominandas.

Igitur & vasa & supellectilia optima eam ferre existimavi.

Est vero etiam *Tromilicus* caseus celebris; de quo Demetrius Scepsius secundo libro Troici Adparatus ita scribit: »Achaiae oppidum Tromilea, ubi caseus paratur caprinus suaviſſimus, nulli alii conferendus, qui Tromilicus vocatur; cuius Simonides meminit in eo Iambo, cuius initium est:

Multum tu quidem ante laboras, Telembrote.

Scribit enim:

Hîc quidem caseus Tromilius
admirabilis, quem ex Achaia adtuli.«

Euripides vero in Cyclope ὀπίαν *caseum* vocat acrem, ficus arboris succo (ὀπῷ) coagulatum:

Καὶ τυρὸς ὀπίας ἐστὶ, καὶ Διὸς γάλα. [1]

Ἐπεὶ δὲ περὶ πάντων εἰπὼν τῶν παρακειμένων ἀποτράγημα πεποίημαι τὸν Τρομιλικὸν, καταπαύσω τὸν λόγον. τὸ γὰρ λείψανον τῶν τραγημάτων καὶ τρωξίμων ἀποτράγημα εἴρηκεν Εὔπολις. σκώπτων γὰρ Διδυμίαν τινὰ, ἀποτράγημα αὐτὸν εἴρηκεν ἀλώπεκος· ἤτοι ὡς μικρὸν τὸ σῶμα, ἢ ὡς κακοήθη καὶ πανοῦργον, ὥς φησιν ὁ Ἀσκαλωνίτης Δωρόθεος. Τοὺς δὲ λεπτοὺς τῶν τυρῶν καὶ πλατεῖς Κρῆτες θηλείας [2] καλοῦσιν, ὥς φησι Σέλευκος· οὓς ἐν θυτίαις τισὶν ἐναγίζουσιν. Πυριέφθων [3] δὲ μνημονεύει (οὕτω δὲ καλεῖται τὸ πρῶτον γάλα) Φιλιππίδης ἐν Αὐλοῖς· Ἀποτράγημα. Colostra.

Τοὺς δὲ πυριέφθας, [4] καὶ τὰ λάχανα ταῦτ' ἔχων.

Καὶ ἴσως πάντα τὰ τοιαῦτα ἐπιδειπνίδας [5] ἔλεγον Μακεδόνες. κώθωνος γὰρ ἡδύσματα ταῦτα. [6]

1 καὶ βοὸς γάλα apud Eurip. 2 θαλείας edd. 3 πυριεφθῶν edd. 4 Forſ. Τὰ δὲ πυρίεφθα. Aut Τοὺς δὲ πυρίεφθα & dein ἔχειν. 5 ἐπιδειπνιάδας ms. *Ep.* 6 ἡδύσματα ταῦτα τινά. ἔτι τοῦ Οὐλπ. edd.

Et caſeus ὀπίας eſt, & Iovis [immo, *bovis*] *lac.*

Iam poſtquam, de omnibus adpoſitis locutus, *apotragema* feci Tromilicum caſeum, dicendi hîc faciam finem. Reliquias enim tragematum & eduliorum *apotragema* dixit Eupolis. Ridens quippe Didymiam quemdam, *apotragema vulpis* nominavit, ſive quod puſillo eſſet corpore, ſive quod malitioſus & verſutus; ut ait Dorotheus Aſcalonita. Tenues vero eosdemque latos caſeos, θηλείας (quaſi, *foemellas*) vocant Cretenſes, ut Seleucus ait; quos in certis ſacrificiis offerunt. Πυρίεφθα memorat Philippides, in Tibiis: (ſic autem vocatur primum a partu lac:)

Hos vero πυρίεφθα & olera haec habere.

Ac fortaſſe haec omnia *Epideipnidas* vocabant Macedones. Sunt enim haec compotationis condimenta.

LXXVII. Coquus glorioſus.

Τοιαῦτά τινα ἔτι τοῦ Οὐλπιανοῦ διαλεγομένου, ἐπελθὼν εἷς ἐκείνων τῶν σοφιστῶν μαγείρων ἐκήρυσσε μύμα. καὶ πολλῶν ξενιζομένων ἐπὶ τῷ κηρύγματι, (οὐ γὰρ ἐδείκνυεν ὁ στιγματίας ὅ τι ἦν) ἔφη· Ἀγνοεῖν μοι δοκεῖτε, ὦ ἄνδρες δαιταλεῖς, [1] ὅτι καὶ Κάδμος, ὁ τοῦ Διονύσου πάππος, μάγειρος ἦν. σιωπησάντων δὲ καὶ ἐπὶ τούτῳ πάντων· Εὐήμερος, ἔφη, ὁ Κῷος ἐν τῷ τρίτῳ τῆς Ἱερᾶς Ἀναγραφῆς τοῦθ' ἱστορεῖ, ὡς Σι- f
δωνίων λεγόντων τοῦτο, ὅτι Κάδμος μάγειρος ὢν τοῦ βασιλέως, καὶ παραλαβὼν τὴν Ἁρμονίαν, αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως, ἔφυγε σὺν αὐτῇ.

Cadmus, olim coquus.

Ἐγὼ δὲ φεύξομαι, [2] ἐλεύθερος γεγώς; [3]
Οὐδὲ γὰρ ἂν εὕροι τις [4] ὑμῶν δοῦλον μάγειρόν τινα ἐν κωμῳδίᾳ, πλὴν παρὰ Ποσιδίππῳ μόνῳ. δοῦλοι δ' ὀψοποιοὶ παρῆλθον ὑπὸ πρώτων Μακεδόνων, τοῦτ' ἐπι- a

1 δαιταλῆς ms. *A*. 2 Forſ. φεύξομαί γ'. 3 Abeſt vulgo interrogandi ſignum. 4 οὐδὲ γὰρ ἀνελευθεροί τις ms. *A*.

77. Talia quaedam cum adhuc differeret Ulpianus, ſuperveniens unus ex coquis illis, qui doctrinam iactare amant, alta voce *Myma* proclamavit. Quumque novitatem praeconii mirarentur multi, (nec enim monſtrabat verbero quid eſſet quod adferret) dixit ille: Ignorare mihi videmini, Convivatores, Cadmum etiam, Bacchi avum, coquum fuiſſe. Omnibusque ad id quoque tacentibus, ait: Evemerus Cous tertio libro Sacrarum Hiſtoriarum hoc narrat, Sidonios ita tradere dicens, Cadmum coquum fuiſſe regis, eumque adſumta comite Harmonia, quae apud eumdem regem tibicina fuiſſet, profugiſſe.

Ego vero aufugiam, liber cum ſim?

Nec enim reperiet quisquam veſtrûm *ſervum* ullum coquum in comoedia, praeterquam apud unum Poſidippum. Servos vero coquos introducere primi Macedones

τηδευσάντων ἢ δι' ὕβριν, ἢ δι' ἀτυχίαν τῶν αἰχμαλωτισθεισῶν πόλεων. Ἐκάλουν δ' οἱ [1] παλαιοὶ τὸν μὲν πολιτικὸν μάγειρον Μαίσωνα, τὸν δ' ἐκτόπιον Τέττιγα. [2] Χρύσιππος δ' ὁ Φιλόσοφος τὸν Μαίσωνα ἀπὸ τοῦ μασᾶσθαι οἴεται κεκλῆσθαι, οἷον τὸν ἀμαθῆ καὶ πρὸς γαστέρα νενευκότα· ἀγνοῶν, ὅτι Μαίσων γέγονε κωμῳδίας ὑποκριτὴς Μεγαρεὺς τὸ γένος, ὃς καὶ τὸ προσωπεῖον εὗρε τὸ ἀπ' αὐτοῦ καλούμενον μαίσωνα, b ὡς Ἀριστοφάνης φησὶν ὁ Βυζάντιος ἐν τῷ περὶ Προσώπων, εὑρεῖν αὐτὸν φάσκων, καὶ τὸ τοῦ θεράποντος πρόσωπον, καὶ τὸ τοῦ μαγείρου. καὶ εἰκότως καὶ τὰ τούτοις πρέποντα σκώμματα καλεῖται μαισωνικά. μάλιστα γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί τινες, ὡς παρὰ Μενάνδρῳ ἐν Ἐπιτρέπουσι. καὶ Φιλήμων δέ που φησίν·

Maeſon & Tettix, comicae perſonae coquorum.

Σφίγγ' ἄρρεν', οὐ μάγειρον, εἰς τὴν οἰκίαν

1 Ἐκάλουν οἱ absque coniunct. ms. *A*. 2 Τέτιγα ms. *Ep*.

inſtituerunt, ſive contumeliae cauſſa, ſive propter calamitatem civitatum in ſervitutem redactarum. Adpellarunt autem veteres coquum, qui civis eſſet, *Maeſonem*; peregrinum vero, *Tettigem*. Nominatum autem eſſe Maeſonem exiſtimavit Chryſippus philoſophus a manducando, (a verbo μασᾶσθαι) tamquam hominem ignarum & ventri deditum; ignorans Maeſonem fuiſſe comoediarum actorem, Megarenſem genere, qui nominatam ab ipſo perſonam Maeſonem invenit, ut ait Ariſtophanes Byzantius in libro de Perſonis; inveniſſe eum dicens & famuli perſonam & coqui. Quare merito etiam *ſcommata*, quae his conveniunt, *maeſonica* vocantur. Iuducuntur enim maxime coqui dicaces quodammodo & cavillatores; velut apud Menandrum in Arbitros-eligentibus. Atque etiam Philemon alicubi ait:

Sphingem marem, non coquum, in domum meam

εἴληφ'. ἁπλῶς γὰρ οὐδὲ ἓν, μὰ τοὺς θεούς,
ὧνπερ λέγει [1] συνίημι· καινὰ ῥήματα
πεπορισμένος γὰρ ἐστί. [2] — c

τὸν δὲ Μαίσωνα Πολέμων, ἐν τοῖς Πρὸς Τίμαιον, ἐκ τῶν ἐν Σικελίᾳ φησὶν εἶναι Μεγαρέων, [3] καὶ οὐκ ἐκ τῶν Νισαίων. [4] Ἀλλ' ὅ γε Ποσίδιππος περὶ δούλων μαγείρων ἐν Ἀποκλειομένῃ φησίν·

Ταυτὶ μὲν οὖν τοιαῦτα. συμβαίνει δέ τι
νῦν μοι διακονοῦντι παρὰ τῷ δεσπότῃ
ἀστεῖον· οὐχ ἁλώσομ' ἐκφέρων κρέας.

καὶ ἐν Συντρόφοις·

Α. Ἐβάδιζες ἔξω τῶν πυλῶν μάγειρος ὤν;
[Β.] Ἐντὸς πυλῶν παρμένων ἄδειπνος ἦν. [Α.] Πό- d
τερον οὖν. [5]

1 ὧν λέγει h. l. mssti : alibi ὅσ' ἂν λέγῃ. 2 Alibi πάρεστι. 3 Μεγάρων forsan. 4 Perperam Νησαίων ms. *A*. 5 Secundus versus, omissis prioribus verbis, sic editus erat :
ἄδειπνος ἦν. πότερον οὖν † ἀφίσεα.
Nos sic scribendum coniectamus :
Β. Ἐντὸς πυλῶν ἄδειπνος ἦν. Α. Πότερον (vel Πρότερον) μὲν οὖν. . . cum notâ ἀποσιωπήσεως.

Sumsi. Prorsus enim nihil quidquam, per Deos, eorum quae loquitur intelligo. Nova quippe vocabula & inaudita commentus est. —

Maesonem vero Polemo in libris Adversus Timaeum ait, Megarensem quidem fuisse, sed ex iis qui in Sicilia sunt, non ex Nisaeis. Iam vero de servis coquis Posidippus in Excluså ait :

Haec igitur ita se habent. At nunc mihi
famulanti apud herum accidit quidpiam
festivum : non deprehendar carnem auferens.

Et in Coalumnis :

A. *Extra fores egrediebaris, tu qui coquus es?*
B. *Intus incoenatus eram.* A. *An ergo?* [vel, *Prius ergo;* scilicet, *videamus ne quid subreptum auferas.*]

Β. Ἀφεὶς ἔα. [1] κατ' ἀγορὰν ὀργιάζομαι· [2]
ἐπρίατο [3] γάρ τις ὁμότεχνός με γνώριμος.

Οὐδὲν οὖν ἦν παράδοξον, εἰ καὶ θυτικῆς ἦσαν ἔμπειροι οἱ παλαίτεροι μάγειροι· προίσταντο γοῦν καὶ γάμων καὶ θυσιῶν. διόπερ Μένανδρος ἐν Κόλακι, τὸν τοῖς τετραδισταῖς διακονούμενον μάγειρον ἐν τῇ τῆς Πανδήμου Ἀφροδίτης ἑορτῇ ποιεῖ ταυτὶ λέγοντα· LXXVIII. Coqui sacrifici.

Σπονδή. δίδου σὺ σπλάγχν', ἀκολουθῶν. ποῖ βλέπεις;

e σπονδή. φέρ', ὦ [4] παῖ Σωσία. [5] σπονδή. καλῶς. [6]
ἔγχει. [7] θεοῖς ὀλυμπίοις εὐχώμεθα [8]
ὀλυμπίαισι, [9] πᾶσι, [10] πάσαις — λάμβανε
τὴν γλῶτταν ἐν τούτῳ — διδόναι σωτηρίαν, 5
ὑγίειαν, ἀγαθὰ πολλὰ, τῶν ὄντων τε νῦν

1 ἀφίσει edd. 2 ἐργάζομαι vulgo. 3 ἐπριᾶτο Ms. 4 φέρω edd. φερεω Ms. 5 πλείω † ωσια vulgo. 6 καλω Ms. An καλῶ? 7 εὔχου θεοῖς. ὀλυμπίοις vulgo. 8 εὐχόμεθα ed. Ven. & Baſ. 9 ὀλυμπιάσι ed. Ven. & Baſ. cum Ms. 10 Deeſt πᾶσι ed. Ven. & Baſ.

Β. *Miſſum me fac: in forum abeo ſacra facturus; conduxit enim me familiaris quidam meus, artis ſodalis.*

78. Igitur non mirum videri debet, ſacrorum faciendorum peritos induci coquos apud veteres. Nam & nuptiis celebrandis & ſacris faciendis praeerant. Quare Menander in Adſentatore coquum, qui nonnullis miniſtrabat quarto quoque menſis die ſacrificium & epulum celebrantibus, in Veneris Publicae feſto, haec inducit loquentem:

Libamen! Tu, famule, viſcera distribue. Quo intendis oculos?
Libamen! adfer, puer Soſia. Libamen! recte!
infunde! Deos coelicolas cunctos precemur,
Deasque cunctas, — tu interim
linguam cape! — velint dare ſalutem,
ſanitatem, bona omnia, & eorum quae nunc adſunt

ἀγαθῶν ὄνησιν [1] πᾶσι. [2] ταῦτ' εὐχώμεθα.

Καὶ παρὰ Σιμωνίδῃ δέ φησιν ἕτερος·

Καὶ ὡς ἄφευσα χ' ὡς [3] ἐμίστυλα κρέα f

εἰδώς. τί καὶ γὰρ οὐ καλῶς [4] ἐπίσταμαι;

Ἐμφαίνει δ' αὐτῶν τὴν ἐμπειρίαν καὶ ἡ πρὸς Ἀλέξανδρον Ὀλυμπιάδος ἐπιστολή. προτρεπομένη [5] μάγειρον αὐτῷ [6] πρίασθαι θυσιῶν ἔμπειρον, ἡ μήτηρ φησί· „Πελίγναν τὸν μάγειρον λαβὲ παρὰ τῆς μητρός. οὗτος γὰρ οἶδε τὰ ἱερά σου τὰ πατρῷα πάντα ὃν τρόπον θύεται καὶ τὰ ὀργιαστικὰ [7] καὶ τὰ Βακχικά, ὅσα τε Ὀλυμπιὰς [8] προθύεται, οὗτος οἶδε. μὴ οὖν ἀμελήσῃς, ἀλλὰ λαβέ· καὶ ἀπόστειλον [9] πρὸς ἐμὲ a τὴν ταχίστην."

1 ὀνησίαν ed. Ven. & Baſ. cum Ms. 2 Iungunt vulgo πᾶσι ταῦτ' εὐχ. 3 χ' ὡσαφεὺς † σαχῶς edd. 4 κακῶς vulgo. 5 προτρεπομένου corr. Caſ. 6 αὐτῇ vulgo. 7 τὰ ἀργὰ δικαστικὰ edd. τὰ ἀργαδικαστικὰ Ms. 8 Ὀλυμπία corr. Caſaub. Forſ. Ὀλυμπιάσι. 9 Forſ. ἐπίστειλον: aut ἢ ἀπόστειλον.

bonorum fruitionem omnibus. Haecce precemur.

Item apud Simonidem dicit alius:

Et quo pacto uſtulaverim, & quo pacto in fruſta conciderim carnem,

bene gnarus es. Quid enim ego non pulcre noſſem? [Sive: B. *Quidni? pulcre novi.*]

Declarat vero etiam eorum in hoc genere peritiam Epiſtola Olympiadis ad Alexandrum. Rogata enim ab illo, ut coquum ſibi (nempe, popam) emeret ſacrorum faciundorum peritum, haec ei ſcribit mater: *Pelignam coquum accipe a matre. Hic enim novit patria tua ſacra omnia quo pacto peragantur: idemque & myſtica & Bacchica novit, & quaecumque Olympias ſacra celebrat.* [ſive: *& quae Olympiae ante certamina peraguntur.*] *Quare ne hunc ſperne, ſed accipe: & quamprimum ad me remitte.* [ſive, *ad me reſcribe:* aut, *ſin minus, remitte eum ad me ocyus.*]

LXXIX. *Ceryces Athenienſium, & coqui & popae.*

Ὅτι δὲ σεμνὸν ἦν [1] ἡ μαγειρικὴ, μαθεῖν ἐστιν ἐκ τῶν Ἀθήνησι Κηρύκων. „Οἵδε γὰρ μαγείρων καὶ βουτύπων [2] ἐπεῖχον τάξιν, ὥς φησι Κλείδημος ἐν Πρωτογονίας πρώτῳ.“ Ὁμηρός τε τὸ ῥέζειν ἐπὶ τοῦ θύειν τάσσει· τὸ δὲ θύειν, ἐπὶ τοῦ ψαιστὰ μεταδόρπια θυμιᾶν. καὶ οἱ παλαιοὶ τὸ θύειν δρᾶν ὠνόμαζον. ἔδρων δ' οἱ κήρυκες ἄχρι πολλοῦ, βουθυτοῦντες,[3] φησὶ, καὶ σκευάζοντες, καὶ μιστύλλοντες, ἔτι δ' οἰνοχοοῦντες. κήρυκας δ' αὐτοὺς ἀπὸ τοῦ κρείττονος ὠνόμαζον. ἀναγέγραπταί τε οὐδαμοῦ μαγείρῳ μισθὸς, ἀλλὰ κήρυκι.“ Καὶ Ἀγαμέμνων δὲ παρ' Ὁμήρῳ θύει βασιλεύων. φησὶ γὰρ ὁ ποιητής·

Principes etiam viri victimas caedunt.

Ἦ, καὶ ἀπὸ στομάχους ἀρνῶν τάμε νήλεϊ χαλκῷ.
καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας

1 Temere καὶ pro ἦν edd. 2 βουτύρων Ms. 3 Temere βουτυτοῦντες ed. Caſ.

79. Fuiſſe autem in honore coquorum artem, intelligere licet ex *Cerycibus* apud Athenienſes. »Hi enim coquorum & poparum victimas mactantium fungebantur munere, ut ait Cleidemus libro primo Protogoniae. Et pro eo quod nos θύειν (*mactare*) dicimus, Homerus verbum ῥέζειν (*facere*) poſuit: θύειν autem apud illum ſonat, *liba poſt coenam adolere.* Et veteres pro eo, quod θύειν hodie dicimus, δρᾶν (*facere*) dixerunt. *Faciebant* igitur (ἔδρων) *Ceryces*, ait Cleidemus, ad longi usque temporis memoriam, victimas ferientes, & parantes, & in fruſta concidentes, atque etiam vinum infundentes. *Ceryces* autem a priſco illo Heroë (*Ceryce*) nominabantur. In veterum autem monumentis nusquam quidem merces ſcripta eſt *coquo*, ſed *ceryci.*« Apud Homerum vero victimam mactat etiam Agamemnon, quamvis rex. Ait enim poëta:

Dixit, & fauces agnorum ſaevo ferro abſcidit:
& hos quidem depoſuit ſuper terram palpitantes,

θυμοῦ δευομένους· ἀπὸ γὰρ μένος εἵλετο χαλκός.
καὶ Θρασυμήδης, ὁ τοῦ Νέστορος υἱός, ἀναλαβὼν πέλεκυν κόπτει τὸν βοῦν, ἐπεὶ διὰ τὸ γῆρας ὁ Νέστωρ c
οὐκ ἠδύνατο· συνεπόνουν δὲ αὐτῷ καὶ οἱ ἄλλοι ἀδελφοί. οὕτως ἔνδοξον ἦν καὶ μέγιστον τὸ τῆς μαγειρικῆς τέχνης ἀξίωμα. Καὶ παρὰ Ῥωμαίοις δὲ οἱ τιμηταὶ, μεγίστη δ' αὕτη ἀρχὴ, τὴν περιπόρφυρον ἐνδεδυκότες, καὶ ἐστεφανωμένοι, πελέκει τὰ ἱερεῖα [1] κατέβαλλον.

Ceryces Homerici sacrificantibus ministrant.

Οὐ παρέργως δὲ παρὰ τῷ Ὁμήρῳ καὶ τὰ ὅρκια καὶ τὰ ἱερόθυτα κήρυκες κομίζουσιν, ὡς παλαιᾶς οὔσης καὶ προσηκούσης αὐτοῖς τῆς λειτουργίας.

Ἕκτωρ δὲ προτὶ ἄστυ δύο κήρυκας ἔπεμπε, d
καρπαλίμως ἄρνας τε φέρειν, Πρίαμόν τε καλέσσαι.

καὶ πάλιν·

Αὐτὰρ ὁ Ταλθύβιον προΐει κρείων Ἀγαμέμνων
νῆας ἐπὶ γλαφυρὰς ἰέναι, ἦδ' ἄρν' ἐκέλευσεν

1 ἱερὰ edd.

anima carentes: nam vim vitalem ademerat ferrum.

Et Thraſimedes, Neſtoris filius, capta ſecuri bovem caedit, quum Neſtor ipſe propter ſenectutem non poſſet: adiuvant autem illum reliqui fratres. Adeo praeclara & maxima erat artis coquinariae dignitas. Quid quod apud Romanos etiam Cenſores, qui ſummus magiſtratus eſt, praetextam induti, & coronati, hoſtias ſecuri caedebant. Nec vero temere apud Homerum *ceryces* etiam victimas, & quae ad foederum ſanciendorum caerimoniam pertinent, adferunt: quod nimirum a priſcis inde temporibus ad illos pertineret id miniſterium.

Hector vero ad urbem duos cerycas miſit
ocyus, qui agnos adferrent, Priamumque vocarent.

Rurſusque:

At Talthybium miſit rex Agamemnon,
naves ad cavas ut iret, agnumque iuſſit

οἰσέμεναι. — καί·

— Ταλθύβιος δε, θεῷ ἐναλίγκιος αὐδήν,
κάπρον ἔχων ἐν χερσὶ παρίστατο ποιμένι λαῶν.

LXXX. Artis coquinariae merita in hominum societatem.

Ἐν δὲ τῷ πρώτῳ τῆς Ἀθίδος Κλείδημος [1] φῦ-
e λον ἀποφαίνει μαγείρων, ἐχόντων δημιουργικὰς τι-
μὰς, οἷς καὶ τὸ πλῆθος ἐνεργεῖν [2] ἔργον ἦν. Οὐκ ἀπει-
κότως δὲ καὶ Ἀθηνίων ἐν Σαμοθραξιν, ὥς φησιν Ἰό-
βας, μάγειρον εἰσάγει φυσιολογοῦντα διὰ τούτων·

Α. Οὐκ οἶσθ', ὅτι πάντων ἡ μαγειρικὴ τέχνη
πρὸς εὐσέβειαν πλεῖστα προσενήνεχθ' ὅλως;
Β. Τοιοῦτόν ἐστι τοῦτο; Α. Πάνυ γε, βάρβαρε.
Τοῦ θηριώδους καὶ παρασπόνδου βίου
ἡμᾶς γὰρ ἀπολύσασα, καὶ τῆς δυσχεροῦς 5.
f ἀλληλοφαγίας, ἤγαγ' εἰς τάξιν τινὰ,
καὶ τουτονὶ περιῆψεν, ὃν νυνὶ βίον

1 καὶ δῆμος ed. Ven. & Baſ. cum Ms. 2 Vereor ne non ſatis ſana ſcriptura. Verſionem ſubiecimus Dalecampii. An εὐεργετεῖν?

adferre. — Et:

— *Talthybius autem, Deo ſimilis voce,*
aprum tenens manibus, adſtabat paſtori populorum.

80. Primo vero Libro Atthidis, *tribum* quamdam, ait Cleidemus, *coquorum* fuiſſe, qui ob artem ſuam in honore fuiſſent; illosque hoc curaſſe ut plebs rite ſacrificaret. [*ſive?* quorum opera ad publicam etiam multitudinis utilitatem ſpectaſſet.] Itaque haud abſurde Athenion in Samothracibus, ut ait Iuba, coquum inducit de natura (rerum ac hominis) ſic disputantem:

A. Neſcis – ne eam artem quam nos profitemur coquì
pietatis rebus contuliſſe plurimum?
B. Eſt – ne illa vero tanti? A. *Certe eſt, barbare!*
Namque a ferinis perfidioſis moribus
nos liberavit illa, & a ſeſe invicem
edendi rabie ad ſanam duxit regulam,
& eum ipſum quo nunc utimur vitae modum

ζῶμεν. Β. Τίνα τρόπον; Α. Πρόσεχε, κἀγώ σοι
Φράσω.
Ἀλληλοφαγίας καὶ κακῶν ὄντων συχνῶν,
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος,
ἔθυσ' ἱερεῖον πρῶτος, ὤπτησε κρέας. [1]
ὡς δ' ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν,
αὐτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα
θύοντες ὤπτων. ὡς δ' ἅπαξ τῆς ἡδονῆς
ἐμπειρίαν τιν' ἔλαβον, ἀρχῆς γενομένης
ἐπὶ πλεῖον [2] ηὗξον [3] τὴν μαγειρικὴν τέχνην.
Ὅθεν ἔτι καὶ νῦν, τῶν πρότερον μεμνημένοι,
τὰ σπλάγχνα τοῖς θεοῖσιν ὠπτῶσι φλογὶ,
ἅλας οὐ προσάγοντες· οὐ γὰρ ἦσαν οὐδέπω
εἰς τὴν τοιαύτην χρῆσιν ἐξευρημένοι.
ὡς δ' ἤρεσ' [4] αὐτοῖς ὕστερον, καὶ τοὺς ἅλας
προσάγουσιν ἤδη, τῶν ἱερῶν γεγραμμένων

1 κρέα vulgo: & vſ. ſq. ἴσως δ' ἦν &c. 2 ἐπιπλεῖστον τιν' ed. Ven. & Baſ. ἐπὶ πλεῖστον ed. Caſ. ἐπὶ πλειου τιν ms. Ven. ἐπιπλεῖον τινὲς ms. *Ep.* 3 ηὖξαν edd. 4 ἤρεσεν ms. *Ep.* ἤρεσαν malebam.

impoſuit. B. *At quo pacto?* A. *Iam attende, eloquar.*
Paſtus ex homine atque alia crebruerant mala;
cum quidam exortus ingenio excellens homo
mactare coepit victimam, carnem ignibus
aſſare. Quae cum humanâ ſaperet ſuavius,
eſu abstinuerunt mutuo, aſſarunt Diis
mactatas pecudes. Experimentum ſui
ſemel ut voluptas dederat, hinc facto initio
artem coquendi in maius maiusque auxerunt.
Unde & nunc, memores morum qui fuerant prius;
quae Dîs ſacrantur exta tradunt ignibus
ſale non adhibito: nam principio non erat
uſus ſaliendi ad condituram cognitus.
Sed & hoc poſt illa placuit: inde iam ſalem
cibis adhibent; licet Deorum in honoribus

τὰ πάτρια διατηροῦντες. ἅπερ ἡμῖν μόνα
ἅπασιν ἀρχὴ γέγονε τῆς σωτηρίας,
b τὸ προσφιλοτεχνεῖν, διά τε τῶν ἡδυσμάτων
ἐπὶ πλεῖον αὔξειν τὴν μαγειρικὴν τέχνην.
B. Καινὸς γάρ ἐστιν οὑτοσὶ Παλαίφατος.
A. Μετὰ ταῦτα γαστρίον τις ὠνθυλευμένον
προϊόντος εἰσηνέγκατ' ἤδη τοῦ χρόνου·
ἀκριβῶς ἐρίφιον ἐνταῦθερὸν ἔμπνικτον [1] διέλαβεν
περικομματίῳ δι' ἐπίγυρας ὑποκρούσας γλυκεῖ [2]
ἰχθῦν παρεισεκύκλησεν οὐδ' ὁρώμενον
c λάχανον, τάριχος πολυτελὲς, χόνδρον, μέλι.
Ὡς πουλὺ, διὰ τὰς ἡδονὰς, ἃς νῦν λέγω,
ἀπεῖχ' ἕκαστος τοῦ φαγεῖν ἂν ἔτι νεκροῦ·
αὐτοῖς ἅπαντες ἠξίουν συζῆν, ὄχλος

1 ἐν ταχερωασεπνικτω Ms. 2 Abest γλυκεῖ edd. sed habent ibi membr. Nos hunc versum cum praecedente desperavimus; quos Grotius ex ingenii coniectura sic concinnavit:

Ἐρίφιον εἶτα ταχερὸν, εὖ πνικτὸν, ἀκριβῶς
περικομματίῳ διέλαβεν. B. Ὑποκρούσας γίγρας;

priscos ritus servantes. Atque hoc unicum
nobis salutis exstitit primordium,
quod studio accenso ars semper consummatior
fieret coquendi, multis suavitatibus.
B. *Profecto hic nobis alter est Palaephatus.*
A. *Ergo paulatim procedente tempore*
omasum farctum nescio quis intulit,
[*tenerumque coctum cum suo sibi succo hoedulum*
includit in pericomma. B. *Ad cantum tibiae?*]
[A.] *Piscem ambierunt, ut nequiret conspici,*
alicula, salsamentum, mella, olusculum.
Cum propter has, quas dixi, delicias procul
abessent cuncti a carnis humanae esibus,
sociare vitam libuit, populi colligi

ἠθροίζετ', ἐγένονθ' αἱ [1] πόλεις οἰκούμεναι,
διὰ τὴν τέχνην, ὅπερ εἶπα, τὴν μαγειρικήν.
Β. Ἄνθρωπε χαῖρε, περὶ πόδ' εἶ [2] τῷ δεσπότῃ.
Α. Καταρχόμεθ' ἡμεῖς οἱ μάγειροι, θύομεν,
σπονδὰς ποιοῦμεν, τῷ μάλιστα τοὺς θεοὺς
ἡμῖν ὑπακούειν, διὰ τὸ ταῦθ' εὑρηκέναι
τὰ μάλιστα συντείνοντα πρὸς τὸ ζῆν καλῶς.
Β. Ὑπὲρ εὐσεβείας οὖν ἄφες [3] παῦσαι λέγων.
Α. Ἥμαρτον. [4] Β. Ἀλλὰ δεῦρό μοι συνέσθιε· [5]
τά τ' ἔνδον [6] εὐτρεπῆ [7] πόει [8] λαβών. —

LXXXI. Coquinaria, ars liberalis.

Καὶ Ἄλεξις δ' ἐν Λεβητίῳ δηλοῖ, ὅτι ἡ μαγειρικὴ τέχνη ἐπιτήδευμα καὶ ἐλευθέρων. [9] πολίτης γάρ τις οὐκ ἀπινὴς ἐν αὐτῷ δείκνυται ὁ μάγειρος. καὶ οἱ τὰ Ὀψαρτυτικὰ δὲ συγγράψαντες, Ἡρακλείδης τε,

1 ἐγένοντό θ' αἱ vulgo. 2 περιπόδει edd. 3 ἃ φὴς forſ. 4 Legebam, Ἦ γάρ; μὰ τόν. 5 συνέσθιέ μοι vulgo. 6 ἔπειτα τἄνδον corr. Grotius. 7 εὐπρεπῆ vulgo. 8 ποίει edd. 9 An τέχνη καὶ ἐπιτήδευμα ἐλευθέρων.

coepere, paſſim ſurrexerunt oppida:
artis quae, ut dixi, noſtrae ſunt beneficia.
B. *Salve homo: perapte convenis hero.*
A. *Nos auſpicamur, nos ſacrificamus coqui,*
nos & libamus; quia Di nobis maxime
ſunt obſequentes, qui res tantas reperimus,
quibus adiuti homines aevum recte degerent.
B. *De pietate quidem quod ais, mitte dicere:* —
A. *Annon ita eſt, per Iovem?* B. — *ſed mecum hîc cibum cape:*
mox intus recte, tibi quae tradentur, para.

81. Sed & Alexis in Lebetio declarat, coquinariam artem eſſe profeſſionem ingenuorum etiam hominum. Oſtenditur enim in illo dramate coquus, *civis quidam non incultus.* Quin immo, ne quemlibet quidem hominum ingenuorum ad addiſcendam artem coquinariam idoneum

καὶ Γλαῦκος ὁ Λοκρὸς, οὐχ ἁρμόττειν φασὶ τὴν μαγειρικὴν ἀλλ' οὐδὲ τοῖς τυχοῦσι τῶν ἐλευθέρων. ἐκτεμνύει δὲ τὴν τέχνην καὶ ὁ νεώτερος Κρατῖνος ἐν τοῖς Γίγασι, λέγων·

— Α. Ἐνθύμει δέ, τῆς γῆς ὡς γλυκὺ
ὄζει, καπνός τ' ἐξέρχετ' εὐωδέστερος.
οἰκεῖ τις, ὡς ἔοικεν, ἐν τῷ χάσματι
λιβανωτοπώλης, ἢ μάγειρος Σικελικός.

f Β. Παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν [γλυκύς.] [1]

καὶ Ἀντιφάνης δ', ἐν Δυσπράτῳ, ἐπαινῶν τοὺς Σικελικοὺς μαγείρους, λέγει·

Σικελῶν δὲ τέχναις ἡδυνθεῖσαι
δαιτὸς διαθρυμματίδες. [2]

καὶ Μένανδρος ἐν Φάσματι·

— Ἐπισημαίνεσθ', ἐὰν [3]
ἡ σκευασία καθάριος ᾖ καὶ ποικίλη.

1 Suspectam vocem uncis inclusimus. 2 διαθριμματίδες edd.
3 Vulgo ἐπισημαίνεσθαι ἂν.

esse, adfirmant Artis huius scriptores, Heraclides & Glaucus Locrus. Eamdem artem magnifice etiam praedicat Cratinus iunior in Gigantibus; ubi ait:

A. *Animadverte vero, haec terra quam suaviter*
oleat, & vapor exit fragrantissimus.
Habitat, ut videtur, in hoc specu
aut qui thura vendit aut Siculus coquus.
B. *Similem odorem narras utriusque.* [*ô dulcis!*]

Item Antiphanes in Dysprato, (Aegre-vendito) laudans Siculos coquos, ait:

Siculorumque artibus conditas
epulis thrymmatides.

Et Menander in Spectro:

— *Vos plaudite, si quidem*
& elegans & varia videtur ciborum paratio.

Ποσίδιππος, ἐν Ἀναβλέποντι·

Ἐγὼ, μάγειρον ἕνα λαβὼν, [1] ἀκήκοα,
τὰ τῶν μαγείρων πάντα καθ' ἑκάστου κακὰ [2] a
ἀντεργολαβοῦντος. ἔλεγον, ὁ μὲν ὡς [3] οὐκ ἔχει
ῥῖνα κριτικὴν [4] πρὸς τοὖψον, ὁ δ' ὅτι στόμα
πονηρὸν, ὁ δὲ τὴν γλῶσσαν εἰς ἀσχήμονας [5] 5
ἐπιθυμίας ἔνιά τε τῶν ἡδυσμάτων, [6]
κάθαλος, κάτοξος, χναυστικὸς, προσκαυστικὸς,
καπνὸν οὐ Φέρων, πῦρ οὐ Φέρων. ἐκ τοῦ πυρὸς [7]
εἰς τὰς μαχαίρας ἦλθον· ὧν εἷς οὑτοσὶ
διὰ τῶν μαχαιρῶν εἰς τὸ πῦρ ἐλήλυθεν. [8] 10 b

Ἀντιφάνης δ', ἐν Φιλώτιδι, τὴν σοφίαν τῶν μαγείρων ἐμφανίζων φησί·

A. Οὐκοῦν τὸ μὲν γλαυκίδιον; B. Ὥσπερ ἄλλοτε

1 μάγειρον ἀνάλαβὼν vulgo. 2 κακά, ed. Caſ. 1. κακά. ed. Caſ. 2. & 3. 3 ἐλέγομεν ὡς vulgo. 4 Κρητικὴν vulgo. 5 ἔσχ' ἀσχήμονα corr. Grot. 6 An ἐνίεται ἡδυσμάτων? ἐπιθυμιῶσαν ἔνια τῶν ἡδυσμ. Grot. 7 Verſus iſte vulgo ſic ſcribebatur:

καπνὸν οὐ φέρων, οὐ πῦρ· οὐ φέρων δ' ἐκ τοῦ πυρὸς

Qui ita fortaſſe refingendus erat:

καπνὸν οὐ φέρων, οὐ πῦρ· φέροντες δ' ἐκ πυρὸς

8 Vulgo: διὰ τῶν μαχαιρῶν τοῦ πυρὸς ἐλήλυθεν.

Poſidippus vero in Viſum-recipiente:

Ego iam modo adeo, cum coquum conducerem,
coquorum vitia facile perdidicī omnia.
Operam dum cupiunt inter ſe intervertere:
» *Naſi iudicio caret hic, aiebant; malum*
» *os eſt iſti; illi lingua eſt non ſat continens;*
» *quae deliciarum neſcio quid appetit:*
» *hic nimius ſalis eſt, hic aceti, uſtor, vorax;*
» *intolerans fumi hic, ignis ille.* « *Ibi illico*
ab igne ad cultros ventum. Hic unus omnium
ex mediis cultris ſeſe ad ignem proripuit.

Antiphanes vero in Philotide coquorum ſapientiam declarans ait:

A. *Ergo glauculum?* B. *Sicuti aliâs*

ἕψειν [1] ἐν ἅλμῃ φημί. Α. Τὸ δὲ λαβράκιον; Β. Ὀπτᾶν ὅλον. Α. Τὸν γαλεόν; Β. Ἐν ὑποτρίμματι ζέσαι. [2] Α. Τὸ δ' ἐγχέλειον; [3] Β. Ἅλας, ὀρίγανον, [4] ὕδωρ. Α. Ὁ γόγγρος; Β. Ταυτόν. Α. Ἡ βατίς; Β. Χλόη.

Α. Πρόσεστι θύννου τέμαχος. Β. Ὀπτήσεις. Α. Κρέας ἐρίφιον; Β. Ὀπτόν. Α. Θάτερον. Β. Τἀναντία.

c Α. Ὁ σπλήν; Β. Σεσάχθω. Α. Νῆστις. Β. Ἀπολεῖ μ' οὑτοσί.

Ἀοιδίμων δ' ὀψαρτυτῶν ὀνόματα καταλέγει Βάτων [5] ἐν Εὐεργέταις οὕτως· Artis coquinariae scriptores.

Α. Εὖγ', ὦ Σιβύννη, τὰς νύκτας οὐ καθεύδομεν, οὐδ' ἀναγεγράμμεθ', [6] ἀλλὰ καίεται λύχνος, καὶ βιβλίον ταῖς χερσὶν, [7] καὶ φροντίζομεν

1 ἑλεῖν vulgo. ἑψεῖν forsan. 2 ἐν ὑποτριμματίζεσθαι Ms. & ed. Ven. & Bas. 3 ἐγχέλυον vulgo. 4 ὠρίγανον edd. 5 Βάττων edd. 6 Corrupto vocabulo nulla idonea medicina occurrebat. 7 ἐν ταῖς χερσὶν malebam.

elixandum dico in muriâ. A. *At minutus iſte lupus piſcis?* B. *Aſſandus integer.* A. *Sed ſqualus ille?* B. *Cum intrito elixandus.* A. *At anguillula?* B. *Sal, origanum, (adhibeatur,) aqua.* A. *Tum conger?* B. *Eadem.* A. *Raia?* B. *Oluscula.* A. *Adeſt etiam thynni fruſtum.* B. *Torrebis.* A. *Caro hoedina?* B. *Aſſabitur.* A. *Reliqua caro?* B. *Elixabitur.* A. *Lien?* B. *Farcietur.* A. *Ieiunum inteſtinum?* B. *Enecat me homo hic.*

Celebrium vero parandi obſonii artificum nomina recenſet Bato in Benefactoribus, hoc modo:

A. *Euge, o Sibynna, noctes non dormimus,*
nec [otioſi ſumus: ſive: *& ne recumbimus quidem:] ſed ardet lucerna,*
& liber eſt in manibus, meditamurque,

τί σοφὸν [1] καταλέλοιπεν, [2] ἢ τὶς ἡμῶν Ἀκτίδης [3]
ὁ Χῖος, ἢ Τυνδαρικὸς ὁ Σικυώνιος, 5 d
ἢ Ζωπύρινος αὐτός. Β. Εὕρηκας δὲ τί;
Α. Τὰ μέγιστα. Β. Πόσα ταῦτα; [4] τοὺς τεθνηκότας. . .

LXXXII. Myma. Ἐγὼ δὲ τοιουτονὶ βρῶμα ὑμῖν, ἄνδρες φίλοι, τὸ Μύμα φέρω. περὶ οὗ Ἀρτεμίδωρος μὲν ὁ Ἀριστοφάνειος ἐν Ὀψαρτυτικαῖς Γλώσσαις φησὶν, ὅτι σκευάζεται ἐκ κρεῶν καὶ αἵματος, πολλῶν ἀρτυμάτων συνεμβαλλομένων. Ἐπαίνετος δ' ἐν Ὀψαρτυτικῷ λέγει ταῦτα· „Μύμα δὲ παντὸς ἱερείου, καὶ ὄρνιθος δὲ, χρὴ ποιεῖν, [5] τὰ ἀπαλὰ τῶν κρεῶν μικρὰ συντεμόντα καὶ e
τὰ σπλάγχνα καὶ τὸ ἔντερον, καὶ τὸ αἷμα [6] διαθρύψαντα, καὶ ἀρτύσαντα ὄξει, τυρῷ ὀπτῷ, σιλφίῳ, κυ-

1 σοφῶν Ms. 2 καταλελοιπέναι edd. Legebam καταλέλοιπεν. B. Τίς; A. ὁ ἡμῶν Ἀκτίδης. 3 Ἀκτείδης Ms. 4 ποῖα ταῦτα; legebam. πόσα ταῦτα τοὺς τεθν. edd. absque distinct. B. Πόσα ταῦτα; A. Πόσα; τοὺς τεθν. Toup. 5 In editis sic scribitur & distinguitur: Μύμα δὲ παντὸς ἱερείου καὶ ὄρνιθος. χρὴ δὲ π. &c. 6 τῷ αἵματι legit Dalec.

quas res sapientes reliquérit. . B. *Quis?* A. *noster Actides Chius, aut Tyndaricus Sicyonius,*
aut Zopyrinus ipse. B. *Reperisti autem quid?*
A. *Res maximas.* B. *Quasnam illas? Itane mortuì! . .*

82. Huiusmodi igitur edulium *Myma* est, quod ego vobis, dilecti viri, adfero. De quo Artemidorus Aristophaneus in Glossis Coquinariis ait, parari ex carne & sanguine, multis simul adiectis condimentis. Epaenetus vero in Arte Coquinaria haec scribit: »*Myma* vero e quolibet animantium genere, atque etiam ex avibus, ita conficiendum, ut teneras carnes minutatim concîdas & viscera & intestinum, & sanguinem conteras, & condias aceto, asso caseo, silphio, cumino,

μίνῳ, θύμῳ χλωρῷ καὶ ξηρῷ, θύμβρᾳ, [1] κοριάννῳ χλωρῷ τε καὶ ξηρῷ, καὶ γητίῳ, [2] καὶ κρομμύῳ καθαρῷ πεφωτμένῳ, ἢ μήκωνι, καὶ σταφίδι, ἢ μέλιτι, καὶ ῥοᾶς ὀξείας κόκκοις. εἶναι [3] δέ σοι τὸ αὐτὸ μύμα καὶ ὄψον." [4]

LXXXIII. Mattya.

Τοσαῦτα καὶ τούτου κατακόψαντος, οὐ μόνον τὰ προειρημένα, ἀλλὰ καὶ ἡμᾶς, ἄλλος ἐπεισῆλθεν τὴν f ματτύην κομίζων. ὑπὲρ ἧς καὶ ζητήσεως γενομένης, καὶ τοῦ Οὐλπιανοῦ εἰπόντος τὰ ἐκ τῶν Ὀψαρτυτικῶν Γλωσσῶν τοῦ προειρημένου Ἀρτεμιδώρου, Αἰμιλιανὸς, Δωροθέῳ, ἔφη, τῷ Ἀσκαλωνίτῃ σύγγραμμα ἐκδεδόσθαι, ἐπιγραφόμενον Περὶ Ἀντιφάνους, καὶ περὶ τῆς [5] παρὰ τοῖς νεωτέροις [6] κωμικοῖς Ματτύης· ἣν Θετταλῶν φησιν εἶναι εὕρημα, ἐπιχωριάσαι τε καὶν ταῖς Ἀθήναις κατὰ τὴν Μακεδόνων ἐπικράτειαν. a Ὁμολογοῦνται δὲ οἱ Θετταλοὶ πολυτελέστατοι τῶν

1 θύμβραις edd. 2 γηθύῳ edd. 3 An ἔσται? 4 Immo καὶ ὄψου. 5 Temere παρὰ τῶν ed. Caſ. 3. 6 μεσωτέροις edd.

thymo recente & arido, ſatureiâ, coriandro recente & arido, & gethyo, & cepa pura toſta, aut papaveris ſemine, & uva paſſa, aut melle, & acidi mali Punici granis. Erit autem tibi idem myma & obſonium." [*ſive potius*: Idem autem myma, ait, etiam e piſcibus paraveris.]

83. Has tot res, non modo quas praedixi, ſed noſtras etiam aures cum concidiſſet pertudiſſetque ille homo; intravit alius, *mattyam* ferens. Super qua quum quaeſtio eſſet exorta, dixiſſetque Ulpianus ex Coquinariis Gloſſis praedicti Artemidori quae ad id edulium ſpectant; Aemilianus ait, librum editum eſſe a Dorotheo Aſcalonita, inſcriptum de Antiphane & Mattya apud recentiores Comicos: ubi ait, Theſſalorum inventum eſſe hoc edulium, Athenas autem introductum ſub Macedonum imperio. Eſt autem apud omnes in confeſſo,

Ἑλλήνων γεγενῆσθαι περὶ τε τὰς ἐσθῆτας καὶ τὴν δίαιταν· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο καὶ τοῦ κατὰ τῆς Ἑλλαδος ἐπαγαγεῖν τοὺς Πέρσας, ἐζηλωκόσι τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. ἱστορεῖ δὲ καὶ [1] περὶ τῆς πολυτελείας αὐτῶν καὶ Κρατῖνος [2] ἐν τῇ Πολιτείᾳ αὐτῶν. Ὠνομασθη δὲ ἡ ματτύη, ὡς μὲν ὁ Ἀθηναῖος Ἀπολλόδωρός φησιν ἐν τῷ πρώτῳ τῶν Ἐτυμολογουμένων, ἀπὸ τοῦ μασᾶσθαι, ὥσπερ καὶ ἡ μαστίχη, καὶ τὰ μάλιστα καὶ [ἡ μάζα.] [3] ἡμεῖς δὲ Φαμὲν b ἀπὸ τοῦ μάττειν, ἀφ' οὗ καὶ ἡ μάζα αὐτὴ ὠνομάσθη, καὶ ἡ παρὰ Κυπρίοις καλουμένη μαγίς· καὶ τὸ τρυφᾶν καθ' ὑπερβολὴν, ὑπερμαζᾶν. καταρχὰς μὲν οὖν τὴν δημοτικὴν καὶ κοινὴν ταύτην τροφὴν τὴν ἐκ τῶν ἀλφίτων μάζαν ὠνόμαζον· καὶ μάττειν, τὸ παρασκευάζειν αὐτήν. ὕστερον δὲ ποικίλλοντες τὴν ἀναγκαίαν τροφὴν ἀκολάστως καὶ περιέργως, μικρὸν παραγόν-

Nominis origo.

1 Rectius abeſſet καὶ particula. 2 Κριτίας fortaſſe. 3 Deſunt vulgo duae voces. μάσταξ ſupplet Heyn.

ſumtuoſiſſimos Graecorum fuiſſe Theſſalos & veſtitu & victu: quae etiam cauſſa illis fuit Perſas in Graeciam invitandi, cum illorum luxum & magnificentiam admirarentur. Narrat vero etiam de Theſſalorum profuſione Cratinus [*ſive potius*, Critias] in eorum Republica. Nomen autem invenit *mattya*, ut quidem Apollodorus Athenienſis ait primo libro Etymologiarum, a verbo μασᾶσθαι, (*mandere*) quemadmodum & *maſtix*, & *maza*. Nos vero dicimus nominatam eſſe a verbo μάττειν, (*pinſere*, *ſubigere*, *maccrare*) a quo & ipſa *maza* nomen invenit, & quae apud Cyprios *magis* vocatur, item verbum ὑπερμαζᾶν, quod *ſupra modum deliciis indulgere* ſignificat. Principio igitur plebeium hoc & commune omnium alimentum e farina, *mazam* nominarunt; & μάττειν, *parare mazam*. Inſequenti vero tempore, quum neceſſarium alimentum intemperantius & curioſius varia-

τες τοῦνομα τῆς μάζης, ματτύην ὠνόμαζον πᾶν τὸ
c πολυτελὲς ἔδεσμα· τὸ δὲ ματτυάζειν, τὸ παρασκευάζειν αὐτὰ, εἴτε ἰχθὺς εἴη, εἴτε ὄρνις, εἴτε λάχανον, εἴτε ἱερεῖον, εἴτε πεμμάτιον. [1] τοῦτο δὲ δῆλόν ἐστιν ἐξ οὗ καὶ ὁ Ἀρτεμίδωρος [2] παρέθετο μαρτυρίου [3] Ἀλέξιδος. συνεμφῆναι γὰρ βουλόμενος ὁ Ἀλεξις τὴν ἀκολασίαν τῆς παρασκευῆς, προσέθηκε τὸ λέπεσθαι. ἔχει δ' ἡ σύμπασα [4] ἐκλογὴ [οὕτως,] [5] οὖσα ἐκ τοῦ διεσκευασμένου δράματος, ὃ ἐπιγράφεται Δημήτριος·

Τοὖψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον
σκευάζετ', εὐωχεῖσθε, προπόσεις [6] πίνετε,
d λέπεσθε, ματτυάζετε. —

τῷ δὲ λέπεσθαι χρῶνται οἱ Ἀθηναῖοι ἐπὶ ἀσελγοῦς καὶ Φορτικῆς δι' ἀφροδισίων ἡδονῆς.

Καὶ ὁ Ἀρτεμίδωρος ἐν ταῖς Ὀψαρτυτικαῖς Γλώτ- LXXXIV.

1 εἴ τε μυ . . . μύττιον edd. 2 Forſ. Ἀπολλόδωρος. 3 μαρτύριον edd. 4 δὲ σύμπασα edd. 5 Vocem ex conject. adiecimus. 6 προπόσει vulgo.

rent, nonnihil producentes *mazae* nomen, *mattyam* vocabant quodvis ſumtuoſius edulium; ματτυάζειν vero, *talia edulia parare*, ſive piſcis eſſet, ſive avis, ſive olus, ſive quadrupes victima, ſive piſtorium opus. Adparet hoc ex Alexidis teſtimonio, quod Artemidorus [*ſive*, Apollodorus] etiam adpoſuit. Significare enim volens Alexis profuſam in paranda mattya luxuriam, adiecit verbum λέπεσθαι. Tota ecloga, ex inſtaurato dramate quod Demetrius inſcribitur deſumta, ſic habet:

Obſonium hoc, quod vobis miſſum eſt, ſumite,
parate illud, laute epulamini, propinationes bibite,
λέπεσθε, ματτυάζετε. —

Uſurpant autem Attici verbum λέπεσθαι de petulantiore & turpiore voluptatis venereae uſu.

84. Artemidorus quoque in Coquinariis Gloſſis *mat-*

Mattya, delicatum quodlibet edulium.

ταις τὴν ματτύην ἀποφαίνει κοινὸν εἶναι πάντων ὄνομα τῶν πολυτελῶν ἡδυσμάτων, γράφων οὕτως· „Ἔστι καί τις ὄρνιθος ματτύης. [1] ἐσφάχθω μὲν διὰ τοῦ στόματος εἰς τὴν κεφαλήν. ἔστω δὲ ἕωλος, καθάπερ ὁ πέρδιξ· ἐὰν δὲ θέλῃς, ὡς ἔχει τοῖς πτεροῖς, ἐᾶν τετιλμένην.“ [2] Εἶτα τὸν τρόπον ἐκθεὶς τῆς ἀρτύσεως καὶ τῆς ἑψήσεως, ἐπιφέρει εὐθὺς καὶ „Νομάδα παχεῖαν ἕψε, καὶ νεοσσοὺς τῶν ἤδη κοκκυζόντων, ἐὰν θέλῃς [3] παρὰ πότον χρῆσθαι. εἶτ' ἐξελὼν τὰ λάχανα εἰς τρυβλίον, καὶ τῆς ὄρνιθος τῶν κρεῶν ἐπιθεὶς παρατίθει· τοῦ θέρους ἀντὶ τοῦ ὄξους τῆς ὄμφακος ἐμβαλὼν εἰς τὸν ζωμὸν, ὡς ἔχει, τοὺς βότρυς· ἐπειδὰν δὲ ἐφθὴ γένηται, ἔξελε μετὰ τοῦ βοτρυδίου πρὸ τοῦ τὸ γίγαρτον ἐξαφεῖναι, εἶθ' οὕτως τὸ λάχανον κατάθρυπτε. οὗτος ματτύης [4] ἐν τοῖς ἡδίστοις.“ Ὅτι μὲν οὖν κοινὸν ἦν

1 εἴ τις τῆς ὄρνιθος ματτύης vulgo. Θέσις τῆς ὄρνιθος ματτ. corrigit Coray. 2 μὴ vel οὐ τετιλμ. legit Dalec. 3 ἐὰν δὲ θέλῃς edd. 4 οὕτως ματτύοις edd.

tyam ſignificat eſſe commune nomen omnium ciborum ſumtuoſe conditorum, ita ſcribens: »Eſt etiam mattya ex gallina aut alia ave. Mactetur avis cultro per os in caput adacto. Servetur autem in poſterum diem, quemadmodum perdix. Si vis, ſines eam ut eſt cum pennis, plumis evulſis.« Deinde poſtquam condituram expoſuit & coquendi rationem, continuo etiam haec ſubiicit: »Altilem gallinam coque, & pullos iam gallulaſcentes, ſi volueris inter pocula veſci. Deinde olus ollâ exemtum in patinam transfer, & ſuperne impoſitis gallinae fruſtis menſae adpone. Aeſtate, loco aceti, acerbae uvae racemos, ita ut a vite decerpuntur, in ius iniice: poſtquam vero cocta uva eſt, extrahe eam cum acinis priusquam grana excidant, deinde olus comminue. Haec mattya eſt ex ſuaviſſimis.« Eſſe igitur

f τοῦνομα τῶν πολυτελεστάτων ἐδεσμάτων, φανερόν. ὅτι δὲ καὶ ὁ τρόπος τῆς τοιαύτης εὐωχίας ὁμοίως ἐλέγετο, Φιλήμων φησὶν ἐν Ἁρπαζομένῳ·

Γυμνῷ φυλακὴν ἐπίταττε, καὶ διὰ τριῶν
ποτηρίων με ματτύης εὐφραινέτω. [1]

καὶ ἐν Ἀνδροφόνῳ·

Πιεῖν τις ἡμῖν ἐγχεάτω, καὶ ματτύην
ποιεῖτε θᾶττον. —

Ἄλεξις δ' ἐν Πυραύνῳ ἀμφιβόλως εἴρηκεν·

a Ἐγὼ δ' ἐπειδὰν ἀσχολουμένους λάβω,
ἀνέκραγον· οὐ δώσει τις ἡμῖν ματτύην;

ὥσπερ ἂν εἰ τὸ δεῖπνον ἔλεγεν. πιθανὸν δὲ καὶ ἰδίως ἐπὶ τῶν ἐδεσμάτων ἀναφέρειν. Μάχων δ' ὁ Σικυώνιος τῶν μὲν κατὰ Ἀπολλόδωρον τὸν Καρύστιον κωμῳδιοποιῶν εἷς ἐστι καὶ αὐτὸς, οὐκ ἐδίδαξε δ' Ἀθήνησι τὰς κωμῳδίας τὰς ἑαυτοῦ, ἀλλ' ἐν Ἀλεξανδρείᾳ. ἦν δ' Machon, poëta comicus.

1 ἐμφαινέτω ed. Ven. & Baſ. εὐφραινέτο ed. Caſ.

commune nomen exquiſitiſſimorum ciborum adparet. Idem vero nomen ſubinde etiam de epulo uſurpari ex talibus cibis compoſito, Philemon docet in Rapto:

Nudo cuſtodiam adpone, & tria inter
pocula me mattya obleƈtet.

& in Homicidâ:

Quod bibamus infundat nobis quiſpiam, & mattyam
ocyus parate. —

Alexis vero in Pyrauno ambigue dixit:

Ego vero ubi occupatos deprehendi,
exclamavi: Annon nobis dabit aliquis mattyam?

quaſi *coenam* dixiſſet: poſſis vero etiam proprie ad *cibos* referre. Machon Sicyonius unus e comicis poëtis fuit, qui Apollodori Caryſtii aetate vixerunt, nec vero Athenis ſuas docuit fabulas, ſed Alexandriae. Fuit autem

Pleias. ἀγαθὸς ποιητὴς, εἴ τις ἄλλος, τῶν μετὰ τοὺς ἑπτά· διόπερ ὁ γραμματικὸς Ἀριστοφάνης ἐσπούδασε συσχολάσαι αὐτῷ, νέος ὤν. ἐποίησε δὲ καὶ οὗτος ἐν δράματι Ἀγνοίᾳ ταυτί· b

Ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ' εἴ τε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατέδειξαν [1] ἡμῖν, εἴ τε πάντες οἱ θεοὶ,
οὐκ οἶδα· πλήν γ' ὅτι [2] μουσικωτάτου τινός.

LXXXV. Mattya, extremum epuli ferculum.

Ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο, Νικόστρατός φησιν ἐν Ἀπελαυνομένῳ. μάγειρος δ' ἐστὶν ὁ διηγούμενος, ὡς λαμπρὰν καὶ εὔτακτον παρεσκεύασεν εὐωχίαν· προδιηγησάμενός τε οἷον ἦν τὸ ἄριστον καὶ τὸ δεῖπνον, καὶ τρίτης μνησθεὶς παραθέσεως, ἐπιφέρει· c

Εὖγ', ἄνδρες, [3] εὖ σφόδρ'· ἀλλὰ μὴν τῇ ματτύῃ
οὕτω διαθήσω τὰ μετὰ ταῦθ', ὥστ' οἴομαι,

1 κατεδίδαξαν ed. Ven. & Baſ. cum msstis. 2 πλὴν ἔστι γε μουσ. vulgo. 3 Εὖ γε τ' ἄνδρες vulgo.

bonus poëta, ſi quis alius poſt claros illos ſeptem: quare etiam Ariſtophanes Grammaticus, iuvenis cum eſſet, ad illius familiaritatem ſeſe adplicuit. Sunt autem illius etiam verſus huiusmodi, in fabulâ Ignorantiâ:

Suavius mihi nihil eſt quam mattya.
Hoc utrum primi Macedones nos Atticos
docuerint, an Dii ſimul omnes, neſcio:
illud ſcio, inventum eſſe cultiſſimi cuiusdam ingenii.

85. *Poſtremum* autem omnium *ferculorum* adponi ſolitum eſſe *mattyam*, Nicoſtratus docet in Expulſo. Coquus eſt qui exponit quam ſplendidum & bene ordinatum inſtruxiſſet epulum. Is igitur poſtquam praedixit quale fuerit prandium & coena, atque tertium memoravit miſſum, ſic pergit:

Euge, viri, recte admodum: at enim adpoſitâ mattyâ
ſic ea quae ſuperſunt adminiſtrabo, ut perſuaſum habeam,

οὐδ' αὐτὸν ἡμῖν τοῦτον ἀντερεῖν ἔτι.

καὶ ἐν Μαγείρῳ·

Θρίον δὲ καὶ κάνδυλον, [1] ἢ τούτων τί τῶν
εἰς ματτύην, οὐδέτερον εἶδε πώποτε.

Ἄλλος δέ τις φησί·

— περιφέρειν ματτύην, ποδάριον
καὶ γαστρίον τακερόν τι, καὶ μήτρας [2] ἴσως.

Διονύσιος δ' ἐν Ἀκοντιζομένῳ· μάγειρος δέ ἐστιν ὁ λέγων·

Ὥστ' ἐνίοτ' ἂν [3] τούτοισι [4] ποιῶν ματτύην,
σπεύδων ἅμ' εἰσήνεγκα διαμαρτὼν μίαν
ἄκων περιφορὰν τῶν νεκρῶν ὡς τὸν νεκρόν.

Φιλήμων, ἐν Πτωχῇ·

Ἐξὸν ἀποσάττεσθαι δ' ὅλην [5] τὴν ἡμέραν,
ποιοῦντα καὶ διδόντα ματτύας ἐκεῖ.

1 κάνδαυλον puto ſcrib. 2 μήτραν fortaſſe. 3 Ὥστ' ἂν ἐνίοτ' ἂν edd. 4 τούτου τοῖσι Ms. 5 δ' ὅλην Ms.

ne hunc quidem ipſum amplius contra dicturum.

& in Coquo:

Thrium & caudaulum, aut horum quidpiam
quae ad mattyam faciunt, vidit ille numquam.

Alius vero ait:

— *Circumferre, pro mattyâ, tenerum aliquem pedem,*
& molle ſumen, & vulvas fortaſſe.

Dionyſius vero in Acontizomeno: (in Iaculis-petito:) eſt autem coquus loquens:

Quare aliquando cum his pararem mattyam,
feſtinans ſimul intuli errans invitus
unum ferculum mortuorum ad mortuum.

Philemon, in Mendicâ:

Cum ſaburrari liceat per totum diem,
& facere dareque mattyas ibi.

Μόλπις δ' ὁ Λάκων τὰ παρὰ τοῖς Σπαρτιάταις ἐπαίκλεια,[1] ὃ σημαίνει τὰς ἐπιδειπνίδας, ματ- e
τύας φησὶ λέγεσθαι παρὰ τοῖς ἄλλοις. ὁ δὲ Κυνικὸς Μένιππος ἐν τῷ ἐπιγραφομένῳ Ἀρκεσιλάῳ[2] γρά-
φει οὕτως· „Πότος ἦν ἐπικωμασάντων τινῶν, καὶ ματτύην ἐκέλευσεν εἰσφέρειν Λάκαινά τις· καὶ εὐθέως περιεφέρετο περδίκια[3] ὀλίγα, καὶ χηνία[4] ὀπτὰ, καὶ τρυφὴ[5] πλακούντων." Τὸ δὲ τοιοῦτον δεῖπνον οἱ μὲν Ἀττικοὶ προσηγόρευον ἐπιδόρπισμα· οἱ δὲ Δωριεῖς ἐπαί-
κλον·[6] τῶν δ' ἄλλων Ἑλλήνων οἱ πλεῖστοι ἐπίδειπνα. f

Τοσούτων καὶ περὶ τῆς ματτύης λεχθέντων, ἔδοξεν ἀπιέναι· καὶ γὰρ ἑσπέρα ἦν ἤδη. καὶ διελύθημεν οὖν[7] οὕτως.

1 ἐπαίχλια ms. *Ep.* inter lin. 2 Temere Ἀρχεσιλάῳ ed. Caſ. 2. & 3. 3 περδίχεια ms. *Ep.* inter lin. 4 χήνεια ms. *Ep.* 5 τρύφη forſan. 6 ἔπαιχλον edd. 7 Deeſt vox editis.

Porro Molpis Lacedaemonius ait, quae apud Spartanos *epaeclea* vocantur, quod ſignificat coenarum auctaria, ſive poſtcoenia, ab aliis *mattyas* dici. Menippus vero Cynicus, in libro qui Arceſilaus inſcribitur, ita ſcribit: »Compotatio erat nonnullorum comiſſantium, & *mattyam* iuſſit inferri Lacaena quaedam: & ſtatim circumferebantur perdiculae nonnullae, & anſerculi aſſi, & placentarum lautitiae. [*ſive*, & anſerum aſſorum, & placentarum fruſta.]« Talem vero coenam Attici *epidorpiſma* vocabant; Dores vero *epaeclon*, reliquorum Graecorum plerique *epideipna*.

His etiam de *mattya* disputatis, quum iam adveſperaſſet, viſum eſt domum discedere: atque ita, ſoluto convivio, digreſſi ſumus.

ΑΘΗΝΑΙΟΥ
ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ
ΒΙΒΛΙΟΝ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΝ.

I. Libri Argumentum.

p. 665 a

Εἴ μοι τὸ Νεστόρειον εὔγλωσσον μέλι [1]
Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεὸς,
κατὰ τὸν πάνσοφον Εὐριπίδην, ἑταῖρε Τιμόκρατες,
οὐκ ἂν δυναίμην —
ἀπομνημονεύειν ἔτι σοι τῶν [2] πολλάκις λεχθέντων ἐν τοῖς περισπουδάστοις τούτοις συμποσίοις, διά τε τὴν ποικιλίαν καὶ τὴν ὁμοιότητα [3] τῶν ἀεὶ καινῶς προσευ-

1 μέλος vulgo. 2 πάντων τῶν exſpectabam. 3 τὴν ἀνομοιότητα Dalec.

ATHENAEI
DEIPNOSOPHISTARUM
LIBER DECIMUS QUINTUS.

Si mihi Neſtoris melleam eloquentiam
Antenorisque Phrygis Deus tribueret,
ut ait ſapientiſſimus Euripides; mi Timocrates,
non tamen valerem —
tibi adhuc commemorare omnia quae ſubinde disputata ſunt in illis exoptatiſſimis conviviis, propter varietatem rerum quae peraeque novae ſemper adinventae

ρισκομένων. καὶ γὰρ καὶ περὶ τάξεως τῶν περιφορῶν πολλάκις ἐλέχθη, καὶ περὶ τῶν μετὰ τὸ δεῖπνον ἐπι- b
τελουμένων, ἅπερ καὶ μόλις ἀναπεμπάζομαι, εἰ-
πόντος τινὸς τῶν ἑταίρων τὰ ἐκ τῶν Λακώνων Πλά-
τωνος ἰαμβεῖα·

Ἄνδρες δεδειπνήκασιν ἤδη σχεδὸν ἅπαντες. εὖγε·
τί οὐ τρέχων σὺ τὰς τραπέζας ἐκφέρεις; Ἐγὼ δὲ
λίτρον [1] παραχέων [2] εἰσέρχομαι. κἀγὼ δὲ παρα-
κορήσων· [3]
σπονδὰς δ' ἔπειτα παραχέας, τὸν κότταβον παρ-
οίσω·
τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη προχείρους εἶναι, 5 c
καὶ προσαναφυσᾶν. τὸ μύρον ἤδη παράχεον βα-
δίζων
Αἰγύπτιον, κἄτ' ἴρινον· στέφανον δ' ἔπειθ' ἑκάστῳ
δώσω φέρων τῶν ξυμποτῶν. νεόκρατά τις ποιείτω.

1 λουτρὸν vel νίπτρον corr. viri docti. 2 Aut nude χέων, aut ἔρχομαι legend. 3 παρακορήσω corr. Herm.

ſunt. Nam & de ordine ferculorum ſaepius diſputatum eſt, & de his quae poſt coenam peraguntur; quae aegre quidem, ſed revoco tamen in memoriam, Platonis iambos illos ex Laconibus cogitans, qui ab aliquo convivarum recitati ſunt:

Coenarunt iam fere convivae omnes. Euge,
quin tu ocyus menſas remove? Ego vero
nitrum (malluvium) *fundens ingredior. Et ego pavi-*
mentum everram:
deinde quum libamina infudero, cottabum adferam.
Puellam hanc oportebat tibias iam in promtu habere,
& inflare. I tu, unguentum iam adfunde,
Aegyptium ſtatim, tum irinum;
& ego deinde coronas ſingulis
diſtribuam convivis. Denuo vinum miſceat quiſpiam!

καὶ δὴ κέκραται. Τὸν λιβανωτὸν ἐπιτιθεὶς εἶπε [1]
d σπονδὴ μὲν ἤδη [2] γέγονε, καὶ πίνοντες ἤδη πόρ-
ρω· [3] 10
καὶ σκολιὸν ᾖσται, κότταβος δ' ἐξοίχεται θύραζε.
αὐλοὺς δ' ἔχουσά τις κορίστη Καρικὸν μέλος τι [4]
μελίζεται τοῖς συμπόταις· κ' ἄλλην [5] τρίγωνον εἶ-
δον
ἔχουσαν, εἶτ' [6] ἦδεν πρὸς αὐτὸ μέλος Ἰωνικόν τι.

Μετὰ ταῦτ' οἶμαι [7] καὶ περὶ κοττάβων ζήτησις II.
e ἦν καὶ τῶν ἀποκοτταβιζόντων. οὓς οἰηθείς τις τῶν παρόν- Ἀποκοτταβίζειν, *vomere.*
των ἰατρῶν εἶναι τούτων, οἳ ἀπὸ βαλανείου [8] καθάρ-
σεως ἕνεκα τοῦ στομάχου πίνοντες ἄμυστιν ἀποβλύ-
ζουσιν, [9] ἔφη οὐκ εἶναι παλαιὰν ταύτην παράδοσιν,
οὐδὲ εἰδέναι τινὰ τῶν ἀρχαίων ταύτῃ τῇ καθάρσει χρη-
σάμενον. διὸ καὶ Ἐρασίστρατον τὸν Ἰουλιήτην ἐν τῇ

1 ἐπιτίθου. σὺ δ' εἶπε corr. Herm. 2 σκονδὴ με Ms. ποῦ δήμε † ἤδη edd. ποῦ δὴ μέλος; corr. Caſ. ποῦ δὴ μέθυ ἤδη γεγ. Herm. 3 καὶ ἔπινόν γ' ἤδη πόρρω corr. Caſaub. 4 Abeſt τι vulgo. 5 καλὴν Ms. συμπόταισι καλὴν edd. 6 ἦτ' edd. 7 Forſ. ἡμῖν. 8 Temere ἐπὶ βαλ. ed. Caſ. 2. & 3. 9 ἀποκλύζουσιν ms. *Ep.*

Iamque mixtum eſt: & thure impoſito dixit, Fiat libatio!
Iamque facta libatio eſt: bibebantque iam longius,
& ſcolion (convivale carmen) *canebatur: & foras*
exit cottabus.
Tibias autem habens puella, Caricum melos quodpiam
canit convivis: & aliam vidi trigonum
tenentem, ad illudque Ionicum canentem canticum.

2. Poſthaec etiam de *cottabis*, puto, quaeſtio agitabatur, & de *cottabiſſantibus*. Quos cum praeſentium medicorum aliquis putaret eſſe ex eorum numero, qui poſt balneum, purgandi ventriculi cauſſâ, vinum largiter hauſtum evomunt; haud antiquum eſſe illud inſtitutum ait, nec ullum ſe noſſe veterum, qui eo purgationis genere uſus ſit. Itaque Eraſiſtratum Iulienſem

Περὶ τῶν Καθόλου πραγματείαν ἐπιτιμᾶν τοῖς τοῦτο a
ποιοῦσι, βλαπτικὸν ὀφθαλμῶν τὸ ἐπιχείρημα δεικνύων, καὶ τῆς κάτω κοιλίας ἐπισχετικόν. πρὸς ὃν Οὐλπιανὸς ἔφη·

Ὄρσ' Ἀσκληπιάδη, καλέει κρείων σε Χαρωνεύς.

Οὐ γὰρ κακῶς τινι τῶν ἑταίρων ἡμῶν ἐλέχθη τὸ, εἰ μὴ ἰατροὶ ἦσαν, οὐδὲν ἂν ἦν τῶν γραμματικῶν μωρότερον. τίς γὰρ ἡμῶν οὐκ οἶδεν, ὅτι οὐκ ἦν οὗτος ὁ ἀποκοτταβισμὸς ἀρχαῖος; εἰ μή τι σὺ καὶ τοὺς Ἀμειψίου ἀποβλύζειν ὑπολαμβάνεις. Ἐπεὶ οὖν ἄπειρος εἶ τῆς τοιαύτης θεωρίας, μάθε παρ' ἐμοῦ, ὅτι πρῶτον b
μὲν ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστι παιδιά· ταύτην πρώτων [1] εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς Ἐλεγείοις διὰ τούτων·

Cottabi ludus, Siculum inventum.

Κότταβος ἐκ Σικελῆς ἐστι χθονὸς ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων [2] τόξα καθιστάμεθα.

Δικαίαρχος δ' [3] ὁ Μεσσήνιος, [4] Ἀριστοτέλους μαθη-

1 πρῶτον edd. 2 λαταγῶν edd. 3 Abeſt δ' vulgo. 4 ὁ Μιλήσιος edd.

in opere De Univerſa Medicina, reprehendere eos qui id faciunt; oſtenderequeque, oculis nocere illud inſtitutum, & alvum cohibere. Cui Ulpianus ait:

Surge Aſclepiades, vocat te rex Charoneus.

Nec enim male ab aliquo ſodalium noſtrorum dictum eſt, *niſi eſſent Medici, nihil ſtultius fore Grammaticis.* Quis enim noſtrûm ignorat, non eſſe antiquum hoc genus cottabiſſandi? niſi fortaſſe etiam Ameipſiae Cottabiſſantes vomuiſſe putas. Quoniam igitur neſcis quid ſit hoc de quo quaerimus; disce a me, Siculum eſſe inventum cottabi ludum. Nam, primos illum inveniſſe Siculos, Critias docet Callaeſchri filius in Elegiis, ubi ait:

Cottabus e Sicula eſt terra, pulcerrimum inventum,
quem ſcopum ponimus, quo iaculamur latagis.

Dicaearchus vero Meſſenius, Ariſtotelis diſcipulus, in li-

τὴς, ἐν τῷ Περὶ Ἀλκαίου, καὶ τὴν λατάγην φησὶν εἶναι Σικελικὸν ὄνομα. λατάγη δ' ἐστὶ τὸ ὑπολειπόμενον ἀπὸ τοῦ ἐκποθέντος ποτηρίου ὑγρὸν, ὃ συνεστραμμένῃ τῇ χειρὶ ἄνωθεν ἐρρίπτουν οἱ παίζοντες εἰς τὸ κοτταβεῖον. [1] Κλείταρχος δ' ἐν τῇ Περὶ Γλωττῶν πραγματείᾳ, λατάγην Θεσσαλοὺς καὶ Ῥοδίους τὸν ἀπὸ τῶν ποτηρίων κότταβον λέγειν. Latax, vel lataga.

III.

Κότταβος δ' ἐκαλεῖτο καὶ [2] τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, ὡς Εὐριπίδης παρίστησιν ἐν Οἰνεῖ, λέγων οὕτως· Cottabus: de vase, & de praemio cottabismi.

Πυκνοῖς δ' ἔβαλλον Βακχίου [3] τοξεύμασι
κάρα γέροντος· τὸν βάλλοντα δὲ στέφειν
ἐγὼ τετάγμην, ἆθλα κοττάβων [4] δίδους.

Ἐκαλεῖτο δὲ κότταβος καὶ τὸ ἄγγος εἰς ὃ ἔβαλλον τὰς λατάγας, [5] ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσι. [6]

1 κοττάβιον ms. *Ep.* 2 Deest καὶ edd. 3 Βακχείου mss. 4 κότταβον legisse videtur Athenaeus. 5 Forſ. τὰς λάταγας. 6 Inferenda hîc videntur haec: Ὅτι δὲ καὶ χαλκοῦν ἦν, Εὔπολις ἐν Βάπταις λέγει· »Χαλκῷ περὶ κοττάβῳ.«

bro de Alcaeo ait, *latagam* etiam Siculum esse vocabulum. Est autem *lataga* residuus in poculo epoto liquor; quem contracta (*vel*, contorta) manu in altum iaciebant ludentes, quo in cottabeum decideret. Clitarchus vero, in opere de Glossis, *latagam*, ait, Thessalos ac Rhodios vocare cottabum [*id est*, sonitum *vel* strepitum] e poculis.

3. *Cottabus* vero etiam vocabatur praemium victoribus inter pocula propositum; quemadmodum Euripides in Oeneo docet, ubi ait:

Frequentibus petebant Bacchi iactibus
caput senis: ferientem vero coronare
ego iussus eram, praemium dans cottabum.

Vocabatur vero *cottabus* etiam vas, in quod iactabant latagas, ut Cratinus ostendit in Nemesi. Plato vero, in

Πλάτων δ', ἐν Διὶ κακουμένῳ, παιδιᾶς εἶδος [1] παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ δυσκυβοῦντες. λέγει δ' οὕτως·

Α. Πρὸς κότταβον παίζειν, ἕως ἂν σφῷν ἐγὼ
τὸ δεῖπνον [ὧδε] σκευάσω, [2] πάνυ βούλομαι.
Ἀλλ' † ἄνεμος ἐστάλεις [3] θυΐαν παῖς τεὸν [4]
φέρε τὴν θυείαν, [5] αἶρ' ὕδωρ, ποτήρια
παράθετε. [6] Β. Παίζωμεν δὲ περὶ φιλημάτων. 5 e
— Α. Ἀγεννῶς οὐκ ἐῶ. [7]
παίζειν τίθεμαι κοττάβεια [8] σφῷν ἐγὼ,
τασδί γε τὰς κρηπῖδας, ἃς αὐτὴ φορεῖ,
καὶ τὸν κότυλον τὸν σόν. Β. Βαβαιάξ· οὗτοσὶ [9]
μείζων ἀγὼν τῆς [10] Ἰσθμιάδος ἐπέρχεται. 10

1 οἶνος ms. *A.* 2 Vulgo, τὸ δεῖπνον ἐσκευάσω. 3 ἐστάλλεις Ms. 4 Temere θεὸν ed. Caſ. Legendum fortaſſe :
Ἀλλ' ἄγε, δὸς ὡς τάχος (vel, Ἀλλ' ἄνεμος ὡς σταλεὶς) θυείαν παιστικήν.
5 θυΐαν vulgo. 6 παραθές τε corr. Iac. 7 *Delendum* videtur *comma poſt* ἐῶ, & dein *verſ. ſq.* ſic ſcribendum, παίζειν. τίθεμαι δὲ κοττάβ. Sed Caſaub. tenens diſtinctionem poſt ἐῶ, deinde legebat παίζειν δὲ τίθεμαι κοττ. 8 κοττάβια edd. κοττάβεῖα corrigunt viri docti. 9 οὗτοῖσι edd. 10 ἀγωνιστὴς vulgo.

Iove male-adfecto, ludi genus inter pocula declarat eſſe cottabum, in quo vasculis ſuis vincenti cedebant hi qui parum feliciter iaciebant. Verba poëtae haec ſunt :

A. *Cottabo vos ludere, donec vobis duobus*
parata intus coena fuerit, admodum velim.
At age, ocyus pilam luſoriam,
pilam, inquam, adfer; aquam hauri; pocula
adponite. B. *De oſculis autem ludamus.*
A. *Ignobile hoc fuerit: non patiar.*
Cottabea vero ludentibus vobis propono,
hasce quas illa geſtat crepidas,
& poculum tuum. B. *Papae! hoc*
maius certamen quam Iſthmiadis inſtat.

IV. Cottabus catactus, sive pensilis.

Ἐκάλουν δὲ καὶ κατακτούς τινας κοττάβους. ἔστι δὲ λυχνία ἀναγόμενα, πάλιν τε συμπίπτοντα. Εὔβουλος, Βελλεροφόντῃ·

Τίς ἂν λάβοιτο τοῦ σκέλους κάτωθε μοί!
f ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

Ἀντιφάνης δ' ἐν Ἀφροδίτης γοναῖς·

Α. Τονδὶ [1] λέγω· σὺ δ' οὐ συνιεῖς; [2] κότταβος
τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν. ὠὰ μὲν,
καὶ πέμμα καὶ τράγημα, νικητήριον. [3]
Β. Περὶ τοῦ γελοίου [4] κοτταβιεῖτε. τίνα τρόπον;
Α. Ἐγὼ διδάξω καθ' ὅν. ὃς ἂν [5] τὸν κόττα βον
ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσῃ πεσεῖν, — [6]
Β. Πλάστιγγα ποίαν; τοῦτο τοὐπικείμενον
ἄνω τὸ μικρὸν τὸ πινακίσκιον λέγεις;

1 Τὸν δὴ edd. Τονδεὶ Ms. 2 συνῖνς edd. συνιεὶς Ms. 3 Vulgo πέντε νικητήριον, & desunt reliqua verba. 4 περὶ τοῦ; γελοῖον κοττ. edd. 5 καθ' ὅσον ἂν vulgo. 6 Desunt vulgo verba ποιήσῃ πεσεῖν, & Πλάστιγγα ποίαν.

4. Vocabant vero etiam *catactos* sive *deorsum actos* [alii *pensiles* interpretantur] cottabos quosdam. Sunt autem candelabra, quae sursum trahuntur, rursusque descendunt. Eubulus, Bellerophonte:

Ecquis mihi inferne crus prehendat!
nam, veluti cottabeum, sursum tollor.

Antiphanes, in Veneris Natalibus:

A. *Hunc ipsum dico: tu vero non intelligis? Cottabus*
istud candelabrum est, adverte animum: ova vero,
& pemma, & tragema, sunt victoriae praemia.
B. *De re ridiculâ cotabissabitis. Quonam vero modo?*
A. *Ego docebo quo. Quisquis cottabum*
iaculans in plastingem, descendere eam fecit, —
B. *Plastingem? qualem? hanccine superne*
impositam exiguam dicis lanciculam?

Α. Τοῦτ' ἔστι πλάστιγξ. — οὗτος ὁ κρατῶν γίνε- a
ται.
Β. Πῶς δ' εἴσεταί τις τοῦτ'; Α. Ἐὰν [1] τύχῃ μόνον
Manes. αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται, καὶ ψόφος 11
ἔσται πάνυ πολύς. Β. Πρὸς θεῶν. τῷ κοττάβῳ
πρόσεστι καὶ Μάνης τις, ὥσπερ οἰκέτης;
Καὶ μετ' ὀλίγα·
Β. Ὦι δεῖ λαβὼν τὸ ποτήριον δεῖξον νόμῳ.
Α. Αὐλητικῶς δεῖ [2] καρκινοῦν τοὺς δακτύλους, 15
οἴνου τε μικρὸν ἐγχέαι, καὶ μὴ πολύν·
ἔπειτ' ἀφήσεις. Β. Τίνα τρόπον; Α. Δεῦρο βλέπε. b
τοιοῦτον. Β. Ὦ Πόσειδον, ὡς ὕψους σφόδρα!
Α. Οὕτω ποιήσεις. Β. Ἀλλ' ἐγὼ μὲν σφενδόνῃ
οὐκ ἂν ἐφικοίμην αὐτόσ'. Α. Ἀλλὰ μάνθανε. 20

V.

Mollis dextrae flexus in cottabi ludicro.

Ἀγκυλοῦντα γὰρ [3] δεῖ σφόδρα τὴν χεῖρα εὐρύ-
θμως πέμπειν τὸν κότταβον, ὡς Δικαίαρχός φησιν,

1 τοῦτό γ' ἂν edd. τοῦτο ἂν ms. 2 δὲ vulgo. 3 Deeſt γὰρ edd.

A. *Haec plaſtinx eſt:* — *is igitur victor discedit.*
B. *At quomodo hoc cognoſcitur?* A. *Si modo attigerit*
illam, cadet illa ſuper manem, & ſtrepitus
fiet ingens admodum. B. *Proh Dii! ergo cottabo*
adeſt etiam Manes aliquis, tamquam famulus.

Et paucis interiectis ſic pergit:

B. *Cape poculum, & oſtende quonam modo* [faciendum].
A. *Veluti tibicen incurvare oportet digitos,*
& parum vini infuſum habere, non utique multum:
deinde emittes. B. *Quo modo?* A. *Huc ſpecta!*
tali modo. B. *O Neptune, quantam in altitudinem!*
A. *Ita facies.* B. *At ego ne fundâ quidem*
eo usque pertigero. A. *Sed disce.*

5. Etenim incurvatâ valde manu concinno quodam modo emittere cottabum oportet, ut Dicaearchus ait,

καὶ Πλάτων δ' ἐν τῷ Διὶ τῷ κακουμένῳ παρακελεύεταί τις τῷ Ἡρακλεῖ, μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβίζειν. Ἐκάλουν δ' ἀπ' ἀγ-
c κύλης τὴν τοῦ κοττάβου πρόεσιν, διὰ τὸ ἀπαγκυλοῦν τὴν δεξιὰν χεῖρα ἐν τοῖς ἀποκοτταβισμοῖς. οἱ δὲ, ποτηρίου εἶδος τὴν ἀγκύλην, φασί. Βακχυλίδης ἐν Ἐρωτικοῖς· „Εὖτε —

τὴν ἀπ' ἀγκύλης ἵησι, τοῖσδε τοῖς νεανίαις [1]
λευκὸν ἀντείνασα [2] πῆχυν.“

καὶ Αἰσχύλος δ' ἐν Ὀστολόγοις ἀγκυλητοὺς λέγει κοττάβους, διὰ τούτων·

— Εὐρύμαχος, οὐκ ἄλλος, [3] οὐδὲν ἥσσονας [4]
ὕβριζ' ὑβρισμοὺς, οὐκ ἐναισίους [5] ἐμοί.
ἦν μὲν γὰρ αὐτῷ κότταβος ἀεὶ τοὐμὸν κάρα [6]
d τοῦ δ' ἀγκυλητοῦ κόσσαβός [7] ἐστι σκοπὸς

1 τοῖς δὲ τοῖσι νεανίαις edd. Alibi nude ἵησι τοῖς νεανίαις. 2 Ibidem ἐντείνασα. 3 Εὐρύμαχος οὖν τις ἄλλος corr. Caſ. 4 ἧσσον Ms. 5 αἰνέσιους vulgo. 6 τοῦ μὲν κ' ἄρα edd. τοῦ μὲν κάρα Ms. 7 κοσσάβιος Ms. Vide pag. ſeq.

itemque Plato in Iove male-adfecto, ubi hortatur aliquis Herculem, *ne duram habeat manum, ſi velit cottabum iaculari.* Vocabant autem ἀπ' ἀγκύλης (quaſi dicas, *e curvâ*) ipſam cottabi proiectionem, eo quod in cottabiſmo *incurvare* oportet (ἀπαγκυλοῦν) dextram manum. Alii vero, τὴν ἀγκύλην (*anculam*) poculi genus eſſe aiunt. Bacchylides, in Eroticis:

Quando illa (laragam) *ex ancula* (ἀπ' ἀγκύλης) *proiecit,*
hisce adoleſcentibus candidum protendens brachium.

Aeſchylus vero etiam, in Oſſilegis, *anculatos* (ἀγκυλητοὺς) *cottabos* dixit, his verbis:

Eurymachus, non alius, nihilo minoribus
contumeliis me adfecit, indignis prorſus.
Erat enim ei ſemper hoc meum caput
& anculatis eius cottabis opportunus ſcopus,

† ἐκτεμὼν ἠβῶσα χεὶρ [1] ἐφίετο.

Ὅτι δὲ ἆθλον προὔκειτο τῷ εὖ προεμένῳ τὸν κότταβον, προείρηκε μὲν καὶ ὁ Ἀντιφάνης· ὠὰ γάρ ἐστι καὶ πεμμάτια καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται Κηφισόδωρος ἐν Τροφωνίῳ, καὶ Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψι, καὶ Εὔπολις, Ἑρμιππός τε ἐν τοῖς Ἰάμβοις. Τὸ δὲ καλούμενον κατακτὸν κοττάβιον τοιοῦτόν ἐστί· λυχνίον ἐστὶν ὑψηλὸν, ἔχον τὸν μάνην καλούμενον, ἐφ' ὃν [2] τὴν καταβαλλομένην ἔδει πεσεῖν πλάστιγγα, ἐντεῦθεν δ' ἔπιπτεν εἰς λεκάνην ὑποκειμένην πληγεῖσαν τῷ κοττάβῳ· καί τις ἦν ἀκριβὴς εὐχειρία τῆς βολῆς. μνημονεύει δὲ τοῦ Μάνου [3] Νικοχάρης ἐν Λάκωσιν.

Cottabus catactus.

VI. Ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ. αὕ-

1 χεῖρ' edd. Tres poſtremi verſus tali quodam modo corrigendi videntur:

ἦν μὲν γὰρ αὐτῷ τοῦτ' ἀεὶ τοὐμὸν κάρα
τοῖς ἀγκυλήτοις κοσσάβοις ἐπίσκοπον,
οὗ ἐκτενῶς ἠβῶσα χεὶρ ἐφίετο.

2 ἐφ' οὗ edd. 3 καὶ Νικοχάρης malebam.

quem impenſe laſciviens manus eius petebat.

Fuiſſe autem *praemium* propoſitum ei, qui recte iacularetur cottabum, Antiphanes in verbis ſupra adpoſitis declaravit. Sunt enim *ova & placentae & bellaria.* Similiterque etiam exponunt Cephiſodorus in Trophonio, & Callias ſive Diocles in Cyclopibus, & Eupolis, & Hermippus in Iambis. Quod autem *catactum* vocatur *cottabium*, tale eſt: Candelabrum eſt elatum, habens manem qui vocatur, ſuper quem incidere oportebat depreſſam lancem; inde vero decidebat ille in ſubiectam pelvim cottabo percuſſam: & erat quaedam adcurata in iactando dexteritas. Meminit vero Manis (etiam) Nicochares in Laconibus.

6. Eſt vero aliud huius ludicri genus, quod in pelvi

Aliud Cottabi genus.

τη δ' ὕδατος πληροῦται, ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενὰ, ἐφ' ἃ βάλλοντες τὰς λατάγας [1] ἐκ καρχησίων ἐπειρῶντο καταδύειν· ἀνῃρεῖτο δὲ τὰ κοττάβια [2] ὁ πλείω καταδύσας. Ἀμειψίας, Ἀποκοτταβίζουσιν ἢ Μανίᾳ· [3]

— — Φέρ' ὀξύβαφα καὶ κανθάρους,
καὶ τὸν ποδανιπτῆρ', [4] ἐγχέασα θ' ὕδατος.

Κρατῖνος, ἐν Νεμέσει·

„ Τῷ δὲ [5] κοττάβῳ προθέντας ἐν πατρικοῖσιν νόμοις τὸ κεινέου ὀξυβάφοις [6] βάλλειν μὲν τῷ πόντῳ δὲ βάλλοντι νέμω πλεῖστα τύχης. τὸ δ' ἆθλον." [7]

Ἀριστοφάνης Δαιταλεῦσιν,

Ἔγνωκ' ἐγὼ δὲ χάλκιον, [8]
τοῦτ' ἔστι κοττάβειον, [9] ἱστάναι καὶ μυρρίνας.

1 λάταγας malebam. 2 κοτταβεια ms. *A.* 3 Μάνη corr. Meurs. 4 ποδονιπτῆρα edd. 5 τῷ δὶ ed. Ven. τῷ Διῖ ed. Bas. & Cas. 6 τὸ κινέου ὀξύβαφον edd. Corruptis verbis idonea nulla medicina occurrebat. 7 Iungenda videntur verba τύχης τόδ' ἆθλον. 8 χάλκειον Ms. 9 Tria verba non videntur esse Aristophanis.

exercetur. Pelvis aqua repletur, & aquae innatant vacua acetabula, in quae ex carchesiis (poculorum id nomen est) coniicientes latagas, demergere illa conabantur: & cottabia reportabat is qui plurima demerserat. Ameipsias, in Cottabissantibus vel Mania:

— *Acetabula adfer & cantharos,*
& pelluvium, aquamque infunde.

Cratinus, in Nemesi:

» *In cottabo propono patrio more acetabula vacua ferire: qui vero plurima demerserit, ei felicitatis hoc praemium maximum tribuo.* «

Aristophanes, in Convivatoribus:

Decrevi ego ahenum (id est, cottabeum) *statuere*
& myrti ramulos.

Ἕρμιππος, Μοίραις· a

Χλανίδες δ' οὖλαι [1] καταβέβληνται,
θώρακα δ' ἅπας ἐμπερονᾶται, [2]
κνημίδα [3] δὲ περὶ σφυρὸν ἀρθροῦνται,
βλαύτης δ' οὐδεὶς ἔτ' ἔρως [4] λευκῆς,
ῥάβδον δ' ὄψει τὴν κοτταβικὴν
ἐν τοῖς ἀχύροισι κυλινδομένην,
μάνης [5] δ' οὐδὲν λατάγων ἀΐει [6]
τὴν δὲ τάλαιναν [7] πλάστιγγ' ἂν [8] ἴδοις
παρὰ τὸν στροφέα τῆς κηπαίας
ἐν τοῖσι κορήμασιν οὖσαν.

Ἀχαιὸς δ' ἐν Λίνῳ, περὶ τῶν Σατύρων λέγων, φησί· b

Ῥιπτοῦντες ἐκβάλλοντες ἀγνύντες τί μου
λέγοντες ὦ κάλλιστον Ἡρακλεῖ λάταξ. [9]

1 δοῦλαι edd. 2 Temere ἐμπεπερονᾶται ed. Caſ. 3. 3 κνημίδες vulgo. 4 ἑτέρως vulgo. 5 μανῆς h. l. edd. 6 λαταγῶν' ἢ edd. λατάγωνα ει Ms. 7 τὴν τάλαιναν edd. 8 Deeſt vulgo ἂν h. l. 9 Legendum videtur cum Toupio maxime: Ῥιπτοῦντες, ἐκβάλλοντες, ἀγνύντες, τίν' οὐ λέγοντες. ὦ καλλίστη, Ἡράκλεις, λάταξ.

Hermippus, in Parcis:

Laenae molles abiiciuntur;
thoracem quisque induit;
ocream circa malleolum adſtringunt;
candidas crepidas nemo deſiderat;
baculum videas cottabicum
inter paleas volutantem;
manes nullas latagas audit;
miſeramque lancem videas
hortenſis ad portae cardines
inter purgamenta proiectam.

Achaeus, in Lino, de Satyris loquens, ait:

Iacientes, eiicientes, frangentes, quem non
nuncupantes? O praeclara, mehercle, latax.

τοῦτο δὲ „λέγοντες“ παρ' ὅσον τῶν ἐρωμένων ἐμέμνηντο, ἀφιέντες ἐπ' αὐτοῖς τοὺς λεγομένους κοσσάβους. διὸ καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ Ἀφροδισίαν εἴρηκε τὴν λάταγα·

„Ξανθὴ δ' Ἀφροδισία λάταξ παισὶν
„ἐπεισκύπτει [1] δόμοις.“

καὶ Εὐριπίδης, ἐν Πλεισθένει·

„Πολὺς δὲ κοσσάβων ἀραγμὸς Κύπριδος
„προσῳδὸν [2] ἀχεῖ μέλος ἐν δόμοισιν.“ [3]

καὶ Καλλίμαχος δὲ φησίν·

Πολλοὶ καὶ, φιλέοντες Ἀκόντιον, [4] ἦκαν ἔραζε,
c οἰνοπόται Σικελὰς ἐκ κυλίκων λατάγας.

Ἦν δέ τι καὶ ἄλλο κοτταβίων εἶδος προτιθέμενον ἐν ταῖς παννυχίσιν, οὗ μνημονεύει Κάλλιππος ἐν Παννυχίδι, διὰ τούτων· VII. Pervigilium.

1 ἐπεγκύπτει ed. Ven. ἐπειπύπτει ed. Baſ. ἐπεκύπτει Ms. ἐπισχήπτει corr. Coray. Totum fragm. ita fortaſſe ſcribendum:
-- -- Ξένη δὲ Ἀφροδισία
λάταξ ἅπασι νῦν ἐπισχήπτει δόμοις.
2 πρόσῳδον edd. 3 δόμοις Musgr. Notatur h. l. in *Epit.* Λέγονται δὲ καὶ κόσσαβοι. 4 ἀκόντιον edd. ut nomen appellativum.

Hoc *nuncupantes* dixit poëta, quatenus amaſios nuncupare ſolebant, & invocato illorum nomine coſſabos, qui dicuntur, iaculari. Quare etiam Sophocles in Inacho *aphrodiſiam* dixit *latagem:*

Peregrina vero & aphrodiſia
in domos cunctas ingruit latax.

& Euripides, in Pleiſthene:

Multus autem coſſaborum ſtrepitus
muſicam edit Veneri congruentem in aedibus.

Atque etiam Callimachus ait:

Multi quoque vini potores, amantes Acontium,
in terram iactarunt Siculas ex poculis latagas.

7. Erat vero & aliud cottabiorum genus in Pervigiliis propoſitum; cuius meminit Callippus, his verbis:

Ὁ δ' ἀγρυπνήσας τὸν πυραμοῦντα λήψεται
τὰ κοττάβια, [1] καὶ τῶν παρουσῶν ἣν θέλει [2]
φιλήσει. —

ἐγίνετο δὲ καὶ πεμμάτιά τινα ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες· καὶ διωνομάζετο τὰ πεμμάτια τότε [3] χαρίσιοι, [4] ἀπὸ τῆς τῶν ἀναιρουμένων χαρᾶς. μνημονεύει Εὔβουλος ἐν Ἀγ- d
κυλίωνι, λέγων οὑτωσί·

Καὶ γὰρ πάλαι πέττει [5] τὰ νικητήρια.

εἶθ' ἑξῆς φησίν·

Ἐξεπήδησ' ἀρτίως πέττουσα τὸν χαρίσιον.

Ὅτι δὲ καὶ φίλημα ἦν ἆθλον, ἑξῆς λέγει ὁ Εὔβουλος·

Εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ' ὅλην
ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.

1 κοττάβεια Ms. 2 θέλῃ edd. 3 ταῦτα forſ. 4 χαρίσια edd. cum *Epit.* χαρίσιαι ms. *A.* 5 πέπτει edd. & dein πέπτουσα.

Qui pervigilaverit, is pyramuntem accipiet
pro cottabio, & quamcumque voluerit praeſentium
oſculabitur. —

Conficiebantur autem etiam pemmata quaedam in pervigiliis, in quibus quam longiſſimum tempus pervigilabant ſaltantes: & nominabantur illa pemmata ſigillatim tunc *chariſii*, a gaudio (τῆς χαρᾶς) eorum, qui illa pro praemio reportabant. Meminit Eubulus in Ancylione, ubi ait:

Dudum enim coquit victoribus praemia.

Et paulo poſt:

Modo exſilui, ut coquerem chariſium.

Sed & oſculum pro praemio fuiſſe, idem Eubulus deinde ſignificat:

Agite, mulieres! nunc totam noctem,
luſtrico hoc die, decimo ex quo mihi natus infans, ſaltate.

Θήσω δὲ νικητήριον τρεῖς ταινίας,
καὶ μῆλα πέντε, καὶ φιλήματ' ἐννέα.

Ὅτι δὲ ἐσπούδαστο παρὰ τοῖς Σικελιώταις ὁ κόττα-
e βος, δῆλον ἐκ τοῦ καὶ οἰκήματα [1] ἐπιτήδεια τῇ παι-
διᾷ κατασκευάζεσθαι, ὡς ἱστορεῖ Δικαίαρχος ἐν τῷ
Περὶ Ἀλκαίου. [2] οὐκ ἀπεικότως οὖν οὐδ' ὁ Καλλίμα-
χος Σικελὴν τὴν λάταγα προσηγόρευσεν. [3] Μνημονεύει
τῶν λαταγῶν [4] καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς [5]
καλούμενος Διονύσιος ἐν τοῖς Ἐλεγείοις, διὰ τούτων·

Κότταβον ἔνθαδέ σοι τρίτον ἑστάναι [6] οἱ δυσέρωτες
f ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου,
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαῖρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰεῖν, [7]
ὄμματι βηματίσασθε [8] τὸν αἰθέρα τὸν κατακλινῆ, [9]
εἰς ὅσον αἱ λάταγες [10] χωρίον ἐκτέταται. [11]

1 οἱ βήματα edd. 2 Ἀλκμᾶνος edd. 3 προσηγόρευε edd. 4 Immo λατάγων. 5 Perperam Χαλκὸς ms. *A.* 6 ἱστάναι ed. Baſ. & Caſ. 7 ἰδεῖν vulgo. 8 βηματίσαισθε Ms. 9 κατακλείνην Ms. 10 Utique ἧς λάταγος videtur legendum: aut εἰς ὅσσον γε λάταξ. 11 Forſ. ἐκπέταται.

Ponam autem victoribus praemia, tres taenias,
& mala quinque, & oſcula novem.

Inſigne autem ſtudium in cottabi ludum contuliſſe Siculos ex eo adparet, quod etiam conclavia huic ludo adaptata exſtruxerint, ut Dicaearchus tradit in libro De Alcaeo. Quare non immerito Callimachus *Siculam* adpellavit *Latagem*. Meminit latagum & cottaborum etiam Dionyſius cognomine Aeneus in Elegis, ubi ait:

Cottabum hic tibi tertium ſtatuimus nos infelices – amoribus,
quem adiicimus exercitationi Bacchi,
pilam. Vos vero praeſentes firmiter prehendite manibus cuncti
pilas calicum: &, priusquam illam emittatis,
oculis metimini aethera devexum,
quantum in ſpatium vis latagis tendat. (ſive, *volet.*)

VIII. Ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ἤτει πιεῖν μεγάλῃ κύλικι, ἐπιλέγων ἐκ τῶν αὐτῶν Ἐλεγείων καὶ τόδε· [1]

Ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν, a
τόνδε σὸν ἀρχαῖον τηλέδαπόν τε φίλον
εἰρεσίῃ γλώσσης ἀποπέμψομεν εἰς μέγαν αἶνον
τοῦ δ' ἐπὶ συμποσίου· [2] δεξιότης τε λόγου [3]
Φαίακος Μουσῶν ἐρέτας [4] ἐπὶ σέλματα πέμπει.

Κατὰ γὰρ τὸν νεώτερον Κρατῖνον, ὃς ἐν Ὀμφάλῃ φησί·

Πίνειν μένοντα [5] τὸν καλῶς εὐδαίμονα
κρεῖττον· μάχης [6] δ' ἄλλοισι καὶ πόνου μέλοι. b

Πρὸς ὃν ὁ Κύνουλκος, ἀεὶ τῷ Σύρῳ ἀντικορυσσόμενος, καὶ οὐδέποτε τῆς Φιλονεικίας παυόμενος, ἧς εἶχε πρὸς αὐτὸν, ἐπεὶ θόρυβος κατεῖχε τὸ συμπόσιον, ἔφη· τίς οὗτος ὁ τῶν Συρβηναίων χορός; Καὶ αὐτὸς δ' ἐκ

1 τάδε malebam. 2 ξυμποσίου edd. 3 δεξιότητι λόγου corr. Dalec. cum ſuperioribus haec iungens. 4 Φαίακας κυλίκων ἐρέτας corr. Caſ. 5 μὲν ὄντα ed. Ven. & Baſ, γελῶντα malebat Caſ. 6 μάχας ed. Caſ. μάχαι & deinde πόνοι ed. Ven. & Baſ. cum Ms.

8. Poſthaec Ulpianus bibere popoſcit maiore poculo, ſimul recitans ex eisdem Elegis haecce verba:

Hymnos infundentes dextre tibique nobisque,
hunc tuum veterem & peregrinum amicum
remigio linguae mittamus magnam in laudem
hoc ſuper convivio, & dexteritas ſermonis
Phaeacis Muſarum remiges in tranſtra mittit.

Nam ſecundum iuniorem Cratinum, quod in Omphale ille ait:

Bibere domi manentem virum recte felicem
praeſtat: alios pugnae laboresque iuvent.

Cui Cynulcus, perpetuo ad oppugnandum Syrum paratus, & contentionem ſemel ſusceptam numquam intermittens, exorto in convivio tumultu: quis eſt, ait, hic *Syrbenaeorum chorus?* At ego quoque ex iſtis verſi-

τούτων τῶν ἐπῶν μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων ταῖς Ὁμηρίδαις μόνος ἀνασπάσας τὰ κοττάβια. [1]

Ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι,
c καὶ κυλίκων ἔριδας διαλύσατε, καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοί, καὶ τάδε μανθάνετε,

εἰς τὴν παροῦσαν ζήτησιν ἐπιτήδεια ὄντα. ὁρῶ γὰρ καὶ τοὺς παῖδας ἤδη φέροντας ἡμῖν στεφάνους καὶ μύρα. διὰ τί δὲ λέγονται τῶν ἐστεφανωμένων ἐὰν λύωνται οἱ στέφανοι, ὅτι ἐρῶσιν. τοῦτο γὰρ ἐν παισὶ, τὰ Καλλιμάχου ἀναγινώσκων Ἐπιγράμματα, ὧν ἐστι καὶ τοῦτο, ἐπεζήτουν μαθεῖν, εἰπόντος τοῦ Κυρηναίου·

d — — — Τὰ δὲ ῥόδα φυλλοβολεῦντα
τῶνδρὸς [2] ἀπὸ στεφάνων [3] πάντ' ἐγένοντο χαμαί.

Σὸν οὖν ἐστιν, ὦ μουσικώτατε, τὴν χιλιετῆ μου ταύ-

Quaestio de Coronis amantium.

1 κοττάβεια ms. A. apud Callim. 2 τῶν δένδρων edd. 3 στομάτων vulgo

bus recordor nonnullos, quos recitabo, ne glorietur Ulpianus quasi solus ex reconditis Homeridarum scriniis cottabia extraxisset.

Nuncium bonum adeste accepturi,
& poculorum contentiones componite, & advertite
ad me animos, & haec observate,

ad praesentem quaestionem pertinentia. Video enim iam pueros etiam coronas nobis & unguenta adferentes. Cur ergo, *qui coronati sunt*, dicuntur esse *amore capti*, *si coronae eorum solvuntur?* Hoc enim iam olim puer, quum Callimachi legerem Epigrammata, in quibus est unum in id argumentum, cognoscere percupiebam. Dicit enim Callimachus:

— — — *Rosae vero, foliis cadentibus*
hominis de coronis, in terram defluxerunt.

Tuum igitur est, elegantioribus omnibus literis politissi-

τὴν ζήτησιν ἀπολύσασθαι, [1] Δημόκριτε, καὶ διὰ τί οἱ ἐρῶντες στεφανοῦσι τὰς τῶν ἐρωμένων θύρας.

IX. Dionysius cogn. Aeneus.

Καὶ ὁ Δημόκριτος· Ἀλλ' ἵνα κἀγὼ, φησὶ, μνημονεύσω τῶν [2] τοῦ Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου· (Χαλκοῦς δὲ προσηγορεύθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε Καλλίμαχος ἐν τῇ τῶν Ῥητορικῶν Ἀπογραφῇ,) [3] λέξω τι καὶ αὐτὸς ἐκ τῶν Ἐλεγείων. σὺ δὲ, ὦ Θεόδωρε, τοῦτο γὰρ σὸν τὸ κύριον ὄνομα,

— δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν. ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτῳ χαρίτων [4] ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν, τότε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν, καὶ τὸ σὸν εὖ θέμενος.

Φὴς οὖν, διὰ τί, τῶν ἐστεφανωμένων ἐὰν λύηται ὁ f

1 Forſ. ἐπιλύσασθαι. 2 Deeſt τῶν edd. 3 Ἀναγραφῇ edd. 4 Χαρίτων, ut proprium nomen ſcribunt viri docti.

me Democrite, hanc meam millennarem ſolvere quaeſtionem; item, *cur amantes amicarum fores coronent?*

9. Et Democritus: At ut ego etiam, inquit, Aenei poëtae & oratoris Dionyſii aliquid proferam: (*Aeneus* autem eo cognominatus eſt, quod Athenienſibus ſuaſerat, ut aeneo numiſmate uterentur: cuius orationis mentionem etiam fecit Callimachus in Rhetoricorum recenſu:) dicam & ipſe nonnihil ex eius Elegis. Tu, vero, *Theodore*, eſt enim hoc tuum proprium nomen,

— *accipe hanc propinatam*
a me poëſin. Ego vero, quod fauſtum ſit, mitto
tibi priori hoc munus infundens, quo mutuum provocem.
Quod ubi acceperis, propina viciſſim carmina donum,
convivium ornans, & rem tuam bene gerens.

Quaeris igitur, *cur, ſi coronatorum diſſolvuntur coronae, ii*

στέφανος, ἐρᾶν λέγονται; „Πότερον, ὅτι ὁ ἔρως τοῦ τῶν ἐρώντων ἤθους περιαιρεῖται τὸν κόσμον, διὰ τοῦτο τὴν τοῦ [1] ἐπιφανοῦς κόσμου περιαίρεσιν, Φρυκτόν τινα [2] (φησὶ Κλέαρχος, ἐν πρώτῳ Ἐρωτικῶν) καὶ σημεῖον νομίζουσι τοῦ καὶ τὸν τοῦ ἤθους κόσμον περιῃρῆσθαι [3] τοὺς τοιούτους; ἢ, καθάπερ ἐπὶ τῆς μαντικῆς ἄλλα πολλὰ, καὶ τοῦτο, σημειοῦνταί τινες; ὁ γὰρ a ἐκ τοῦ στεφάνου κόσμος, οὐδὲν ἔχων μόνιμον, σημεῖόν ἐστι πάθους ἀβεβαίου μὲν, κεκαλλωπισμένου δέ. τοιοῦτος δ' ἐστὶν ὁ ἔρως· οὐδένες γὰρ μᾶλλον τῶν ἐν τῷ ἐρᾶν ὄντων καλλωπίζονται. εἰ μὴ ἄρα ἡ Φύσις, οἱονεί τι δαιμόνιον δικαίως βραβεύουσα τῶν πραγμάτων ἕκαστον, οἴεται δεῖν τοὺς ἐρῶντας μὴ στεφανοῦσθαι πρὶν κρατήσωσι [4] τοῦ ἔρωτος· τοῦτο [5] δ' ἔστιν, ὅταν κατεργασάμενοι τὸν ἐρώμενον, ἀπαλλαγῶσι τῆς ἐπι-

Clearchea quaestio de Coronis amantium.

1. Vulgo διὰ τὸ πρὸς τὴν ἐπιφανοῦς &c. pro quo διὸ οὐκ ἀτόπως τὴν ἐπιφανῆ corr. Cas. 2 φρικτόν τινα edd. 3 περιῃρεῖσθαι edd. 4 κρατήσουσι ms. *Ep.* Rectius fuerit πρὶν ἂν κρατήσωσι. 5 Temere τοὺς ed. Casaub.

quibus id accidit dicantur amore esse capti? »Utrum, quoniam amor aufert morum ornamentum his qui amant, idcirco iactura conspicui ornamenti (verba sunt Clearchi, primo libro Eroticorum) pro signo quodam habetur, quo declaretur morum ornatum amisisse eos quibus id accidit? An, quemadmodum per divinationem alia multa, sic & hoc, significari putant nonnulli? Nam coronae ornamentum, cum nihil habeat stabile, signum est adfectionis inconstantis quidem, sed quae placere studeat. Talis autem est amor: nemo enim magis studet placere, quam hi qui amore capti sunt. Nisi fortasse natura, veluti Deus quidam iuste & ex aequo administrans omnia, non prius coronandos censet amantes quam vicerint amorem; id vero est, cum subacto amasio

„ θυμίας. τὴν ἀφαίρεσιν οὖν τοῦ στεφάνου σημεῖον τοῦ ἔτι ἐν τῷ [1] διαγωνίζεσθαι εἶναι ποιούμεθα. ἢ ὁ Ἔρως αὐτὸς, οὐκ ἐῶν καθ' αὐτοῦ στεφανοῦσθαι καὶ ἀνακη- b
ρύττεσθαι, τῶν μὲν [2] τὸν στέφανον περιαιρεῖται, [3] τοῖς δὲ λοιποῖς ἐνδίδωσιν αἴσθησιν, μηνύων ὅτι ἡττῶνται ὑπὸ αὐτοῦ· δι' ὃ ἐρᾶν οἱ λοιποὶ τοὺς τοιούτους φασίν; ἢ, ὅτι λύεται μὲν πᾶν τὸ [4] δεδεμένον, ὁ δὲ ἔρως στεφα-
νουμένων τινῶν δεσμός ἐστι, (οὐθένες γὰρ ἄλλοι τῶν δεδεμένων περὶ τὸ στεφανοῦσθαι σπουδάζουσι πλὴν οἱ ἐρῶντες) τὴν τοῦ στεφάνου δὴ λύσιν [5] σημεῖον τοῦ πε-
ρὶ τὸν ἔρωτα δεσμοῦ νομίζοντες, ἐρᾶν φασι τοὺς τοιού- c
τους; ἢ, διὰ τὸ πολλάκις τοὺς ἐρῶντας, διὰ τὴν πτοίη-
σιν, ὡς ἔοικε, στεφανουμένους περιῤῥεῖν [6] αὐτῶν τὸν στέφανον, ἀντιστρέφομεν τῇ ὑπονοίᾳ τὸ πάθος, ὡς οὐκ ἄν ποτε τοῦ στεφάνου περιῤῥέοντος, εἰ μὴ ἤρων; ἢ,

1 Desunt verba ἐν τῷ edd. 2 τὸν μὲν edd. 3 περιαιρεῖσθαι ms. *A.* cum ed. Ven. & Bas. περιαιρεῖ ms. *Ep.* 4 Abest artic. edd. 5 στεφάνου δήλωσιν mssti. Fors. διάλυσιν. 6 Legebam περιῤῥέοντα περιορᾷν.

» liberati sunt cupiditate: quare amissio coronae signum nobis est, in amoris certamine hosce adhuc esse occupatos. An forte Amor ipse, nolens contra se coronari aliquem ac veluti victorem renunciari, coronam hisce eripit, & aliis hunc sensum adfert illisque significat, hosce ab amore vinci; quo fit ut illi hos amore captos esse dicant? An, quoniam solvi non potest nisi quod vinctum fuerit, amor vero vinculum est nonnullorum coronatorum, (nulli enim alii ex vinctorum numero coronis magis student quam amantes) coronae dissolutionem signum esse amoris existimantes, amare hosce dicunt? An, quia amantes, cum coronati sunt, saepe ob perturbationem, ut videtur, defluere suam coronam sinunt, reciproco ratiocinio adfectum illorum suspicamur; cogitantes non defluxuram fuisse eorum-

„ὅτι ἀναλύσεις περὶ μόνους μάλιστα τοὺς ἐρῶντας καὶ καταδεδεμένους γίνονται, τὴν δὲ τοῦ στεφάνου ἀνάλυσιν καταδεδεμένων τινῶν εἶναι νομίζοντες, ἐρᾶν φασι τοὺς τοιούτους; καταδέδενται γὰρ οἱ ἐρῶντες. εἰ μὴ ἄρα, διὰ τὸ κατεστέφθαι τῷ ἔρωτι τοὺς ἐρῶντας, οὐκ
d ἐπίμονος αὐτῶν ὁ στέφανος γίνεται. χαλεπὸν γὰρ ἐπὶ μεγάλῳ [1] καὶ θείῳ στεφάνῳ μικρὸν καὶ τὸν τυχόντα θεῖναι. Στεφανοῦσι δὲ [2] τὰς τῶν ἐρωμένων θύρας, ἤτοι τιμῆς χάριν, καθαπερεί τινος θεοῦ, τὰ πρόθυρα στεφανοῦσιν [3] αὐτῶν· ἢ οὐ τοῖς ἐρωμένοις, ἀλλὰ τῷ Ἔρωτι πειούμενοι τὴν τῶν στεφάνων ἀνάθεσιν. τοῦ μὲν γὰρ Ἔρωτος τὸν ἐρώμενον ἄγαλμα, τούτου δὲ ναὸν ὄντα τὴν οἴκησιν [νομίζοντες,] [4] στεφανοῦσι τὰ τῶν ἐρωμένων πρόθυρα· διὰ ταῦτα δὲ καὶ θύουσιν ἔνιοι ἐπὶ ταῖς τῶν ἐρωμένων θύραις. ἢ μᾶλλον, ὑφ' ὧν οἴον-

Coronatae fores amasiorum.

1 ἐπὶ γλάσσει καὶ θείῳ ms. *Ep.* 2 δὲ καὶ ed. Caſ. Exſpectabam Διατί στεφανοῦσι δὲ τὰς &c. 3 στεφανοῦντες puto ſcripſerat. 4 *Deeſt* νομίζοντες vulgo.

»dem coronam, niſi amarent? An, quod ſolutiones maxime in amantibus & in vinctis locum habent, coronae ſolutionem vinctorum nonnullorum ſolutionem eſſe exiſtimantes, amare hos dicunt, quorum ſolvuntur coronae; quoniam qui amant vincti ſunt? Ni potius, quoniam amore coronati ſunt qui amant, idcirco non ſtabilis eſt eorum corona: difficile eſt enim, magnae & divinae coronae exiguam & vulgarem quamdam inſuper imponere. *Coronant* autem *amaſiorum fores*, ſive honoris cauſſa; nempe, quaſi Dei cuiusdam, ſic veſtibula illorum coronantes: ſive non tam amaſiis, quam Amori coronas illas conſecrant. Nam Amoris imaginem amaſium, & templum Amoris domum huius eſſe exiſtimantes, coronant amaſiorum veſtibula: quam ob cauſſam etiam ſacra nonnulli faciunt ad amaſiorum fores. Sive potius, a quibus ſibi ereptum putant, atque

„ται, καὶ πρὸς ἀλήθειαν τὸν τῆς ψυχῆς κόσμον ἐσκύ- e
λευνται,[1] τούτοις [2] καὶ τὸν τοῦ σώματος κόσμον, ὑπὸ
τοῦ πάθους ἐξαγόμενοι, καὶ σκυλεύοντες ἑαυτοὺς, ἀνα-
τιθέασι. πᾶς δ' ὁ ἐρῶν τοῦτο δρᾷ μὲν παρόντος· [3] μὴ
παρόντος δὲ τοῦ ἐρωμένου, τότε [4] ἐμποδὼν ποιεῖται τὴν
ἀνάθεσιν. ὅθεν Λυκοφρονίδης τὸν ἐρῶντα ἐκεῖνον αἰπόλον
ἐποίησε λέγοντα·

Τόδ' ἀνατίθημί σοι ῥόδον,
καλὸν νόημα, [5] καὶ πέδιλα,
καὶ κυνέαν, [6] καὶ τὴν θηροφόνον
λογχίδ'· ἐπεί μοι νόος ἄλλᾳ [7] κέχυται
ἐπὶ τὰν Χάρισιν Φίλαν
παῖδα καὶ καλάν." f

X. Ἀλλὰ μὴν καὶ ὁ ἱερώτατος Πλάτων, ἐν ἑβδόμῳ
Νόμων, πρόβλημά τι προβάλλει [8] στεφανωτικὸν „

1 ἐσκυλεῦθαι edd. 2 καὶ τοῦτον Ms. 3 Abeſt vulgo παρόντος h. l. 4 τοῦτο ἐμποδὼν vulgo. 5 Corrigunt ἄνθημα, εἷμα, φόρημα. 6 κυνέην edd. 7 ἀλλὸ ed. Ven. & Baſ. ἀλλῃ ed. Caſ. 8 προβάλλω ms. A.

»etiam revera ipſis ereptum eſt animi ornamentum, his etiam ornatum corporis, ab adfectu agitati, ſeſe etiam ipſi ſpoliantes, conſecrant. Omnis autem amans hoc facit quidem praeſente amaſio: qui ſi non coram adeſt, in via publica facit ille hanc conſecrationem. Quare Lycophronides amantem illum caprarium dicentem fecit:

Hanc tibi dedico roſam,
pulcram [veſtem] & ſoleas,
& galeam, & feras-occidentem
lanceam: quia mihi aliò effuſus animus eſt,
in dilectam Gratiis
puellam pulcramque.«

10. At ſanctiſſimus Plato etiam, ſeptimo libro Legum, quaeſtionem quamdam proponit ad coronas ſpe-

ὅπερ ἄξιόν ἐστιν ἐπιλύσασθαι, οὕτως λέγοντος τοῦ Φιλοσόφου· „Μήλων τινῶν [1] διανομαὶ καὶ στεφάνων πλείοσιν ἅμα καὶ ἐλάττοσιν, ἁρμοττόντων τῶν ἀριθμῶν τῶν αὐτῶν.“ Ὁ μὲν Πλάτων οὕτως εἶπεν. ἔστι δ' ὁ λέγει τοιοῦτον· ἕνα βούλεται [2] ἀριθμὸν εὑρεῖν, ᾧ ἕως [3] τοῦ τελευταίου εἰσελθόντος ἐξ ἴσου [4] πάντες ἕξουσιν ἤτοι μῆλα ἢ στεφάνους. Φημὶ οὖν, τὸν ἑξήκοντα ἀριθμὸν εἰς ἓξ συμπότας δύνασθαι τὴν ἰσότητα πληροῦν. οἶδα γάρ, ὅτι κατ' ἀρχὰς ἐλέγομεν μὴ συνδειπνεῖν τῶν πέντε γε πλείους· ὅτι δ' ἡμεῖς [5] ψαμμακόσιοι ἐσμὲν δῆλον. ὁ οὖν ἑξήκοντα ἀριθμὸς εἰς ἓξ τοὺς συμπότας πληρωθέντος [6] τοῦ συμποσίου ἄρξεται οὕτως. εἰσῆλθεν εἰς τὸ συμπόσιον ὁ πρῶτος, καὶ ἔλαβε στεφάνους ἑξήκοντα· ἐπεισελθόντι δὲ τῷ δευτέρῳ δίδω- Platonis problema arithmeticum.

1 δέ τινων edd. cum ms. *A.* τέ τινων apud Plat. 2 βούλεσθαι ms. *A.* 3 ὃς ἕως ms. *A.* 4 Temere ἐξ σου ed. Caſ. 1. Inde ἐξ οὗ ed. Caſ. 2. 3. 5 ὅτι δέ γε ἡμεῖς edd. 6 ἓξ τοὺς συμπληρωθέντας ms. *A.* συμπληρωθέντος ms. *Ep.* absque τοὺς συμπ.

ſtantem; quam operae pretium fuerit ſolvere. Dicit autem philoſophus: » *Malorum quorumdam distributiones & coronarum inter plures ſimul & pauciores, ita ut earum numeri ſemper ſint inter ſe aequales.*« Haec ſunt verba Platonis: ſententia autem huiusmodi eſt. Unum vult inveniri numerum talem, ut, ſi in ſingulos dividantur usque ad poſtremum, ut quisque ingreditur, omnes ſemper aequalem pomorum vel coronarum numerum habeant. Dico igitur, numerum ſexagenarium in ſex convivas ita poſſe dividi, ut aequalitas conſtanter ſervetur. Memini enim initio nos dicere, non debere unà coenare plures quam quinque: at nos quidem videlicet arenam aequamus numero. Sexagenarius igitur numerus in ſex omnino coëuntes convivas dividendus, tale ſumet initium. Ingreditur in coenaculum primus, & accipit coronas ſexaginta: is alteri, poſt ipſum ingredienti, dat

σι τοὺς ἡμίσεις, καὶ ἑκάστῳ [1] γίνονται τριάκοντα· καὶ τρίτῳ ἐπεισελθόντι [2] συνδιαιρούμενοι τοὺς πάντας, b ἓξ εἴκοσιν [3] ἔχουσι. τετάρτῳ πάλιν ὁμοίως κοινωνήσαντες, [4] ἓν δεκαπέντε γίνονται· [5] πέμπτῳ δὲ, ἓν δώδεκα, καὶ τῷ ἕκτῳ ἓν δέκα. καὶ οὕτως ἰσότης ἀναπληροῦται τῶν στεφάνων.

XI. Ulpianus spinas legit ex libris.

Ταῦτα εἰπόντος τοῦ Δημοκρίτου, ὁ Οὐλπιανὸς ἀποβλέψας πρὸς τὸν Κύνουλκον·

Οἵῳ μ' ὁ δαίμων (ἔφη) φιλοσόφῳ συνῴκισεν!
κατὰ τὸ Θεογνήτου τοῦ κωμῳδιοποιοῦ Φάσμα·

ἐπαρίστερ' ἔμαθες, ὦ πόνηρε, γράμματα·
ἀντέστροφέν σου τὸν βίον τὰ βιβλία· [6] c
πεφιλοσόφηκας γῆ τε κ' οὐρανῷ λαλῶν,
οἷς οὐδὲν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.

Πόθεν γάρ σοι καὶ ὁ τῶν Συρβηναίων ἐπῆλθεν χορός;

1 Commode ἑκατέρῳ *Epit.* 2 Inserunt ἐξ εἴκοσι edd. 3 ἀνὰ εἴκοσι ἔχουσι ms. *Ep.* ἐξήκοντα ἔχουσι ms. *A.* cum edd. 4 Commodius κοινανήσασιν ms. *Ep.* 5 Ante γίνονται lacunae signum posuit Casaub. 6 βυβλία edd. & dein βυβλίων iidem.

dimidium, & habet uterque triginta. Hi coronas omnes cum tertio post ingrediente partiti, habent quisque viginti: tum rursus cum quarto, & habet quisque quindecim: porro cum quinto, duodecim: cum sexto, decem quisque. Atque ita constanter servatur aequalitas numeri coronarum.

11. Quae quum dixisset Democritus, Ulpianus Cynulcum intuens, ait:

Qualis me philosophi in contubernium Deus adduxit!

ut ait Theognetus comicus in Phasmate:

Miser, perversas didicisti literas:
vitam corrupit tibi librorum lectio.
Agis cum Coelo & Terra verbis philosophis,
quibus nulla dictis de tuis curatio est.

Unde enim tandem tibi venit ille *Syrbenaeorum chorus?*

τίς τῶν ἀξίων λόγου μέμνηται τοῦ μουσικοῦ τούτου χοροῦ; Καὶ ὅς· Οὐ πρότερον, ἔφη, ὦ οὗτος, διδάξω σε, πρὶν ἂν τὸν ἄξιον παρὰ σοῦ λάβω μισθόν. οὐ γὰρ ἐγὼ τὰς ἐκ τῶν βιβλίων ἀκάνθας, ὥσπερ σὺ, ἀναγινώσκων ἐκλέγω, ἀλλὰ τὰ χρησιμώτατα καὶ ἀκοῆς
d ἄξια. Ἐπὶ τούτοις ὁ Οὐλπιανὸς δυσχεράνας, ἀνεβόησε τὰ ἐξ Ὑπονοίας [1] Ἀλέξιδος·

Οὐδ' ἐν Τριβαλλοῖς ταῦτά γ' ἐστὶν ἔννομα·
οὗ φασι τὸν θύοντα τοῖς κεκλημένοις
δείξαντ' ἰδεῖν τὸ δεῖπνον, εἰς τὴν αὔριον
πωλεῖν ἀδείπνοις ἅπερ ἔθηκ' αὐτοῖς ἰδεῖν.

τὰ αὐτὰ ἰαμβεῖα [2] φέρεται [3] καὶ παρ' Ἀντιφάνει ἐν Ὑπνῳ. Καὶ ὁ Κύνουλκος· Ἐπεὶ περὶ στεφάνων ζητή-
e σεις ἤδη γεγόνασιν, εἰπὲ ἡμῖν, τίς ἐστὶν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι „Ναυκρατίτης στέφανος“ ὦ Οὐλπιανέ. φησὶ γὰρ οὕτως [4] ὁ μελιχρὸς ποιητής·

1 Forſ. ἐξ Ὑπνου. 2 ἰαμβία ms. *A.* 3 φαίνεται edd. 4 οὗτος edd.

Quis enim alicuius momenti auctor meminit huius muſici chori? Et ille, Heus tu, inquit, non prius te hoc docebo, quam a te dignam accepero mercedem. Non enim, ut tu, ſic ego ex libris, quos lego, ſpinas ſeligo; ſed quaecumque utiliſſima ſunt & ſcitu digna. Hisce offenſus Ulpianus, exclamavit illa ex Alexidis Suſpicione: [*ſive*, Somno:]

Ne in Triballis quidem hoc fieri fas eſt:
ubi aiunt eum qui ſacra fecit, poſtquam convivis
conſpiciendam praebuit coenam, poſtridie
incoenatis vendere quae ſpectanda illis propoſuerat.

Iidem iambi etiam apud Antiphanem in Somno leguntur. Tum Cynulcus ait: Quoniam de Coronis iam motae ſunt quaeſtiones, dic nobis, o Ulpiane, quaenam eſt illa apud venuſtum Anacreontem *Naucratita corona?* Sic enim ait mellifluus hic poëta:

Corona apud Anacreontem.

Στεφάνους δ' ἀνὴρ [1] τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ῥοδίνους, [2] τὸν δὲ Ναυκρατίτην.

καὶ διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ λύγῳ τινὲς στεφανοῦνται; φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῶν Μελῶν·

Μεγίσθης [3] δ' ὁ φιλόφρων,
δέκα δὴ μῆνες, ἐπειδὴ [4] f
στεφανοῦται τῇ λύγῳ, [5]
καὶ τρύγα πίνει [6] μελιηδέα.

ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος· πρὸς δεσμοὺς γὰρ καὶ πλέγματα ἡ λύγος ἐπιτήδειος. εἰπὲ οὖν ἡμῖν τι περὶ τούτων, ζητήσεως ἀξίων ὄντων, καὶ μὴ ὀνοματοθήρα, [7] φιλότης.

XII.

Corona viminea apud Samios.

Σιωπῶντος δ' αὐτοῦ καὶ ἀναζητεῖν προσποιουμένου, ὁ Δημόκριτος ἔφη· Ἀρίσταρχος ὁ γραμματικώτατος, ἑταῖρε, ἐξηγούμενος τὸ χωρίον, ἔφη, ὅτι καὶ a

1 ποιητὴς στεφάνου. ὁ δ' ἀνὴρ Ms. 2 ῥοδίνους τοὺς μὲν corr. Barn. 3 Μεγιστῆς Barn. 4 ἐπεί τε h. l. Ms. 5 τῇ τε λύγῳ idem. 6 πίνουσι h. l. Ms. 7 ὀνομάτων θήρα Ms. Forſ. ὀνόματα θήρα.

Coronas vero vir quisque tres habebat;
duas ex roſis, tertiam Naucratitam.

Et cur apud eumdem poëtam *vitice* (ſive *Amerinâ ſalice*) nonnulli coronantur? Dicit enim ſecundo Carminum libro:

Megiſthes vero ille comis,
decem iam menſes ſunt, ex quo
coronatur vitice,
& muſtum bibit dulce.

Abſurda eſt enim corona e vitice: nam ad vincula ſolum & ad crates idonea eſt vitex. Dic igitur nobis ad haec aliquid quod ſcitu dignum ſit, amice, nec vocabula ſolummodo venare.

12. Illo tacente, & quid diceret anquirere ſimulante, Democritus ait: Ariſtarchus, Grammaticorum ſummus, amice, interpretans hunc locum, ait »vitice coronari

λύγοις ἐστεφανοῦντο οἱ ἀρχαῖοι. Τέναρος δὲ ἀγροίκων εἶναι λέγει στεφάνωμα τὴν λύγον. καὶ οἱ ἄλλοι γε ἐξηγηταὶ ἀπροσδιόνυσά τινα εἰρήκασιν περὶ τοῦ προκειμένου. Ἐγὼ δ' ἐντυχὼν τῷ Μηνοδότου τοῦ Σαμίου συγγράμματι, ὅπερ ἐπιγράφεται Τῶν κατὰ τὴν Σάμον ἐνδόξων Ἀναγραφὴ, εὗρον τὸ ζητούμενον. „Ἀδμήτην γὰρ, φησὶ, τὴν Εὐρυσθέως, ἐξ Ἄργους φυγοῦσαν, ἐλθεῖν εἰς Σάμον· θεασαμένην δὲ τὴν τῆς Ἥρας ἐπιφάνειαν, καὶ τῆς οἴκοθεν σωτηρίας χαριστήριον βου-
b λομένην ἀποδοῦναι, ἐπιμεληθῆναι τοῦ ἱεροῦ, τοῦ καὶ νῦν ὑπάρχοντος, πρότερον δὲ ὑπὸ Λελέγων καὶ Νυμφῶν καθιδρυμένου· τοὺς δ' Ἀργείους πυθομένους, καὶ χαλεπαίνοντας, πεῖσαι χρημάτων ὑποσχέσει Τυρρηνοὺς, λῃστρικῷ τε [1] βίῳ χρωμένους, ἁρπάσαι τὸ βρέτας· πεπεισμένους τοὺς Ἀργείους, ὡς, εἰ τοῦτο γένοιτο, πάντως τι κακὸν πρὸς τῶν τὴν Σάμον κατοικούν-

1 Rectius (puto) abeſſet τε particula.

ſolitos eſſe veteres. « Tenarus vero »ruſticorum coronamentum eſſe viticem « ſcribit. Alii item interpretes abſurda quaedam, & aliena, ſuper propoſitâ quaeſtione dixerunt. Ego vero poſtquam in Menodoti Samii librum incidi, qui inſcribitur Rerum in Samo inſulâ memorabilium Recenſus, inveni id quod quaerebam. Ait enim: »Admetam Euryſthei filiam, cum Argis profugiſſet, veniſſe Samum: ibi cum ei adparuiſſet Iunonis ſpecies, Admetam gratias relaturam, quod domo incolumis in ea loca perveniſſet, curam ſuſcepiſſe templi, quod hodieque exſtat, olim vero a Lelegibus & Nymphis conditum fuerat. Argivos vero, re cognita indignatos, pactâ pecuniâ perſuaſiſſe Tyrrhenis piraticam facientibus, ut Deae raperent ſimulacrum; ratos ſcilicet, id ſi fieret, haud dubie male mulctatum iri Admetam a Sami

των ἡ Ἄδμήτη πείσεται. τοὺς δὲ Τυρρηνοὺς ἐλθόντας εἰς τὸν Ἡραΐτην ὅρμον, καὶ διαβάντας εὐθέως ἔχεσθαι τῆς πράξεως. ἀθύρου δὲ ὄντος τότε τοῦ νεὼ, ταχέως ἀνελέσθαι τὸ βρέτας, καὶ διακομίσαντας ἐπὶ θάλασσαν, εἰς τὸ σκάφος ἐμβαλέσθαι· λυσαμένους δ' αὐτοὺς τὰ πρυμνήσια, καὶ τὰς ἀγκύρας ἀνελομένους, εἰρεσίᾳ τε πάσῃ χρωμένους, ἀπαίρειν οὐ δύνασθαι. ἡγησαμένους οὖν θεῖον τοῦτ' εἶναι, πάλιν ἐξενεγκαμένους τῆς νεὼς τὸ βρέτας, ἀποθέσθαι παρὰ τὸν αἰγιαλόν· καὶ ψαιστὰ αὐτῷ ποιήσαντας, περιδεεῖς ἀπαλλάττεσθαι. τῆς δὲ Ἄδμήτης ἔωθεν δηλωσάσης, ὅτι τὸ βρέτας ἠφανίσθη, καὶ ζητήσεως γενομένης, εὑρεῖν μὲν αὐτὸ τοὺς ζητοῦντας ἐπὶ τῆς ἠϊόνος· ὡς δ' ἂν βαρβάρους Κᾶρας, ὑπονοήσαντας αὐτόματον ἀποδεδρακέναι, πρός τι λύγου θωράκιον ἀπερείσασθαι, καὶ τοὺς εὐμηκεστάτους τῶν κλάδων ἑκατέρωθεν ἐπισπασαμένους περιειλῆσαι πάντοθεν. [1] τὴν δὲ Ἄδμήτην λύσασαν αὐτὸ

c

d

1 περιειλ. αὐτὸ πάντοθεν *Epit.*

incolis. Tyrrhenos igitur ad Iunonis portum adpulsâ navi, exſcenſione factâ, continuo adgreſſos eſſe opus; quumque portâ clauſum non eſſet eâ aetate templum, protinus abstuliſſe ſimulacrum, & ad mare transportatum navigio impoſuiſſe. Sed ſolutis rudentibus, levatisque ancoris, remorum ſummo conatu abire non potuiſſe. Itaque ratos divino numine hoc fieri, ſimulacrum e navigio rurſus extuliſſe, in littoreque depoſuiſſe; oblatisque ei libis, metu perculſos abiiſſe. Poſtridie mane cum indicaſſet Admeta evanuiſſe ſimulacrum, factâ perquiſitione, repertum eſſe in litore a quaerentibus: hos autem, utpote barbaros Caras, ultro aufugiſſe ſimulacrum opinantes, ad ſeptum aliquod ex vitice illud adligaſſe, & attractis utrimque longiſſimis ramis undique illud circumvolviſſe. Admetam vero expeditum vinculis puri-

ἀγνίσαι, καὶ στῆσαι πάλιν ἐπὶ τοῦ βάθρου, καθάπερ πρότερον ἵδρυτο. διόπερ ἐξ ἐκείνου καθ' ἕκαστον ἔτος ἀποκομίζεσθαι τὸ βρέτας ἐς τὴν ἠιόνα καὶ ἀφανίζεσθαι, ψαιστά τε αὐτῷ παρατίθεσθαι· καὶ καλεῖ-
e σθαι Τόνεα τὴν ἑορτὴν,[1] ὅτι συντόνως συνέβη περιειλῆθαι[2] τὸ βρέτας ὑπὸ τῶν τὴν πρώτην αὐτοῦ ζήτησιν ποιησαμένων."

XIII. Apollo Hyblaeus.

„Ἱστορεῖται δ', ὑπ' αὐτὸν ἐκεῖνον τὸν χρόνον τῶν Καρῶν δεισιδαιμονίᾳ περισχεθέντων, ἐπὶ τὸ μαντεῖον τοῦ θεοῦ παραγενομένων εἰς Ὕβλαν,[3] καὶ πυνθανομένων περὶ τῶν ἀπηντημένων, θεσπίσαι τὸν Ἀπόλλωνα, ποινὴν αὐτοὺς ἀποδοῦναι τῇ θεῷ δι' ἑαυτῶν ἑκούσιον, καὶ χωρὶς δυσχεροῦς συμφορᾶς· ἦν ἐν τοῖς ἔμπροσθεν χρόνοις ἀφώρισεν ὁ Ζεὺς τῷ Προμηθεῖ χά-
f ριν τῆς κλοπῆς τοῦ πυρὸς, λύσας αὐτὸν ἐκ τῶν χαλεπωτάτων δεσμῶν· καὶ τίσιν ἑκούσιον ἐν ἀλυπίᾳ κειμένην δοῦναι θελήσαντος, ταύτην ἔχειν ἐπιτάξαι τὸν

Prometheus solutus & coronatus.

1 τὸ νεατὴν ἑορτὴν ed. Ven. & Baſ. Τονεάτην ἑορτὴν ed. Caſaub.
2 περιειληφθῆναι edd. 3 Ἄβας coni. Caſ. Ὕλαν alii.

ficaſſe, & in baſi, in qua ante locatum fuerat, rurſus conſtituiſſe. Quare ab illo inde tempore quotannis e conſpectu tolli ſimulacrum, & in littus deferri, libaque ei adponi; & *Tonea* vocari illud feſtum, quia intentis vinculis (συντόνως) conſtrictum fuiſſet ſimulacrum ab eis, qui primum illud inveſtigatum iverant."

13. »Narrant vero, ſub idem tempus Caras, oblatâ animis religione, oraculum Dei adiiſſe Hyblam: & conſulentibus de his quae acciderant reſpondiſſe Apollinem, poenam Deae illos dare debere ſponte per ſe, & citra graviorem calamitatem: qualem poenam ſuperioribus temporibus Iupiter Prometheo ſtatuiſſet propter ignem furto ablatum, cum graviſſimis eum vinculis ſolviſſet. Cum enim voluiſſet ille ultro leviorem aliquam ſuſcipere

καθηγούμενον τῶν θεῶν. ὅθεν ἀπ' ἐκείνου [1] τὸν δεδηλωμένον [2] στέφανον τῷ Προμηθεῖ περιγενέσθαι καὶ μετ' οὐ πολὺ τοῖς εὐεργετηθεῖσιν ἀνθρώποις ὑπ' αὐτοῦ κατὰ τὴν τοῦ πυρὸς δωρεάν. διόπερ καὶ τοῖς Καρσὶ κατὰ τὸ παραπλήσιον ἔθος παρεκελεύσατο, στεφανώματι χρωμένοις τῇ λύγῳ, καταδεῖν τὴν ἑαυτῶν κεφαλὴν τοῖς κλάδοις, οἷς αὐτοὶ κατέλαβον τὴν θεόν. [3] καταλύσαι δὲ καὶ τ' ἄλλα γένη τῶν στεφάνων ἐπέ- a
ταξε, χωρὶς τῆς δάφνης· τὴν δ' αὐτὸς, ἔφη, τοῖς τὴν θεὸν θεραπεύουσι μόνοις ἀπονέμειν δῶρον. τοῖς τε χρησθεῖσιν ἐκ τῆς μαντείας κατακολουθήσαντας αὐτοὺς ἀβλαβεῖς ἔσεσθαι, καὶ δίκην ἐν εὐωχίαις ἀποδιδόντας τῇ θεῷ τὴν προσήκουσαν. ὅθεν τοὺς Κᾶρας, ὑπακοῦσαι βουλομένους τοῖς ἐκ τοῦ χρηστηρίου, καταλύσαι τὰς ἔμπροσθεν εἰθισμένας στεφανώσεις, αὐτούς τε κατὰ πλῆθος χρῆσθαι μὲν τῇ λύγῳ, τοῖς δὲ θερα-

1 οὗτ' ἐκείνου vulgo. 2 λελυγωμένον corrigit Adam. 3 Perperam τὸν θεὸν edd.

poenam, hanc ei impoſuiſſe ferunt ſupremum Deum. Atque inde uſum coronae, qui Prometheo fuerat oſtenſus, ab illo haud multo poſt ad alios etiam homines, donati ignis beneficio ab eodem adfectos, manaſſe. Itaque etiam Caribus ſimili inſtituto mandavit Deus, ut vitice pro coronamento uterentur, & capita ſua ramis eisdem obſtringerent, quibus ipſi Deam revinxiſſent. Aliis autem omnibus coronarum generibus abstinere eos iuſſit, exceptâ laureâ. Hanc ſe ipſum, dixit, ſolis his qui Deae miniſtrarent tamquam donum tribuere. Qui paruiſſent oraculi reſponſo, & in conviviis convenientem poenam Deae daturi eſſent, hos ſalvos & noxae expertes fore. Itaque Caras, morem gerere volentes oraculo, omiſſis aliis coronamentorum generibus, quae ante in uſu fuiſſent, vitice vulgo omnes uti, Deae

b πεύσυσι τὴν θεὸν ἐπιτρέψαι φορεῖν τὸν καὶ νῦν ἔτι διαμένοντα τῆς δάφνης στέφανον."

„ Μνημονεύειν δ' ἔοικεν ἐπὶ ποσόν τι τῆς κατὰ τὴν λύγον στεφανώσεως καὶ Νικαίνετος ὁ ἐποποιὸς ἐν τοῖς Ἐπιγράμμασιν, ποιητὴς ὑπάρχων ἐπιχώριος, καὶ τὴν ἐπιχώριον ἱστορίαν ἠγαπηκὼς ἐν πλείοσι. λέγει δ' οὕτως·

XIV. Nicenaeti epigramma.

Οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν, ἀλλὰ παρ' Ἥρης, [1]
δαίνυσθαι, ζεφύρου πνεύμασι τερπόμενος.
ἀρκεῖ μοι κοίτη [2] μὲν ὑπὸ πλευροῖσι [3] χαμεύνη·
c ἐγγὺς [4] γὰρ προμάλου δέμνιον ἐνδαπίης,
καὶ λύγος, ἀρχαῖον Καρῶν στέφος. ἀλλὰ φερέσθω
οἶνος, καὶ Μουσῶν ἡ χαρίεσσα λύρη·
θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλεᾶ [5] νύμφην
μέλπωμεν, νήσου δέσποτιν ἡμετέρης.

Ἐν τούτοις γὰρ ἀμφιβόλως εἰρηκὼς ὁ Νικαίνετος πό-

1 ἀλλ' ἐπ' ἀρούρης edd. ἀλλὰ παρ' Ἥρῃ adfertur ex Ms. 2 αιτη Ms. 3 πλευρῇσι edd. 4 ἔγγυοι Ms. 5 εὐκλέα edd.

miniſtris permittentes lauream geſtare coronam, cuius geſtandi mos etiamnum durat. «

14. » Videtur autem coronamenti ex vitice meminiſſe aliquatenus etiam Nicaenetus epicus poëta, patriâ Samius, in Epigrammatibus, & adfectum ſuum adverſus patriam frequenter declarans. Cuius hi ſunt verſus:

Nolo, Philothere, in urbe, ſed in agro
epulari: Zephyri aurâ delector.
Sufficit mihi humi ſtratus ſub lateribus torus:
in promtu eſt enim indigenâ ex tamari lectus,
& vitex, priſcum Carum coronamentum. At adferatur
vinum, & Muſarum amabilis lyra:
laeti potantes ut Iovis inclytam ſponſam
canamus, inſulae dominam noſtrae.

In his enim ambigue quidem loquitur Nicaenetus, ut

τερον στρωμνῆς ἕνεκεν ἢ στεφανώσεως ἀρκεῖται τῇ λύγῳ, τῷ λέγειν [1] αὐτὴν „τῶν Καρῶν ἀρχαῖον στέ- d φος" πρόδηλον καθίστησι τὸ ζητούμενον. συνέβη δὲ τὴν τῆς λύγου στεφάνωσιν καὶ μέχρι τῶν κατὰ Πολυκράτην [2] χρόνων, ὡς ἄν τις εἰκάσειε, τῇ νήσῳ συνηθεστέραν ὑπάρχειν. ὁ γοῦν Ἀνακρέων φησί·

Μεγίσθης ὁ Φιλόφρων
δέκα δὴ μῆνες ἐπειδὴ
στεφανοῦται τῇ λύγῳ,
καὶ τρύγα πίνει μελιηδέα."

XV. Hephaestio, Athenaei aequalis & aemulus.

Ταῦτα ἴσασιν οἱ θεοὶ ὡς πρῶτος αὐτὸς ἐν τῇ καλῇ Ἀλεξανδρείᾳ εὗρον, κτησάμενος τὸ τοῦ Μηνοδότου συγγραμμάτιον, καὶ ἐπιδείξας πολλοῖς ἐξ αὐτοῦ τὸ παρὰ τῷ Ἀνακρέοντι ζητούμενον. λαβὼν δὲ παρ' ἐμοῦ e ὁ πᾶσι κλοπὴν ὀνειδίζων Ἡφαιστίων ἐξιδιοποιήσατο τὴν λύσιν, καὶ σύγγραμμα [3] ἐξέδωκεν, ἐπιγράψας

1 τῷ δὲ λέγειν Ms. Forſ. δὴ debuit; niſi ſupra ἀμφιβόλως μὲν legas. 2 Πολυκράτη edd. 3 ξύγγραμμα edd.

neſcias utrum in ſtrati uſum, an coronamenti, ſufficiat illi vitex: ſed, quum illam nominet *priſcum Carum coronamentum*, ſatis in aperto ponit id quod quaerimus. Coniectare autem licet, coronamenti ex vitice uſum in illa inſula usque ad Polycratis aetatem duraſſe. Anacreon certe dixit:

Megiſthes vero ille comis,
decem iam menſes ſunt, ex quo
coronatur vitice,
& muſtum bibit dulce. "

15. Haec Dii norunt a me primo pulcrae Alexandriae eſſe reperta, cum nactus ibi eſſem Menodoti libellum; ex quo etiam multis hominibus hoc, quod apud Anacreontem quaeritur, demonſtravi. Cuius quaeſtionis ſolutionem a me acceptam Hephaeſtion, is qui aliis omnibus furta exprobrat, ſibi vindicavit, ſcriptumque edi-

Περὶ τοῦ [1] παρ' Ἀνακρέοντι λυγίνου Στεφάνου· ὅπερ νῦν ἐν τῇ Ῥώμῃ εὕρομεν παρὰ τῷ ἀντικοττύρᾳ [2] Δημητρίῳ. τοιοῦτος δέ τις καὶ [ὁ Ἡφαιστίων συγγραφεὺς, καὶ] [3] περὶ τὸν καλὸν ἡμῶν Ἀνδραντον [4] ἐγένετο. ἐκδόντος γὰρ τούτου πέντε μὲν βιβλία Περὶ τῶν παρὰ Θεοφράστῳ ἐν τοῖς Περὶ Ἠθῶν [5] καθ' ἱστορίαν καὶ λέξιν ζητουμένων, ἕκτον δὲ Περὶ τῶν ἐν τοῖς Ἠθι- Andrantus, sive Adraſtus, commentator Ariſtotelis.

f κοῖς Νικομαχίοις Ἀριστοτέλους, ἐν οἷς [6] ἀμφιλαφῶς παραθεμένου περὶ τοῦ [7] παρὰ Ἀντιφῶντι τῷ τραγῳδιοποιῷ [8] Πληξίππου, καὶ πλεῖστα ὅσα καὶ περὶ αὐτοῦ τοῦ Ἀντιφῶντος εἰπόντος· σφετερισάμενος καὶ ταῦτα, ἐπέγραψέ τι βιβλίον [9] Περὶ τοῦ παρὰ Ξενοφῶντι ἐν τοῖς Ἀπομνημονεύμασιν Ἀντιφῶντος, οὐδὲν ἴδιον προσεξευρὼν, [10] ὥσπερ καὶν τῷ Περὶ τοῦ λυγίνου

1 Perperam Παρὰ τοῦ Ms. 2 ἀντιμοττύρᾳ edd. ἀντικυαρίῳ vel ἀντικουαρίῳ hariolabar. ἐντιμοτάτῳ Dalec. 3 Delenda verba videntur. 4 Ἄδραστον coni. Caſaub. 5 Temere περὶ φυτῶν Dalec. 6 ἐννοίας vulgo. Unde corrigunt viri docti, περὶ τῆς τῶν ἐν τοῖς Ἠθ. Νικ. Ἀριστοτέλους ἀμφιβόλως παρατεθεμένων ἐννοίας. 7 καὶ περὶ τοῦ edd. 8 τραγῳδυποιῷ edd. 9 βυβλίον edd. 10 προσεξευροῦν edd.

dit hoc titulo, *De Corona ex Vitice apud Anacreontem:* quod ſcriptum nunc Romae reperimus apud antiquarium Demetrium. Pari modo idem Hephaeſtion cum Adranto (*ſive*, Adraſto) noſtro, viro praeclariſſimo, egit. Qui quum quinque libros edidiſſet, De his quae apud Theophraſtum in libris De Moribus ſive ad rerum cognitionem ſive ad dictionem pertinentia quaeri disceptarique poſſunt, & ſextum De his quae in Ariſtotelis Ethicis Nicomachiis: quibus in libris de Plexippo apud Antiphontem Tragicum late expoſuit, & plurima etiam de ipſo Antiphonte diſputavit: haec quoque ſua faciens Hephaeſtion, librum edidit inſcriptum *De Antiphonte apud Xenophontem in Memorabilibus*, in quo nihil ſuo Marte adiecit, quemadmodum nec in illo De Corona e Vitice

Στεφάνου. μόνον γὰρ τοῦτ' ἴδιον εἴρηκεν, ὅτι Φύλαρχος ἐν τῇ ἑβδόμῃ τῶν Ἱστοριῶν οἶδε τὴν κατὰ λύγον ἱστορίαν, καὶ ὅτι οὔτε τὰ Νικαινέτου οἶδεν, οὔτε τὰ a
Ἀνακρέοντος ὁ συγγραφεύς· ἀπέδειξέ τε καὶ διαφωνοῦντα αὐτὸν κατ' ἔνια τῶν ἱστορηθέντων παρὰ τῷ Μηνοδότῳ. Δύναται δέ τις λέγειν περὶ τῆς λύγου ἁπλούστερον, ὅτι ὁ Μεγίσθης τῇ λύγῳ ἐστεφανοῦτο, [1] ὡς παρακειμένης ἐκ τοῦ δαψιλοῦς ἐν ᾧ εὐωχεῖτο τόπῳ, συνδέσεως ἕνεκα τῶν κροτάφων. καὶ γὰρ καὶ Λακεδαιμόνιοι καλάμῳ στεφανοῦνται ἐν τῇ τῶν Προμαχίων ἑορτῇ, ὡς φησι Σωσίβιος ἐν τοῖς Περὶ τῶν ἐν Λακεδαίμονι Θυσιῶν, γράφων οὕτως· „Ἐν ταύτῃ συμβαίνει τοὺς μὲν ἀπὸ τῆς χώρας καλάμοις [2] στεφα- b
νοῦσθαι, ἢ στλεγγίδι, [3] τοὺς δ' ἐκ τῆς ἀγωγῆς παῖδας ἀστεφανώτους ἀκολουθεῖν."

Promachia, festum Lacedaemoniorum.

XVI. Ἀριστοτέλης δ' ἐν δευτέρῳ Ἐρωτικῶν, καὶ Ἀρί-

1 στεφανοῦται edd. 2 καλάμῳ edd. 3 στελεγγίδι edd.

libello. Unum enim hoc de suo dixit, Phylarchum septimo Historiarum libro meminisse illius de vitice historiae, sed nec Nicaeneti nec Anacreontis meminisse hunc scriptorem; quem etiam dissentire in nonnullis ostendit ab his quae a Menodoto tradita sunt. Possis vero de vitice simpliciori etiam ratione dicere, Megisthen vitice sese coronasse praecingendorum temporum caussa, quum virgulti huius copia tum maxime praesto esset eo loco ubi ille epulabatur. Etenim Lacedaemonii etiam calamo coronantur festo Promachiorum die, ut ait Sosibius in libris de Lacedaemoniorum Sacris, ubi ita scribit; »In hoc festo rustici quidem iuvenes calamis coronantur, aut strigile: (*sive*, bractea:) qui vero publicâ civitatis disciplinâ innutriti sunt, absque coronâ sequuntur.«

16. Aristoteles vero, secundo libro Eroticorum, & Ari-

στων ὁ Περιπατητικὸς, Κῖος δὲ τὸ γένος, ἐν δευτέρῳ Ἐρωτικῶν Ὁμοίων,[1] φασὶν, ὅτι „Οἱ ἀρχαῖοι διὰ τοὺς περὶ τὸν οἶνον πόνους τῶν κεφαλαλγιῶν,[2] δεσμοὺς εὗρισκον τοὺς τυχόντας, τῆς τῶν κροτάφων συνδέσεως ὠφελεῖν δοκούσης· οἱ δ' ὕστερον ἅμα τῷ κροτάφῳ προσέβαλόν τινα[3] καὶ κόσμον οἰκεῖον τῇ παρὰ τὸν οἶνον[4] διαγωγῇ, μηχανησάμενοι τὸν στέφανον. Βέλτιον δὲ, διὰ τὸ πάσας τὰς αἰσθήσεις ἐν τῇ κεφαλῇ εἶναι, ταύτην στεφανοῦσθαι, ἢ διὰ τὸ συμφέρειν ἐσκεπάσθαι καὶ συνδεδέσθαι τοὺς κροτάφους πρὸς τὸν οἶνον." Ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη· Origo usus coronarum.

„Ἐπὶ[5] δ' ὀφρύσι σελίνων στεφανίσκους θέμενοι, θάλειαν ἑορτὴν ἀγάγωμεν Διονύσῳ."[6]

Ἐστεφανοῦντο δὲ καὶ τὰ στήθη, καὶ ἐμύρουν ταῦτα, ἐπεὶ αὐτόθι ἡ καρδία. ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο

1 Ἐρωτ. ὁμοίως φασὶν vulgo. 2 τόνους κεφαλαλγιῶν edd. 3 προσέβαλλόν τινα edd. περιέβαλον malles. 4 περὶ τὸν οἶνον ms. Ep. 5 Ἐπεὶ edd. 6 Διονύσσῳ edd.

ſto Peripateticus, natione Ceus, ſecundo Eroticorum Similium, aiunt: » Veteres propter incommoda e vino oriunda proximis quibusque vinculis uti coeperant, cum devinctio temporum prodeſſe videretur: poſteriores vero ſimul ornatum etiam quemdam temporum adiecerunt, qui compotationis oblectationi conſentaneus eſſet, coronam invenientes. Praeſtat autem, quoniam omnes ſenſationes in capite ſunt, hoc coronari, quam tegi & conſtringi inter potandum tempora propter utilitatem. « Coronabant vero etiam frontem, ut venuſtus Anacreon ait:

Superciliis coronas ex apio imponentes,
laetum feſtum agamus Dionyſo.

Sed & pectus coronabant inungebantque; quia in eo animi ſedes. Coronas autem, quibus collum cingebant,

Hypothymiades.

τὸν τράχηλον στεφάνους, ὑποθυμιάδας, ὡς Ἀλκαῖος ἐν τούτοις·

Ἀλλ' ἀννήτω [1] μὲν περὶ ταῖς δέραις [2] d
παρθέτω [3] πλέκτας [4] ὑποθυμιάδας τις. [5]

καὶ Σαπφώ·

καὶ πολλαῖς ὑποθυμιάδαις [6]
πλέκταις ἄντια παλαιδέραι. [7]

καὶ Ἀνακρέων·

Πλεκτὰς δ' ὑποθυμιάδας
περὶ στήθεσι [8] λωτίνας ἔθεντο.

Αἴσχυλος δ' ἐν τῷ Λυομένῳ Προμηθεῖ σαφῶς φησιν, ὅτι „ἐπὶ τιμῇ [9] τοῦ Προμηθέως τὸν στέφανον περιτίθεμεν τῇ κεφαλῇ, ἀντίποινα [10] τοῦ ἐκείνου δεσμοῦ." καί τοι ἐν τῇ ἐπιγραφομένῃ Σφιγγὶ εἰπών·

1 ἀνήτω vel ἀνήτῳ corrigunt. 2 δέραισι corr. Iac. 3 Perperam περθέτω vulgo. 4 πλεκτὰς corrigunt. 5 Rectius fortasse abesset τις. 6 ὑποθυμιάδες edd. 7 Corrigunt πλεκταὶ πολλαί θ' ὑπ. κἄνθεα περιδέραια. Felicius alii, πλέκταις ἀνήτω ἀπαλαὶ δέραι. Sed rectius fortasse fuerit, ἀντί' ἀπαλᾷ δέρᾳ vel ἀπαλᾶς δέρας. 8 στήθεσσιν ms. *A*. 9 ἐπί τε τιμῇ edd. 10 ἀντίποια edd.

hypothymiadas vocabant; velut Alcaeus in his:

Sed anethi circa collum quisque
plexas ponat hypothymiadas.

& Sappho:

Et multas hypothymiadas
plexas tenerum ante [*vel*, circa] *collum.*

& Anacreon:

Plexas vero hypothymiadas
circum pectora posuere lotinas.

Aeschylus vero in Prometheo Vinculis-soluto perspicue dicit, *in Promethei honorem coronam nos imponere capiti, veluti in poenam vinculorum illius.* Quamquam idem poëta in fabula Sphinge dixit:

Τῷ δὲ ξένῳ γε στέφανον, [1] ἀρχαῖον στέφος·
δεσμῶν ἄριστος, ἐκ Προμηθέως λόγου. [2]

Σαπφὼ δ' ἁπλούστερον τὴν αἰτίαν ἀποδίδωσι τοῦ στεφανοῦσθαι ἡμᾶς, λέγουσα τάδε· Coronarum usus in Sacrificiis.

„Σὺ δὲ στεφάνοις ὤδικα [3] παρθέσθ' ἑαταῖς
φόβαισι, ὄρπακας ἀννήτῳ συνέρραισ' ἀπαλαῖσι [4] χερσίν. εὐάνθεα γὰρ πέλεται, καὶ χάρις
τε [5] μάκαιρα μᾶλλον προτέρην ἀστεφανώτοισι [6] δ' ἀπυστρέφονται." [7]

ὡς εὐανθέστερον γὰρ καὶ κεχαρισμένον μᾶλλον τοῖς θεοῖς, παραγγέλλει στεφανοῦσθαι τοὺς θύοντας. Ἀριστοτέλης δ' ἐν τῷ Συμποσίῳ φησὶν, ὅτι „Οὐδὲν κολοβὸν προσφέρομεν πρὸς τοὺς θεοὺς, ἀλλὰ τέλεια καὶ ὅλα. τὸ δὲ πλῆρες, τελειόν ἐστι. τὸ δὲ στέφειν, πλήρωσίν τινα σημαίνει. Ὅμηρος·

1 Forſ. στέφανος. 2 λύγου corrigunt viri docti. 3 Corrigunt Δωρίκα, aut ὦ Δίρκα: & dein πάρθεο. 4 συνερραὶς ἀπαλλαγείσῃ vulgo, vel ἀπαλλαγίσῃ. 5 καὶ χάριτες Ms. κεχάρισται μάκαρσι corrigit Cant. κεχαρισμένα τε μάκαρσι μᾶλλον τά γ' ἱερεῖα Caſaub. 6 προτέρνα στεφανώτοισι vulgo. 7 δαπυστρέφονται vulgo. Corrigunt δ' ἀποστρέφονται.

Hoſpiti coronam, antiquum coronamentum:
vinculorum hoc optimum eſt, ex Promethei ratione.

Sappho vero ſimplicius cauſſam reddit cur coronemur, haec dicens:

Tu vero coronas . . adpone amabili comae,
ſurculos anethi nectens teneris manibus.
Florida enim grata ſunt Superis:
incoronatos vero averſantur.

Monet coronari ſacra-facientes, quia pulcrius hoc & magis gratum Diis. Ariſtoteles vero in Sympoſio ſcribit: »Düs nihil mancum offerimus, ſed perfecta & integra. *Coronare* vero completionem quamdam & perfectionem ſignificat. Homerus:

Κοῦροι δὲ κρητῆρας ἐπιστέψαντο ποτοῖο.

καί·

Ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει. —

τοὺς γὰρ αὖ [1] τὴν ὄψιν ἀμόρφους, φησὶν, ἀναπληροῖ ἡ τοῦ λέγειν πιθανότης. ἔοικεν οὖν ὁ στέφανος τοῦτο a ποιεῖν βούλεσθαι. διὸ καὶ περὶ τὰ πένθη τοὐναντίον παρασκευάζομεν. ὁμοιοπαθείᾳ [2] γὰρ τοῦ κεκμηκότος, κολοβοῦμεν ἡμᾶς αὐτοὺς τῇ τε κουρᾷ τῶν τριχῶν, καὶ τῇ τῶν στεφάνων ἀφαιρέσει."

XVII. Philonides medicus, de Coronis.

Φιλωνίδης δ' ὁ ἰατρὸς ἐν τῷ Περὶ Μύρων καὶ Στεφάνων· „Ἐκ τῆς Ἐρυθρᾶς, φησὶ, θαλάττης ὑπὸ Διονύσου μετενεχθείσης εἰς τὴν Ἑλλάδα τῆς ἀμπέλου, καὶ πρὸς ἄμετρον ἀπόλαυσιν τῶν πολλῶν ἐκτρεπομένων, ἄκρατόν τε προσφερομένων, [3] οἱ μὲν αὐτῶν μανιωδῶς ἐκτρεπόμενοι παρέπαιον, [4] οἱ δὲ νεκροῖς b ἐῴκεσαν ἀπὸ τῆς καρώσεως. ἐπ' ἀκτῆς δέ τινων πινόντων, ἐπιπεσὼν ὄμβρος τὸ μὲν συμπόσιον διέλυσε,

1 Commode *ignorat αὖ Epit.* 2 ὁμοιοπαθεῖς edd. cum ms. *A.* 3 προσφ. αὐτῶν οἱ μὲν ms. *A.* αὐτὸν οἱ μὲν ms. *Ep.* 4 παρέπεον edd. cum ms. *A.*

Pueri pateras coronaverunt vino.

&: *Sed Deus formam verbis coronat.*

Nam adſpectu deformibus, ait, id quod deeſt ſupplet orationis facundia. Videtur igitur corona intelligi hoc facere. Quare in luctu contrarium inſtituimus. Nam veluti compatientes cum defuncto, mutilamus nos ipſos, tonſo capillo, & detractâ coronâ. «

17. Philonides medicus in libro De Unguentis & Coronis haec ſcribit: »Translatâ e rubro mari vite in Graeciam a Baccho, cum in immodicum vini uſum vulgo deflecterent homines, & meracum biberent, alii ex his in furorem acti inſaniebant, alii gravedine oppreſſi mortuis ſimiles erant. Accidit autem, nonnullis in maris littore potantibus, ut, ſolutâ ob vehementem im-

τὸν δὲ κρατῆρα, ὃς εἶχεν ὀλίγον οἶνον ὑπολελειμμένον, ἐπλήρωσεν ὕδατος. γενομένης δ' αἰθρίας, εἰς τὸν αὐτὸν ὑποστρέψαντες [1] τόπον, γευσάμενοι τοῦ μίγματος, προσηνῆ καὶ ἄλυπον ἔσχον ἀπόλαυσιν. καὶ διὰ τοῦθ' οἱ Ἕλληνες τῷ μὲν παρὰ δεῖπνον [2] ἀκράτῳ προσδιδομένῳ τὸν Ἀγαθὸν ἐπιφωνοῦσι Δαίμονα, τιμῶντες τὸν εὑρόντα δαίμονα. ἦν δ' οὗτος ὁ Διόνυσος. τῷ δὲ μετὰ
c δεῖπνον κεκραμένῳ πρώτῳ προσδιδομένῳ ποτηρίῳ Δία Σωτῆρα ἐπιλέγουσι, τῆς ἐκ τοῦ μίγματος ἀλύπου κράσεως τὸν καὶ τῶν ὄμβρων ἀρχηγὸν αἴτιον ὑπολαβόντες. Ἐδέησεν οὖν βοηθημάτων τοῖς ἐν τῷ πότῳ κεφαλὴν ἐπιβλιβεῖσιν. ἦν δὲ δεσμὸς ἐξ αὐτῶν προχειρότατος, καὶ τῆς Φύσεως ἐπὶ τοῦτο ὁδηγούσης. ἀλγήσας γάρ τις κεφαλὴν, ὥς φησιν Ἀνδρέας, εἶτα πιέσας, καὶ κουφισθεὶς, εὗρε κεφαλαλγίας δεσμὸν φάρ-

1 ἐπιστρέψαντες edd. cum ms. *A*. 2 περὶ δεῖπνον ms. *Ep*. μετὰ δ. corr. Palm. & deinde τῷ δὲ παρὰ δεῖπνον.

brem compotatione, patera, in qua nonnihil vini relictum erat, aquâ repleretur. Igitur redeunte sereno, quum in eumdem locum reversi temperatum potum gustassent, mitem atque minime molestam ex potione voluptatem perceperunt. Ea de causa Graeci, cum merum bibunt quod in coena distribuitur, *Bonum Deum* invocant, honorantes Deum vini inventorem, nempe Bacchum. Ad primum autem temperatum poculum quod post coenam datur *Iovem Servatorem* invocant, eumdem & imbrium & innoxiae vini temperationis auctorem existimantes. Illis igitur, qui ex potu dolore capitis adfligebantur, opus erat aliqua medela: & ultro eis occurrebat remedium paratissimum, nempe vinculum, ipsâ naturâ duce. Nam capitis dolore adfectus aliquis, ut ait Andreas, compresso (manibus) capite levatum se dolore sentiens, vinculum invenit cephalalgiae reme-

μακον. Τούτῳ οὖν βοηθήματι πρὸς τοὺς [1] πότους χρώμενοι, τοῖς παραπίπτουσι [2] τὴν κεφαλὴν ἐδέσμευον· d καὶ ἐπὶ τὸν κίσσινον στέφανον ἦλθον, αὐτόματόν τε καὶ πολὺν ὄντα, καὶ κατὰ πάντα τόπον γεννώμενον, ἔχοντα καὶ πρόσοψιν οὐκ ἀτερπῆ, χλωροῖς πετάλοις καὶ κορύμβοις σκιάζοντα τὸ μέτωπον, καὶ τοὺς ἐν τῷ σφίγγειν τόνους ὑπομένοντα, προσέτι δὲ ψύχοντα χωρὶς ὀδμῆς καρούσης. καὶ ταύτῃ μοι δοκεῖ Διονύσῳ ὁ βίος ἀνεῖναι τὸ στέφος, τὸν εὑρετὴν τοῦ πώματος [3] καὶ τῶν δι' αὐτὸ ἐλασσωμάτων ἀλεξητῆρα [4] βουλόμενος εἶναι. [5] ἐντεῦθεν δὲ εἰς ἡδονὴν τραπέντες, τὸ μὲν συμφέρον [6] καὶ τοῖς ἐκ μέθης παραβοηθοῦν [7] ἐλαττώμασιν ἀφή- e καντες, [8] τοῦ πρὸς ὄψιν ἢ πρὸς ὀσμὴν ἐπιτερποῦς ἐφρόντισαν. Διὸ μυρσίνης μὲν στέφανον, στύφοντα καὶ τὴν

1 Deeſt τοὺς edd. & ms. *A.* 2 παραπίνουσι ms. *Ep.* 3 πόματος ms. *Ep.* 4 ἀλεξιτῆρα edd. 5 τῷ εὑρετῇ - - - ἀλεξητῆρι βουλομένῳ εἶναι ms. *Ep.* 6 τὸ μὲν εἰς συμφέρον edd. cum ms. *A.* 7 παραβοηθῶν iidem. 8 ἐλαττώματος ὁ στέφανος iidem. τὸ μὲν τοῖς ἐκ τῆς μέθης παραβοηθεῖν ἐλαττώμασιν ἀφῆκαν, τοῦ δὲ πρὸς ὄψιν ms. *Ep.*

dium. Hoc igitur praeſidio in compotationibus utentes, quodcumque vinculi genus in proximo erat, eo caput obligabant: adeoque in hederaceam incidebant coronam, cum & ſponte & copioſe ubique naſcatur hedera, & ſpeciem habeat non iniucundam, viridibus foliis & corymbis frontem obumbrans, & valide adſtringi ſe patiatur, denique refrigeret absque odore gravedinem adferente. Atque eâ cauſſâ mihi videntur homines Baccho ſacram feciſſe coronam, inventorem potionis intelligentes eumdem propulſatorem eſſe incommodorum ex illa naſcentium. Inde vero ad voluptatem converſi, utilitatem & incommodorum ex ebrietate remedium minoris facientes, exteriorem ſpeciem & odoris ſuavitatem magis curarunt. Itaque myrtea quidem corona, quae vim habet adſtringendi & vini exhalatio-

οἴνων ἀναθυμίασιν ἀποκρουόμενον, ἔτι δὲ ῥόδινον, ἔχοντά τι καὶ κεφαλαλγίας παρηγορικὸν σὺν τῷ κατὰ ποσὸν ψύχειν, πρὸς δὲ τοῖς[1] δάφνινον, οὐκ ἀλλότριον τοῖς πότοις ἡγητέον. λευκοΐον δὲ, κινητικὸν ὄντα κεφαλῆς, καὶ ἀμαράκινον, καὶ ἅπαντας τοὺς καροῦν δυναμένους ἢ βαρύνειν ἄλλως κεφαλὴν, περιστατέον." [2] Τὰ αὐτὰ εἴρηκε καὶ Ἀπολλόδωρος [3] ἐν τῷ Περὶ Μύρων καὶ Στεφάνων, αὐταῖς λέξεσι. Καὶ περὶ μὲν τούτων, ὦ ἑταῖροι, ταῦτα.

XVIII. Corona Naucratita.

Περὶ δὲ τοῦ Ναυκρατίτου στεφάνου, τίς ἐστι τὴν ἄνθην,[4] πολλὰ ἀναζητήσας, καὶ πολλῶν πυθόμενος, ὡς οὐδὲν ἐμάνθανον, ἐνέτυχον ὀψέ ποτε Πολυχάρμου Ναυκρατίτου ἐπιγραφομένῳ βιβλίῳ Περὶ Ἀφροδίτης, ἐν ᾧ ταυτὶ γέγραπται· „Κατὰ δὲ τὴν τρίτην πρὸς ταῖς εἴκοσιν Ὀλυμπιάδα ὁ Ἡρόστρατος, πολίτης ἡμέτερος, ἐμπορίᾳ χρώμενος, καὶ χώραν πολλὴν περιπλέων,

1 τούτοις malebam. 2 παραιτητέον *Epit.* 3 Ἀπολλώνιος vulgo vocatur infra. 4 τὴν ἀρχὴν corrigunt viri docti.

nes reprimendi, item roſea, quae praeterquam quod nonnihil refrigerat, capitis etiam dolorem aliquatenus levat, adhaec laurea, compotationibus commodae exiſtimandae ſunt. Sed ex leucoio corona, & amaracina, & quaecumque vim quamdam habent ſopiendi aut quovis modo caput gravandi, repudiandae." Eadem, ad verbum, dixit etiam Apollodorus in libris De Unguentis & Coronis. Et haec quidem, amici, hactenus.

18. De *Naucratita* vero *corona*, qualis ſit quod ad genus florum ſpectat, poſtquam multa perquiſivi, & percunctatus ſum e multis, cum nihil didiciſſem, ſero tandem incidi in Polycharmi Naucratitae librum, De Venere inſcriptum, in quo haec ad verbum ſcripta leguntur: »Olympiade vigeſima tertia Heroſtratus, civis noſtrâs, peregre profectus, multis terris circumnavigatis,

προσχών ποτε καὶ Πάφῳ τῆς Κύπρου, ἀγαλμάτιον a
Ἀφροδίτης σπιθαμιαῖον, ἀρχαῖον τῇ τέχνῃ, ὠνησάμενος ἤει φέρων εἰς τὴν Naύκρατιν. καὶ αὐτῷ πλησίον φερομένῳ τῆς Αἰγύπτου, ἐπεὶ χειμὼν αἰφνίδιον [1] ἐπέπεσε, καὶ συνιδεῖν οὐκ ἦν ὅπου [2] γῆς ἦσαν, κατέφυγον ἅπαντες ἐπὶ τὸ τῆς Ἀφροδίτης ἄγαλμα, σώζειν αὐτοὺς αὐτὴν δεόμενοι. ἡ δὲ θεὸς, προσφιλὴς γὰρ τοῖς Naυκρατίταις ἦν, αἰφνίδιον ἐποίησε πάντα τὰ παρακείμενα αὐτῇ μυρρίνας χλωρᾶς πλήρη, ὀδμῆς δὲ ἡδίστης ἐπλήρωσε τὴν ναῦν ἤδη ἀπειρηκόσι τοῖς ἐμπλέουσι τὴν σωτηρίαν διὰ τὴν πολλὴν ναυτίαν. γενομένου δὲ ἐμέτου πολλοῦ, καὶ ἡλίου ἐκλάμψαντος, κατιδόντες τοὺς ὅρους, ἦκον εἰς τὴν Naύκρατιν. καὶ ὁ Ἡρόστρατος ἐξορμήσας τῆς νεὼς μετὰ τοῦ ἀγάλματος, ἔχων καὶ τὰς αἰφνίδιον αὐτῷ ἀναφανείσας χλωρὰς μυρρίνας, ἀνέθηκεν ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ. θύσας τε [3] τῇ b

1 αἰφνίδιος edd. 2 ὅποι Ms. 3 θυσίας τε edd. cum Ms.

nave ad Paphum Cypri adpulsâ, emtam ibi imaguncu-
lam Veneris magnitudine ſpithamae, vetuſti operis, ſe-
cum Naucratim reportaturus erat. In reditu cum pro-
pe Aegyptum navis verſaretur, ſubito ingruente tem-
peſtate & terrae aſpectum adimente, ut ubi locorum
eſſent neſcirent, confugerunt omnes ad Veneris ima-
gunculam, ſalutem ſibi ab illa precantes. Et Dea (be-
nevola quippe erat in Naucratitas) ſubito omne circum-
circa ſpatium viridi myrto replevit, & per totam na-
vem ſuaviſſimum odorem ſparſit, cum ſalutem iam de-
ſperaſſent vectores ob multam nauſeam. Sed multo ſe-
cuto vomitu, cum ſol eis rediret, conſpectis ſuis fini-
bus Naucratin pervenerunt. Et Heroſtratus e navi pro-
ſiliens cum imagine & cum viridibus myrtis, quae
ſubito exſtiterant, Deae omnia conſecravit. Itaque per-

θεῷ, καὶ ἀναθεὶς τῇ Ἀφροδίτῃ ἄγαλμα,[1] καλέσας τε καὶ ἐφ' ἑστίασιν ἐν αὐτῷ τῷ ἱερῷ τοὺς προσήκοντας
c καὶ τοὺς οἰκειοτάτους, ἔδωκεν ἑκάστῳ καὶ στέφανον ἐκ τῆς μυρρίνης, ὃν καὶ τότε ἐκάλεσε Ναυκρατίτην." Ὁ μὲν οὖν Πολύχαρμος ταῦτα. οἷς κἀγὼ πείθομαι, ἡγούμενος οὐκ ἄλλον τινα εἶναι Ναυκρατίτην στέφανον, ἢ τὸν ἐκ τῆς μυρρίνης, τῷ καὶ μετὰ τῶν ῥόδων ὑπὸ τοῦ Ἀνακρέοντος φορεῖσθαι. καὶ ὁ Φιλωνίδης δὲ εἴρηκεν, ὡς ὁ τῆς μυρρίνης στέφανος τὴν ἐκ τῶν οἴνων ἀναθυμίασιν ἀποκρούεται, καὶ ὁ τῶν ῥόδων ἔχει τι κεφαλαλγίας παρηγορικὸν πρὸς τῷ καὶ ἐμψύχειν. Γελοῖοι οὖν εἰσι καὶ οἱ λέγοντες, Ναυκρατίτην εἶναι στέ- Papyrus coronaria.
d φανον τὸν ἐκ τῆς βίβλου τῆς στεφανωτρίδος καλουμένης παρ' Αἰγυπτίοις στεφόμενον, παρατιθέμενοι Θεοπόμπου ἐκ τῆς τρίτης τῶν Ἑλληνικῶν, ὅς φησιν „Ἀγησιλάῳ τῷ Λάκωνι παραγινομένῳ εἰς Αἴγυπτον

1 τὸ ἄγαλμα aut τἄγαλμα malebam.

actis ſacris, & imagine Veneri dedicata, convocatisque ad epulum in ipſo templo propinquis & familiaribus, coronam cuique ex myrto dedit, eamque coronam *Naucratitam* tunc adpellavit. « Haec igitur tradit Polycharmus. Quibus fidem equidem habens, non aliam eſſe Naucratitam coronam exiſtimo, niſi ex myrto; cum praeſertim apud Anacreontem ſimul cum roſis illa geſtetur. Atque etiam Philonides dixit, myrteam coronam exhalationes e vino reprimere, roſeam vero, praeterquam quod refrigeret, vim quamdam habere levandi capitis dolores. Quare ridiculi ſunt qui dicunt, Naucratitam coronam, illam eſſe quae e *papyro coronaria*, quae vocatur, quae apud Aegyptios in uſu eſt, nectitur; adponentes Theopompi verba ex tertio libro Hellenicorum, ubi ait, » Ageſilao Lacedaemonio, quum in Aegyptum

δῶρα πέμψαι τοὺς Αἰγυπτίους ἄλλα τέ τινα, καὶ δὴ καὶ τὴν στεφανωτρίδα βίβλον." Ἐγὼ δὲ οὐκ οἶδα, τίνα ὠφέλειαν ἢ ἡδονὴν ἔχει τὸ βίβλῳ [1] στεφανοῦσθαι μετὰ ῥόδων, πλὴν εἰ μὴ οἱ τούτοις χαίροντες στέψονται ὁμοῦ σκορόδους καὶ ῥόδα. παμπόλλους δὲ οἶδα λέγοντας τὸν ἐκ τῆς σαμψύχου στέφανον εἶναι τὸν Ναυκρατίτην· πολὺ δὲ τὸ ἄνθος τοῦτο κατὰ τὴν Αἴ- e
γυπτον. διάφορος δὲ γίνεται κατὰ τὴν ὀδμὴν ἡ ἐν Αἰγύπτῳ μυρρίνη παρὰ τὰς ἐν ἄλλαις χώραις, ὡς καὶ Θεόφραστος ἱστορεῖ.

XIX.

Στέφανος, στέφος, στέμμα.

Ἔτι τούτων λεγομένων, ἐπεισῆλθον παῖδες στεφάνους φέροντες τῶν ἀκμαζόντων κατὰ τοὺς καιρούς. καὶ ὁ Μυρτίλος· Λέγε καλὲ, εἶπεν, Οὐλπιανὲ, στεφάνων ὀνόματα. οἱ γὰρ παῖδες, κατὰ τὸν Χαιρήμονος Κένταυρον,

στεφάνους ἑτοιμάζουσιν, οὓς εὐφημίας

1 βύβλῳ h. l. mssti.

perveniſſet, dona miſiſſe Aegyptios, cum alia, tum coronariam papyrum.« Ego vero neſcio, quem uſum, quamve voluptatem habeat papyro coronari cum roſis: niſi forte qui his gaudent, iidem etiam allio & roſis coronari ament. Novi vero etiam dicere permultos, ex ſampſucho (*id eſt*, amaraco) eſſe Naucratitam coronam: qui frequens flos eſt in Aegypto. Sed odoris ſuavitate in Aegypto, prae aliis omnibus regionibus, excellit myrtus, quemadmodum etiam Theophraſtus tradit.

19. Adhuc haec dicebantur, quum intrarunt pueri, coronas ferentes e floribus ea tempeſtate vigentibus. Et Myrtilus: Ede nobis, inquit, o praeclare Ulpiane, coronarum nomina. Nam *pueri*, ut ait Chaeremonis Centaurus,

coronas parant, quas ut fauſti ominis praecones

κήρυκας εὐχαὶ προὐβάλοντο δαιμόνων.

f καὶ ἐν τῷ Διονύσῳ δὲ ὁ αὐτὸς [1] ἔφη ποιητής·

στεφάνους τεμόντες, ἀγγέλους εὐφημίας.

σὺ δὲ μὴ τὰ ἐκ τῶν ἐπιγραφομένων Αἰλίου Ἀσκληπιάδου Στεφάνων φέρε ἡμῖν, ὡς ἀνηκόοις αὐτῶν, ἀλλ' ἄλλο τι παρ' ἐκεῖνα λέγε. δεῖξαι γὰρ οὐκ ἔχεις, ὅτι διαλελυμένως τις εἴρηκε ῥόδων στέφανον, καὶ ἴων στέφανον· [2] τὸ γὰρ παρὰ Κρατίνῳ κατὰ παιδιὰν εἴρηται, „νάρκισσίνους ὀλίσβους." [3] Καὶ ὃς γελάσας· Πρῶτος ἐν τοῖς Ἕλλησι στέφανος ὠνομάσθη, ὥς φησι Σῆμος ὁ Δήλιος ἐν τετάρτῳ Δηλιάδος, τὸ παρὰ

a μὲν ἡμῖν στέφος, [4] παρὰ δέ τισι στέμμα προσαγορευόμενον. διὸ καὶ τούτῳ πρώτῳ στεφανωσάμενοι, δεύτερον περιτιθέμεθα τὸν δάφνινον. κέκληται [5] δὲ στέφανος ἀπὸ τοῦ στέφειν." [6] Σὺ δὲ οἶει με, ἔφη, Θετταλὲ

1 αὐτὸς absque ὁ edd. 2 Suspectus locus. 3 ὁλίσκους edd. ὀλίσκους Ms. 4 στέφανος vulgo. 5 κέχλιται edd. 6 ἀπὸ τοῦ στεφάνου vulgo.

praetendunt preces Diis oblatae.

Idemque poëta in fabulâ Baccho ait:

Coronas abſciderunt, fauſti ominis nuncias.

Tu vero non illa ex Aelii Aſclepiadis Coronis, quae inſcribuntur, nobis profer, quaſi nobis incognita eſſent: ſed aliud quidpiam praeter illa prome. Nec enim habes dicere, ſolutim & discretim quempiam dixiſſe *roſarum coronam* aut *violarum coronam:* nam iſtud apud Cratinum, *narciſſinos olisbos*, per iocum dictum eſt. Et ille ridens, ita infit: *Corona* (στέφανος) apud Graecos, ut ait Semus Delius quarto libro Deliadis, primum nominatum eſt id quod apud nos στέφος, (*velamen*,) apud nonnullos vero στέμμα (*infula, vitta*) vocatur. Quare etiam hoc primo cincti, deinde demum lauream imponimus. Nominatus eſt autem στέφανος, a verbo στέφειν. (*tegere, velare, cingere.*) « Tu vero, inquit, multiloque Theſſa-

ποικιλόμυθε, τῶν κοινῶν τούτων καὶ κατημαξευμένων ἐρεῖν τι; διὰ δὲ τὴν σὴν γλῶσσαν τῆς ὑπογλωττίδος μνησθήσομαι, ἧς Πλάτων ἐμνήσθη ἐν Διὶ κακουμένῳ·

Καί τοι φορεῖτε γλῶσσαν ἐν ὑποδήμασι·
στεφανοῦσθε δ' [1] ὑπογλωττίσιν, [2] ὅταν [3] πίνητέ που· [4]
κἆν [5] καλλιερῆτε, γλῶτταν ἀγαθὴν πέμπετε. [6] b

Θεόδωρος δ' ἐν ταῖς Ἀττικαῖς Φωναῖς, ὥς φησι Πάμφιλος ἐν τοῖς Περὶ Ὀνομάτων, πλοκῆς στεφάνων γένος τι τὴν ὑπογλωττίδα ἀποδίδωσι. Λάβε οὖν παρ' ἐμοῦ· κατὰ γὰρ τὸν Εὐριπίδην,

Ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων
ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός.

XX. Coronarum vel Sertorum rariora nomina: Isthmium.

Ἰσθμιακόν. Οὕτως τοῦτον καλούμενον στέφανον Ἀριστοφάνης μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς, λέγων οὕτως·

1 στεφάνους δ' vulgo. 2 ὑπὸ γλάττησιν edd. 3 ὅτε vulgo. 4 πεἰνητέ που Ms. 5 καὶ vulgo. 6 πίμπεται Ms.

le, putas-ne vulgarium horum tritorumque aliquid me dicturum? Sed propter tuam linguam *hypoglottidis* mentionem faciam, cuius Plato meminit in Iove male-adfecto:

Atqui geſtatis linguam in calceis:
coronamini vero hypoglottidibus, ſicubi compotatis:
& quum caeſa victima litatis, bona verba (γλῶτταν ἀγαθὴν) *mittitis.*

Theodorus vero in Vocibus Atticis, ut ait Pamphilus in libro de Nominibus, *hypoglottidem* interpretatur nexûs quoddam genus coronarum. Accipe igitur a me: nam ſecundum Euripidem,

In utramque partem facile eſt de re qualibet
diſſerere, ſi quis valeat eloquii artibus.

20. *Iſthmiacum.* Sic nominatam hanc coronam Ariſtophanes in Tageniſtis commemorare dignatus eſt, ubi ait:

c Τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν·
εἶτ' ἰσθμιακὰ λαβόντες, ὥσπερ οἱ χοροὶ,
ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον.

Σιληνὸς δ' ἐν ταῖς Γλώτταις φησίν· „ἴσθμιον στέφανον.“ Φιλήτας [1] δὲ φησί· „στέφανος. [2] ἤγουν ὁμωνυμία ἀμφοτέρωθι, οἷον τῆς κεφαλῆς καὶ τοῦ πρώτου [3] κόσμου. λέγω δὲ τὸ [4] ἐπὶ τοῦ φρέατος καὶ τοῦ ἐγχειριδίου ἴσθμιον.“ Τιμαχίδας δὲ καὶ Σιμμίας οἱ Ῥόδιοι ἀποδιδόασιν ἓν ἀνθ' ἑνός· „ἴσθμιον, στέφανον· [5] οὗ μνημονεύει καὶ Καλλίξεινος, [6] ὁ Ῥόδιος [7] καὶ αὐτὸς
d γένος, ἐν τοῖς Περὶ Ἀλεξανδρείας, γράφων οὕτως·
* * * *“

XXI. Corona Antinoëa, ex loto.

Ἐπεὶ δὲ Ἀλεξανδρείας ἐμνημόνευσα, οἶδά τινα ἐν τῇ καλῇ ταύτῃ πόλει καλούμενον στέφανον Ἀντινόειον, γινόμενον [8] ἐκ τοῦ αὐτόθι καλουμένου λωτοῦ.

1 Φιλίτας Ms. 2 Ἰσθμιακὸς στέφανος coni. Dalec. 3 *cervicis* Dalec. προσώπου Purs. τοῦ πρώκτου καὶ τοῦ κόλπου Villebr. 4 λέγω δὲ τοῦ edd. Caeterum *obscurus* & haud dubie *corruptus locus.* 5 Iungunt vulgo, ἴσθμιον στέφανον, nullo interiecto commate. 6 Καλλίξενος edd. 7 Καλλ. Ῥόδιος malebam, absque artic. 8 γενόμενον edd.

Quid ergo faciamus? Laenam oportebat albam sumere:
deinde isthmiaca sumentes, veluti chori,
canamus laudes heri.

Silenus in Glossis ait: *Isthmiam coronam.* Philetas vero ait: »*Corona.* Nempe ambiguitas utrimque, veluti capitis & primi mundi. Dico vero *isthmium* in puteo & in gladiolo.« Timachidas vero & Simmias Rhodii alterum per alterum reddunt: »*Isthmium*, coronam: cuius meminit etiam Callixenus, ipse quoque Rhodius, in libris de Alexandria, ubi ait: * * * *« 21. Quoniam vero mentionem feci Alexandriae, memini etiam in pulcrâ hac urbe *Antinoëam* nominari coronam quamdam; quae fit ex *loto* qui ibi vocatur. Na-

φύεται δ' οὗτος ἐν λίμναις, θέρους ὥρᾳ, καί εἰσιν αὐτοῦ χροιαὶ δύο, ἡ μὲν τῷ ῥόδῳ ἐοικυῖα· ἐκ τούτου δ' ὁ πλεκόμενος στέφανος κυρίως Ἀντινόειος καλεῖται· ὁ δ' ἕτερος λώτινος ὀνομάζεται, κυανέαν [1] ἔχων τὴν χροιάν. καὶ Παγκράτης τις τῶν ἐπιχωρίων ποιητὴς, ὃν καὶ ἡμεῖς ἔγνωμεν, Ἀδριανῷ τῷ αὐτοκράτορι ἐπιδημήσαντι τῇ Ἀλεξανδρείᾳ, μετὰ πολλῆς τερατείας ἐπέδειξε τὸν ῥοδίζοντα λωτὸν, φάσκων αὐτὸν δεῖν καλεῖν Ἀντινόειον, [2] ἀναπεμφθέντα ὑπὸ τῆς γῆς, ὅτε τὸ αἷμα ἐδέξατο τοῦ Μαυρουσίου λέοντος, ὃν κατὰ τὴν πλησίον τῇ Ἀλεξανδρείᾳ Λιβύην ἐν κυνηγίῳ καταβεβλήκει ὁ Ἀδριανὸς, μέγα χρῆμα ὄντα, καὶ πολλῷ χρόνῳ κατανεμηθέντα πᾶσαν τὴν Λιβύην, ἧς καὶ πολλὰ ἀοίκητα ἐπεποιήκει οὗτος ὁ λέων. ἡσθεὶς οὖν ἐπὶ τῇ τῆς ἐννοίας εὑρέσει καὶ καινότητι, [3] τὴν ἐν Μουσῶν αὐτῷ σίτησιν ἔχειν ἐχαρίσατο. Καὶ Κρατῖ-

Adrianus imperator.

1 χιονέαν corrigunt viri docti. 2 Ἀντινόϊον h. l. ms. *A*. 3 καὶ νεότητι edd.

ſcitur autem hic in paludibus, mediâ aeſtate. Floris duplex color: alter roſae ſimilis, e quo nexa corona proprie *Antinoëa* vocatur: altera corona *lotina* nominatur, caeruleum [*ſive, ut corrigunt nonnulli*, niveum] habeńs colorem. Et Pancrates quidam, indigena poëta, quem etiam nos cognitum habuimus, Adriano Imperatori, Alexandriae verſanti, roſeum lotum veluti miraculum quoddam oſtentavit; dicens debere illum *Antinoëum* nominari, editum tunc e terrâ, cum ſanguinem illa accepiſſet Mauri leonis, quem Adrianus in Libya Alexandriae finitima, cum venaretur, proſtraverat; ingentem belluam, quae diu Libyam ita vaſtaverat, ut magnam eius partem deſertam reddidiſſet hic leo. Delectatus igitur Adrianus commenti inventione ac novitate, conceſſit poëtae ut publico ſumtu in Muſeo aleretur.

νος δ' ὁ κωμῳδιοποιὸς ἐν Ὀδυσσεῦσι κέκληκε τὸν λωτὸν [1] στεφάνωμα, διὰ τὸ πάντα τὰ φυλλώδη ὑπὸ τῶν Ἀθηναίων στεφανώματα λέγεσθαι. ὁ δὲ Παγκράτης ἐν τῷ ποιήματι οὐκ ἀγλαΦύρως εἴρηκεν·

Οὔλην ἔρπυλλον, λευκὸν κρίνον, ἦδ' ὑάκινθον
πορΦυρέην, λευκοῦ [2] δὲ χελιδονίοιο πέτηλα,
καὶ ῥόδον εἰαρινοῖσιν ἀνοιγόμενον ζεΦύροισιν·
οὔπω γὰρ Φύεν ἄνθος ἐπώνυμον Ἀντινόοιο.

XXII. Pyleon, corona.

a Πυλέων. [3] Οὕτως καλεῖται ὁ στέφανος, ὃν τῇ Ἥρᾳ περιτιθέασιν οἱ Λάκωνες, ὥς Φησι ΠάμΦιλος. Ἀλλὰ μὴν καὶ Ἰάκχαν τινὰ καλούμενον οἶδα στέφανον ὑπὸ Σικυωνίων, ὥς Φησι Τιμαχίδας ἐν ταῖς Γλώτταις. Φιλήτας [4] δ' οὕτως γράΦει· „Ἰάκχα, ἐν τῇ Σικυωνίᾳ στεφάνωμα εὐῶδες·

Ἕστηκ', ἀμΦὶ κόμας εὐώδεας, [5] ἀγχόθι πατρὸς,
καλὸν Ἰακχαῖον θηκαμένη στέφανον."

1 τὸ λωτὸν ms. *A.* 2 Forſ. γλαυκοῦ. 3 Neſcio an rectius Πυλεών. 4 Φιλίτας ms. *A.* & ſic iterum haud multo poſt. 5 ἀμφίκομα εὐώδεος edd. ἀμφίκομα εὐώδεας Ms. ἀμφὶ κόμαις εὐώδεσιν Fior.

Sed & Cratinus in Ulyſſibus *coronamentum* dixit *lotum*: quoniam folioſa & herboſa omnia ab Atticis *coronamenta* dicuntur. Pancrates vero in illo carmine haud invenuſte dixerat:

Criſpum ſerpillum, candidum lilium, & hyacinthum
purpureum, albi vero [ſive, *glauci*] *chelidonii folia,*
& roſam vernis hiscentem Zephyris:
nec dum enim Antinoi florem ediderat tellus.

22. *Pyleon.* Sic vocatur corona, quam Iunoni imponunt Lacedaemonii; ut ait Pamphilus.

Novi vero etiam *Iaccham* dictam coronam quampiam apud Sicyonios, ut Timachidas ait in Gloſſis. Philetas vero ita ſcribit: »Iaccha, in Sicyoniâ, corona fragrans:

Stetit prope patrem, fragranti comae
pulcram impoſitam habens Iacchaeam coronam.«

Σέλευκος δέ, ἐν ταῖς Γλώσσαις, Ἑλλωτίδα καλεῖσθαί φησι τὸν ἐκ μυρρίνης πλεκόμενον στέφανον, ὄντα τὴν περίμετρον πηχῶν κ̄, πομπεύειν τε ἐν τῇ τῶν b Ἑλλωτίων ἑορτῇ. φασὶ [1] δ' ἐν αὐτῷ τὰ τῆς Εὐρώπης ὀστᾶ κομίζεσθαι, ἣν ἐκάλουν Ἑλλωτίδα. ἄγεσθαι δὲ καὶ ἐν Κορίνθῳ τὰ Ἑλλώτια. [2]

Corona Thyreatica.

Θυρεατικοί. Οὕτω καλοῦνται στέφανοί τινες παρὰ Λακεδαιμονίοις, ὡς φησι Σωσίβιος ἐν τοῖς Περὶ Θυσιῶν, ψιλίνους αὐτοὺς φάσκων νῦν ὀνομάζεσθαι, ὄντας ἐκ φοινίκων. φέρειν δ' αὐτούς, ὑπόμνημα τῆς ἐν Θυρέᾳ [3] γενομένης νίκης, τοὺς προστάτας τῶν ἀγομέ-

Gymnopaediae.

νων χορῶν ἐν τῇ ἑορτῇ ταύτῃ, ὅτε καὶ τὰς Γυμνοπαιδιὰς ἐπιτελοῦσι. χοροὶ δ' εἰσὶ, τὸ μὲν εὐπροσώπων c παίδων, [4] τὸ δ' ἐξ ἀρίστων ἀνδρῶν, [5] γυμνῶν ὀρχουμένων, καὶ ᾀδόντων Θαλήτου καὶ Ἀλκμᾶνος ᾄσματα, καὶ τοὺς Διονυσοδότου τοῦ Λάκωνος παιᾶνας.

1 φησὶ edd. 2 Ἑλλώτια h. l. ms. *A*. 3 Temere Θυρέῳ ed. Caſ. 2. & 3. 4 τὸ μὲν πρόσω παίδων vulgo. 5 τὸ δ' ἐξ ἀρίστου ἀνδρῶν vulgo.

Seleucus vero, in Gloſſis, *Ellotidem* (ſive *Hellotidem*) vocari ait coronam illam ex myrto nexam, viginti cubitorum ambitu, quae in Ellotiorum (*ſive*, Hellotiorum) feſto pompa ſolenni deducitur. Dicunt autem in illa geſtari Europae oſſa, quam Ellotidem vocant. Agitur autem Ellotiorum feſtum Corinthi.

Thyreaticae. Sic vocabantur coronae quaedam apud Lacedaemonios, ut ait Soſibius in libris De Sacrificiis ſolennibus: *pſilinas* aiens nunc nominari, eſſeque e palma. Geſtare autem eas, in victoriae ad Thyream reportatae memoriam, duces chororum qui in illo feſto ducuntur, quando etiam Gymnopaedias celebrant. Sunt autem chori, hinc formoſorum puerorum, illinc fortiſſimorum virorum; qui nudi ſaltant, & carmina canunt Thaletae & Alcmanis, & Dionyſidoti Lacedaemonii paeanas.

Μελιλωτίνων[1] δὲ στεφάνων μνημονεύει Ἄλεξις ἐν Κρατεύᾳ[2] ἢ Φαρμακοπώλῃ, οὕτως·

Στεφάνους τε πολλοὺς κρεμαμένους μελιλωτίνους.[3]

Ἐπιθυμίδες.[4] Σέλευκος φησι „τὰ πάντα στεφανώματα.“ Τιμαχίδας δέ φησι „τὰ παντοδαπὰ στεφανώματα, ἃ τὰς γυναῖκας φορεῖν, οὕτως καλεῖσθαι. Ὑποθυμὶς[5] δὲ καὶ ὑποθυμιάδες, στέφανοι παρ' Αἰολεῦσι καὶ Ἴωσιν, οὓς περὶ τοὺς τραχήλους περιετίθεντο, ὡς σαφῶς ἐστι μαθεῖν ἐκ τῆς Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεως.“ Φιλήτας δ' ἐν τοῖς Ἀτάκτοις, ὑποθυμίδας[6] Λεσβίους, φησὶ, καλεῖν μυρσίνης κλῶνα, περὶ ὃν πλέκειν ἴα καὶ ἄλλα ἄνθη. καὶ ὑπογλωττὶς δὲ στεφάνου ἐστὶν εἶδος. Θεόδωρος δ' ἐν ταῖς Ἀττικαῖς Γλώσσαις, στεφάνων πλοκῆς γένος παρὰ Πλάτωνι ἐν Διὶ κακουμένῳ. Epithymis corona, & hypothymis.

1 Μελεωτίνων edd. 2 Κρατίᾳ vulgo. 3 Vulgo μιλιλωτίνους ἐπιθυμεῖς. Σέλευκός φησι &c. 4 Forſ. Ἐπιθυμίς. 5 Forſ. Ὑποθυμίδες. 6 ὑποθυμιάδας edd.

Melilotinarum coronarum meminit Alexis in Cratevâ ſive Pharmacopolâ, his verbis:

Coronasque multas ſuſpenſas melilotinas.

Epithymides. Seleucus ait: »Omnia coronamenta.« Timachidas vero ait »omnis generis coronamenta, quae a mulieribus geſtantur, ita vocari. *Hypothymides* vero & *hypothymiades*, coronae apud Aeoles & Ionas; quibus colla cingunt, ut perſpicue intelligitur ex Alcaei & Anacreontis carminibus.« Philetas vero in Atactis (*i. e.* Miſcellaneis) ait, *hypothymidas* vocari a Lesbiis myrti ramulum, circa quem nectantur violae aliique flores. Eſt vero etiam *hypoglottis*, coronae ſpecies. Theodorus vero in Atticis Gloſſis ait, eſſe quoddam genus nexûs coronarum apud Platonem in Jove male-adfecto.

XXIII. Corona cylistè.

Εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν e
τινα καλούμενον στέφανον, καὶ μνημονεύοντα αὐ-
τοῦ Ἄρχιππον ἐν Ῥίνωνι διὰ τούτων·

Ἀθῶος ἀποδὺς ἱματίον [1] ἀπέρχεται
στέφανον ἔχων τῶν ἐκκυλίστων [2] οἴκαδε.

Ἄλεξις δ', ἐν μὲν Ἀγωνίδι [3] ἢ Ἱππίσκῳ·

— Ὁ τρίτος δ' οὗτος ἔχει
σύκων κυλιστὸν στέφανον. ἀλλ' ἔχαιρε καὶ
ζῶν τοῖς τοιούτοις. —

ἐν δὲ Σκείρωνι φησίν·

Ὥσπερ κυλιστὸς στέφανος αἰωρούμενος.

Μνημονεύει δ' αὐτοῦ καὶ Ἀντιφάνης ἐν Ἑαυτοῦ ἐρῶν-
τι. Εὔβουλος δ' ἐν Οἰνομάῳ [4] ἢ Πέλοπι· f

— περιφοραῖς κυκλούμενος,

1 ἀποδούσθ' οἱμάτιον vulgo. ἀποδοὺς ἱματίου corr. Cant. & Caſ.
2 τὸν ἐκ κυλίστων edd. Rectius videtur, ἐκ τῶν κυλιστῶν.
3 Ἀγῶνι corr. Cant. 4 Οἰνομαίῳ ed. Caſ.

23. Reperio autem apud Comicos etiam *cyliſtam* quamdam dictam [id eſt, *convolutam*; ſive, quod alii malunt, *rotatilem*] *coronam*. Cuius meminit Archippus in Rhinone, his verbis:

Innoxius poſita [ſive, *reddita*] *veſte domum abiit,*
coronam habens ex hoc genere quas cyliſtas vocamus.
(τῶν ἐκκυλίστων.)

Alexis vero in Agonide ſive Equuleo ait:

— *Tertius vero hic habet*
e ficis coronam cyliſtam. Sed delectabatur
etiam vivus hisce. —

Idem in Scirone:

Veluti cyliſta corona ſuſpenſus.

Meminit eiusdem etiam Antiphanes in Sui-amante. Eubulus vero in Oenomao ſive Pelope ait:

— *In orbem circumactus,*

ὥσπερ κυλιστὸς στέφανος. —

Τίς οὖν οὗτος ὁ κυλιστός; οἶδα γὰρ [1] τὸν Θυατειρηνὸν Νίκανδρον ἐν τοῖς Ἀττικοῖς Ὀνόμασι λέγοντα τάδε· „Ἐκκυλίσιοι [2] στέφανοι, καὶ μάλιστα οἱ ἐκ ῥόδων.“ καὶ τὸ εἶδος ὁποῖον ζητῶ, ὦ Κύνουλκε. καὶ μή μοι εἴπῃς, ὅτι δεῖ τοὺς ἀδροὺς ἀκούειν. σὺ γὰρ εἶ ὁ τὰ ἐν τοῖς βιβλίοις οὐ μόνον ἀπόῤῥητα ἐκλέγων, ἀλλὰ καὶ διορύττων, καθάπερ οἱ παρὰ Βάτωνι [3] τῷ κωμῳδιοποιῷ ἐν Συνεξαπατῶντι Φιλόσοφοι, περὶ ὧν καὶ Σοφοκλῆς Συνδείπνοις φησὶν, οὑσίν σοι παραπλησίοις·

a Οὗτοι γένειον ὧδε χρὴ διήλιφες [4]
Φοροῦντα, κἀντίπαιδα, [5] καὶ γένει μέγαν,
γαστρὸς καλεῖσθαι παῖδα, τοῦ πατρὸς παρόν.

Ἐπειδὴ οὖν ἤδη καὶ σὺ ἐμπεπλήρωσαι [6] οὐ μόνον τῶν τοῦ γλαύκου κρανίων, [7] ἀλλὰ καὶ τῆς ἀειζώου βω-

1 Deeſt γὰρ edd. 2 ἐκκυλίστιοι edd. An ἐκκύλιστοι? 3 Κάτωνι edd. 4 διηλειφὲς edd. διήλειφες Ms. 5 καὶ ἀντίπαιδα Ms. 6 σὺ πεπλήρωσαι edd. συμπεπλήρωσαι Ms. 7 χραγείων edd.

ſicut cyliſta corona. —

Quaenam eſt igitur haec *cyliſta corona?* Novi enim Thyatirenum Nicandrum in Vocabulis Atticis haec dicere: »Ἐκκυλίσιοι [ſive Ἐκκύλιστοι] στέφανοι, & maxime ex roſis.« Et quaenam ſit illius forma quaero, Cynulce. Nec mihi dicas, intelligi debere *amplas* vel *craſſas.* Tu enim es, qui in libris recondita non modo ſeligis, verum etiam effodis, quemadmodum illi apud Batonem Comicum in Synexapatonte (*quaſi dicas*, Condecipiente) philoſophi: de quibus, tui ſimilibus, etiam Sophocles in Convivantibus (*ſeu*, Unà-coenantibus) ait:

Os te perunctum ferre nequaquam decet;
praeſertim ephebum, genere tanto, filium
ventris vocari turpe, cum liceat patris.

Quoniam tu igitur iam impletus es non modo glauci capitibus, verum etiam ſemperviva herba, qua comeſa

τάνης, ἧς ὁ Ἀνθηδόνιος ἐκεῖνος δαίμων ἐμφορηθεὶς ἀθάνατος [ἀλινηχὴς] [1] γέγονε· λέγε ἡμῖν περὶ τοῦ προκειμένου, ἵνα μὴ κατὰ τὸν θεῖον Πλάτωνα ὑπολάβωμέν σε [2] ἀποθανόντα μεταμορφωθῆναι ἐν τῷ Περὶ Ψυχῆς. τοὺς μὲν γὰρ τὰς γαστριμαργίας τε καὶ ὕβρεις καὶ φιλοποσίας μεμελετηκότας, καὶ μὴ διευ- b
λαβουμένους, εἰς τὰ τῶν ὄνων γένη καὶ τῶν τοιούτων θηρίων εἰκὸς ἐνδύεσθαι.

XXIV. Struthia corona.

Ἀπορουῦντος δ' αὐτοῦ· Ἐπὶ ἕτερον, φησὶ, στέφανον μεταβήσομεν, ὁ Οὐλπιανὸς, τὸν Στρούθιον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης, παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου Στεφανοπωλίδων ταῦτα·

„Ὦ μάκαρ ἥ τις [3] ἔχουσ' ἐν δωματίῳ στρούθιον ἀεροφόρητον, [4] λε-

1 πάλιν ἥ τις vulgo. κολυμβητὴς corr. Cant. An πλανητής? An ἀλινητής? 2 ἀπολάβομέν σε edd. 3 ὦ μάκρη τις edd. 4 ἀχροφόριον corr. Dalec.

Anthedonius ille Deus, immortalis marivagus factus est; responde nobis ad propositam quaestionem: ne te vitâ defunctum in talem quamdam formam mutatum iri existimemus, qualem divinus Plato in libro De Anima dixit. Nam qui gulae & lasciviae & compotationibus student, nec ullo pudore retinentur, hi, ait, ut asinorum formas aut aliorum id genus animalium induant consentaneum est.

24. Illo vero addubitante: Ad aliam, inquit Ulpianus, coronam progrediamur, eam quae *struthia* vocatur; cuius Asclepiades meminit, adponens haec ex Eubuli Stephanopolidibus (Coronas-vendentibus) verba:

» *O beata, quae habes in domuncula*
struthium . . . . . .

πτότατον περὶ σῶμα συνιλλεσται
τε [1] ἡδυπότατον [2] περινύμφιον εὔ-
τριχα κισσὸς [3] ὅπως καλάμῳ πε-
ριφύεται αὐξόμενος [4] ἔαρος ὁλολυ-
c γόνος ἔρωτι κατατετηκώς." [5]

πλέκεται δ' οὗτος ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους, οὗ μνημονεύει Θεόφραστος ἐν ἕκτῳ Φυτικῆς Ἱστορίας ἐν τούτοις· „Ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους, καὶ τὸ στρούθιον καλούμενον, ὃ τῇ μὲν ὄψει καλὸν ἄνθος, ὄοσμον δέ." Γαλήνη δ' ἡ Σμυρναῖα στρύθιον αὐτὸν ὀνομάζει.

Πόθος. Οὕτως τὶς στέφανος ὀνομάζεται, ὡς Νί- Pothus flos, & corona.
κανδρός φησιν ὁ Κολοφώνιος ἐν Γλώσσαις· καὶ ἴσως
ὁ ἀπὸ τοῦ οὕτω καλουμένου πόθου ἄνθους πλεκό-
μενος, οὗ μνημονεύει ὁ αὐτὸς Θεόφραστος ἐν τῷ ϛ'.
d τῶν Φυτικῶν, γράφων ὧδε· „Τὰ δὲ θερινὰ μᾶλλον,

1 συνίλλεται forſ. 2 Quinque verba deſunt edd. 3 εὐτριχάρισσος edd. 4 αὐξόμενον videtur legendum, & dein 5 κατατετηκότος.

. . . . . .
. . . . . .
. . . . . .
. . . . . .
. . . . . .

Nectitur autem ex *ſtruthio* qui vocatur flore, cuius Theophraſtus meminit ſexto libro Hiſtoriae Plantarum, his verbis: »Floret vero etiam iris aeſtate, & ſtruthium quod vocatur, qui eſt adſpectu quidem flos pulcer, ſed ſine odore.« Galena vero Smyrnaea eumdem florem *ſtrythium* nominat.

Pothus. Ita corona quaedam nominatur, ut ait Nicander Colophonius in Gloſſis: quae fortaſſe nectitur ex flore ſic dicto *potho*, cuius idem Theophraſtus libro ſexto de Plantis meminit, ita ſcribens: »Alii flores

ἥ τε λυχνὶς, καὶ τὸ Διὸς ἄνθος, καὶ τὸ κρίνον,[1] καὶ ἴφυον, καὶ ἀμάρακος ὁ Φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος. οὗτος δ' ἐστὶ διττὸς, ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον ὑακίνθῳ, ὁ δ' ἕτερος ἄχρως,[2] ἔκλευκος,[3] ᾧ χρῶνται πρὸς τοὺς τάφους."

Καταλέγει δ' Εὔβουλος καὶ ἄλλους στεφάνους·

„Αἰγίδιον, σὺ δὲ τόνδε φορήσεις στέφανον, πολυποίκιλον ἀνθέων, γυρπότατον, χαριέστατον, ὦ Ζεῦ· τίς γὰρ αὐτὸν ἔχουσαν οὐ φιλήσειε;"[4] καὶν τοῖς ἑξῆς τάδε φησί· e

Α. Στεφάνους ἴσως βούλεσθε. πότερον[5] ἑρπυλλίνους,
ἢ μυρτίνους, ἢ τῶνδε τῶν ἠνθημένων;[6]
Β. Τῶν μυρτίνων βουλόμεθα τούτων. —
σύ τ'[7] ἄλλα πώλει πάντα, πλὴν τῶν μυρτίνων.

1 τὸ κήρινθον apud Theophr. 2 ἄχρους apud eumdem. 3 λευκὸς ibidem. 4 Vulgo, αὐτὸν ἔχουσα φιλήσει. 5 Forſ. πότερ'. 6 ἢ τῶν δινηθημένων vulgo. τῶν δινηθισμένων corr. Caſ. ἢ τούσδε τῶν ἠνθισμένων Fior. 7 Forſan σύ γ'.

magis aeſtivi, lychnis, & Iovis flos, & lilium illud quod Graeci *crinon* vocant, & iphyon, & amaracus Phrygius, adhaec *pothos* qui vocatur. Eſt autem hic duplex, unum genus florem habens hyacintho ſimilem, alterum ſine colore, albicans, quo ad ſepulcra utuntur. «

Alias vero etiam coronas Eubulus recenſet:

Aegidium! tu vero hanc geſtabis coronam,
floribus variam, illecebroſiſſimam, venuſtiſſimam.
Pro Iupiter! te hanc geſtantem quis non oſcularetur?

Et in ſequentibus ait:

A. *Coronas forſan emere vultis. Utrum ſerpyllinas,*
an myrteas; an harum floridarum quaspiam?
B. *Myrteas has volumus. —*
tu vende alias omnes, exceptis myrteis.

Φιλύρινος. Ξέναρχος, Στρατιώτῃ·

— Φιλύρας εἶχε γὰρ
ὁ παῖς ἄφυλλον [1] στέφανον ἀμφικείμενον. XXV. Tiliacea corona.

Καλοῦνται δέ τινες καὶ ἑλικτοὶ στέφανοι, ὥσ- Στέφανοι ἑλικτοί.
f περ παρ' Ἀλεξανδρεῦσι μέχρι καὶ νῦν. μνημονεύει δ' αὐτῶν Χαιρήμων ὁ τραγῳδιοποιὸς ἐν Διονύσῳ, διὰ τούτων·

Κισσῷ τε ναρκίσσῳ τε τριέλικας κύκλῳ
στεφάνων ἑλικτῶν. —

Περὶ δὲ τῶν ἐν Αἰγύπτῳ ἀεὶ ἀνθούντων στεφάνων, Corona e ſpina Aegyptiaca.
Ἑλλάνικος ἐν τοῖς Αἰγυπτιακοῖς οὕτω [2] γράφει· „Πό-
a λις ἐπιποταμίη, Τίνδιον ὄνομα. αὕτη [3] θεῶν ὁμήγυρις, καὶ ἱερὸν μέγα καὶ ἁγνὸν ἐν μέσῃ τῇ πόλει λίθινον, καὶ θύρετρα λίθινα. ἔσω τοῦ ἱεροῦ ἄκανθαι πεφύκασι λευκαὶ καὶ μέλαιναι. ἐπ' αὐταῖς [4] οἱ στέφα-

1 εὔφυλλον vel ἔμφυλλον Dalec. 2 οὕτως ms. *A*. 3 αὐτὴ vulgo. ἐν αὐτῇ corr. Caſ. 4 ἐπ' αὐτοῖς vulgo. Dein δ' οἱ στέφ. edd.

25. *Tiliacea corona.* Xenarchus, in Milite:

— *Ex tiliâ habuit enim*
puer ſine foliis [ſive, *folioſam*] *coronam impoſitam.*

Vocantur vero etiam *helictae* (i. e. *tortiles*) quaedam *coronae;* quemadmodum etiam nunc apud Alexandrinos. Meminit earum Chaeremon tragicus poëta in Baccho, ubi ait:

Ex hederâ & narciſſo triplices circumcirca gyros
coronarum tortilium. —

De *coronis* vero in *Aegypto ſemper florentibus* Hellanicus in Aegyptiacis ita ſcribit: »Oppidum ad flumen ſitum, Tindium nomine. Hic fiunt conventus ad celebranda ſpectacula, [*ſive potius:* Hîc eſt Deorum conventus:] & templum magnum & luſtrale in medio oppido lapideum, & portae lapideae. Intra templum ſpinae naſcuntur albae & nigrae. His ſuperne impoſitae coronae, ex

νοι ἐπιβέβληνται ἄνω, τῆς ἀκάνθου τοῦ ἄνθους καὶ ῥοιᾶς ἄνθους [1] καὶ ἀμπέλου πεπλεγμένοι· καὶ οὗτοι [2] ἀεὶ ἀνθέουσι. τοὺς στεφάνους ἀπέθεντο οἱ θεοὶ ἐν Αἰγύπτῳ, πυθόμενοι βασιλεύειν τὸν Βάβυν, ὅς ἐστι Τυφῶν." Δημήτριος δ' ἐν τῷ Περὶ τῶν κατ' Αἴγυπτον, περὶ Ἄβυδον [3] πόλιν τὰς ἀκάνθας ταύτας εἶναί φησι, γράφων οὕτως· „Ἔχει δὲ καὶ ὁ κάτω τόπος καὶ ἄκανθάν τινα δένδρον, ὃ τὸν καρπὸν φέρει στρογγύλον ἐπί τινων κλωνίων περιφερῶν. ἀνθεῖ δ' οὗτος ὅταν ὥρα b ᾖ, καὶ ἐστὶ τῷ χρώματι τὸ ἄνθος καλλιφεγγές. [4] λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων, ὅτι οἱ Αἰθίοπες στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ τῷ τόπῳ τοὺς στεφάνους ἀνέβαλον ἐπὶ τὰς ἀκάνθας. ἔστι δὲ παραπλήσια τὰ κλώνια στεφάνοις, ἀφ' ὧν τὸ ἄνθος φύεται." Ὁ δὲ προειρημένος Ἑλλάνικος καὶ

Memnon Tithoni fil.

1 ῥοιᾶς ἄνθος vulgo. 2 καὶ οὕτως edd. 3 Ἄβυλον edd. 4 καὶ ἀφεγγὲς vulgo.

acanthi flore & mali Punicae flore & vite nexae: ſemperque hae florent. Coronas iſtas depoſuerunt Dii in Aegypto, cum intellexiſſent regnare *Babyn*, qui eſt *Typhon*.« Demetrius vero, in Rebus Aegypti, circa Abydum urbem iſtas eſſe ſpinas ait, ita ſcribens: »Habet vero locus inferior etiam ſpinam quamdam arborem, quae fructum fert rotundum in ramulis quibusdam orbicularibus. Floret vere, & colorem flos habet ſplendidiſſimum. Narratur vero etiam fabula quaedam ab Aegyptiis, Aethiopas Troiam miſſos a Tithono, poſtquam cognoverunt obiiſſe Memnonem, hoc in loco coronas in iſtas ſpinas conieciſſe. Sunt autem ipſi ramuli, e quibus flos naſcitur, coronis ſimiles.« Praedictus vero Hellanicus narrat etiam, *Amaſin*, privatum initio ple-

Ἄμασιν [1] Αἰγύπτου βασιλεῦσαι, ἰδιώτην ὄντα καὶ τῶν τυχόντων κατὰ τὸν πρῶτον βίον, διὰ στεφάνου c δωρεὰν, ὃν ἔπεμψεν, ἀνθέων πλεξάμενος τῇ ὥρᾳ περικαλλεστάτων, [2] γενέθλια ἐπιτελοῦντι Παταρμιδι [3] τῷ τῆς Αἰγύπτου τότε βασιλεύοντι. τοῦτον γὰρ ἡσθέντα τῷ κάλλει τοῦ στεφάνου, καὶ ἐπὶ δεῖπνον καλέσαι τὸν Ἄμασιν, καὶ μετὰ ταῦτα τῶν φίλων ἕνα αὐτὸν ἔχοντα ἐκπέμψαι ποτὲ καὶ στρατηγὸν, Αἰγυπτίων αὐτῷ πολεμούντων· ὑφ' ὧν [4] διὰ τὸ τοῦ Παταρμιδος μῖσος ἀποφανθῆναι βασιλέα. Amasis rex Aegypti.

XXVI. Alia Coronarum nomina.

Συνθηματιαῖοι στέφανοι· ἠργολαβημένοι, καὶ ἐκδόσιμοι. Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις·

στεφάνους πλέξαι [5] συνθηματιαίους εἴκοσιν.

d Χορωνόν. [6] Ἀπίων ἐν τῷ Περὶ τῆς Ῥωμαϊκῆς Διαλέκτου φησὶ, τὸν στέφανον πάλαι χορωνὸν κα-

1 φησὶν utique hîc adiectum olim fuisse videtur. 2 περικαλλέστατον edd. 3 Παρτάμιδι & dein Παρτάμιδος edd. Πανταρμ. ms. *Ep.* 4 Temere ὑφ' οὗν ed. Cas. 1. Inde ὑφ' ὧ & ὑφ' ᾧ ed. Cas. 2. & 3. 5 πλέξαι στεφάνους edd. 6 Χορωνός legit Cas.

beiumque hominem, Aegypti regem fuisse factum propter coronae donum, quam ille e pulcerrimis, quos ver ferebat, floribus nexam Patarmidi miserat, Aegypti tunc regi, nataliria celebranti. Hunc enim delectatum pulcritudine coronae, ad coenam vocasse Amasin: & ab eo tempore in amicorum numero habitum, ducem copiarum aliquando misisse adversus Aegyptios arma contra ipsum ferentes; ab his autem, ob Patarmidis odium, regem esse renunciatum.

26. Συνθηματιαῖοι στέφανοι dicuntur, *conductitiae*, de quibus conficiendis aliquis pactus est. Aristophanes, in Thesmophoria-celebrantibus:

Nectere viginti coronas conductitias.

Choronon. Apion in libro de Romana Dialecto ait, coronam olim *choronon* dictam fuisse, ab eo quod illâ in

λούμενον, ἀπὸ τοῦ τοὺς χορευτὰς ἐν τοῖς θεάτροις αὐτῷ χρῆσθαι, αὐτούς τε περικειμένους, καὶ ἐπὶ τὸν στέφανον [1] ἀγωνιζομένους. καθὼς ἐν τοῖς Σιμωνίδου Ἐπιγράμμασιν ἰδεῖν ἐστιν οὕτως [2] καλούμενον· [3]

Φοῖβος ἐσαγεῖται Τυνδαρίδῃσιν ἀοιδῆς,
ἂν [4] ἄμετροι τέττιγες ἐπεστέψαντο [5] χορωνῷ.

Ἀκίνιοι. [6] στέφανοί τινες καλοῦνται οὕτως, οἱ ἐκ τῆς ἀκίνου [7] τοῦ φυτοῦ πλεκόμενοι, ὡς φησιν Ἀνδρων ὁ ἰατρός. παρέθετο δ' αὐτοῦ τὴν λέξιν Παρθένιος ὁ τοῦ Διονυσίου, ἐν τῷ πρώτῳ τῶν παρὰ τοῖς Ἱστορικοῖς e Λέξεων.

XXVII. Flores coronarii ex Theophrasto.

Στεφανωματικὰ δὲ ἄνθη καταλέγει Θεόφραστος τάδε· „Ἴον, Διὸς ἄνθος, ἴφυον, φλόγα, ἡμεροκαλλές. [8] πρῶτον δὲ τῶν ἀνθέων ἐκφαίνεσθαί φησι τὸ λευκόϊον, ἅμα δ' αὐτῷ καὶ τὸ φλόγινον [9] καλούμε-

1 An καὶ ἐπὶ τῷ στεφάνῳ? 2 οὕτω edd. 3 καλουμένου vulgo. 4 ἀοίδησαν ἄμετρ. Ms. Debuerat, puto, Τυνδαρίδῃς (vel Τυνδαρίδησ') ᾠδὰς, ἂν &c. 5 ἐπέμψαντο edd. 6 Ἀκίννιοι vulgo. 7 ἀκίδος vulgo. 8 ἡμεροκαλές edd. 9 φλόγα edd. φλόνον Ms. φλόμον legebat Nat. Vera ſcriptura φλόγιον fuerit.

theatris uterentur ſaltatores cantoresque qui chorum efficiebant, & ipſi eam impoſitam habentes, & de coronâ certantes. Eo vocabulo adpellatam coronam videre eſt in Simonidis Epigrammatis, ubi ait:

Phoebus Tyndaridas cantum docet, quem (cantum) *cicadae modorum neſciae coronant choronis.*

Aciniae. Sic vocantur corōnae quaedam, quae ex acino planta nectuntur, ut ait Andron medicus: cuius verba adpoſuit Parthenius Dionyſii diſcipulus, libro primo Vocabulorum apud Hiſtoricos occurrentium.

27. *Coronarios* vero *flores* recenſet Theophraſtus hosce: »Violam, Iovis florem, iphyon, phloga, hemerocalles. Primum autem florum emergere ait leucoion, ſimul vero cum eo phlogion quod vocatur ſyl-

νον τὸ ἄγριον· ἔπειτα νάρκισσον, καὶ λείριον·[1] καὶ τῶν ὀρείων,[2] ἀνεμώνης γένος τὸ καλούμενον ὄρειον,[3] καὶ τὸ τοῦ βολβοῦ[4] κώδυον.[5] συμπλέκουσι γὰρ καὶ τοῦτο ἔνιοι εἰς στεφάνους. ἐπὶ τούτοις ἥ τε οἰνάνθη, καὶ τὸ μελάνιον. καὶ τῶν ἀγρίων, ὅ τε ἐλίχρυσος, καὶ τῆς ἀνεμώνης ἡ λειμωνία[6] καλουμένη, καὶ ξίφιον, f καὶ ὑάκινθος. τὸ δὲ ῥόδον ὑστερεῖ τούτων, καὶ τελευταῖον μὲν φαίνεται, πρῶτον δὲ παύεται. τὰ δὲ θερινὰ μᾶλλον, ἥ τε λυχνὶς, καὶ τὸ Διὸς ἄνθος, καὶ τὸ κρίνον, καὶ τὸ ἴφυον, καὶ ἀμάρακος Φρύγιος, ἔτι δ' ὁ πόθος καλούμενος." Ἐν δὲ τῷ θ'. ὁ αὐτὸς Θεόφραστος φησίν· „Ἐάν τις τοῦ ἐλιχρύσου τῷ ἄνθει στεφανῶται,[7] εὐκλειαν ἴσχει μύρῳ ῥαίνων."[8] Μνημονεύει αὐτοῦ Ἀλκμὰν ἐν τούτοις·

1 ἀέριον edd. αἴριον Ms. 2 Corrupte καὶ τῶν κατὰ τριῶν edd. & verba ista, usque ὄριον, uncis includebantur, ut quae desint apud Theophr. 3 ὕριον vulgo. 4 βολκοῦ vulgo. 5 κώδιον edd. 6 τῆς ἀνεμώνης κλιμωνία edd. ἡ λιμωνία Ms. 7 στιφανοῦνται edd. 8 ῥαίων Ms.

vestre: deinde narcissum, & lilium; & ex montanis, anemonae genus illud quod montanum vocatur, & bulbi caput: nam & ex hoc nectunt nonnulli coronas. Posthaec oenanthe, & melanion. (*seu*, viola nigra.) Ex agrestibus, helichrysus, & anemonae genus quae pratensis vocatur, & xiphion, & hyacinthus. Rosa autem his posterior est, & postrema quidem floret, prima vero omnium deficit. Sequuntur aestivi magis flores: lychnis, & Iovis flos, & lilium illud quod *crinon* Graeci vocant, & iphyon, & amaracus Phrygius, adhaec pothos qui dicitur flos. « Nono vero libro idem Theophrastus ait: » Si quis ex helichryso flore coronam gestat, laudabitur si unguento eam conspersserit. « Meminit huius coronae Alcman his verbis:

Καί τιν [1] εὔχομαι φέροισα [2] a
τόνδ' ἑλιχρύσω πυλέωνα [3]
κἀκηράτῳ κυπέρῳ. [4]

καὶ Ἴβυκος·

Μύρτα τε καὶ ἴα καὶ ἑλίχρυσος,
μᾶλά τε καὶ ῥόδα,
καὶ τέρεινα [5] δάφνα.

Κρατῖνος δ' ἐν Μαλθακοῖς φησίν·

Ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις.

ἔστι δὲ τὸ ἄνθος ὅμοιον λωτῷ. Θεμισταγόρας δ' ὁ Ἐφέσιος ἐν τῇ ἐπιγραφομένῃ Χρυσέῃ βίβλῳ, [6] ἀπὸ τῆς πρώτης δρεψαμένης νύμφης, Ἑλιχρύσης ὄνομα, b
Lilia. τὸ ἄνθος ὀνομασθῆναι. τὰ δὲ κρίνα, [7] φησὶν ὁ Θεόφραστος, εἶναι καὶ πορφυρανθῆ. Φιλῖνος δὲ, τὸ κρίνον ὑφ' ὧν μὲν λείριον, ὑφ' ὧν δ' ἴον καλεῖσθαι. Κορίνθιοι

1 καί τιν' edd. 2 φέροισαν edd. 3 πύλεω vulgo. 4 ἀκηράτων κυπέρῳ vulgo. 5 τέρινα vulgo. πτερινὰ coni. Toup. 6 βύβλῳ Ms. 7 κρῖνα & mox κρῖνον edd.

Et tibi vota facio ferens
hanc ex helichryso coronam
& illibato cypero.

Et Ibycus:

Myrtaque & violae & helichryſus,
& mala, & roſae,
& tenera laurus.

Cratinus vero in Malthacis (Effoeminatis) ait:

Serpyllo, crocis, hyacinthis, helichryſi ramis.

Eſt autem flos loto ſimilis. Themiſtagoras vero Epheſius in Aureo (qui inſcribitur) Libro ait, nomen inveniſſe hunc florem a nympha, quae prima illum decerpſiſſet, cui Helichryſa nomen. Lilia vero, quae Graecis *crina*, reperiri etiam purpureo flore, ait Theophraſtus. Philinus autem, *crinon* a nonnullis quoque *lirion* vocari, ait; ab aliis *ion*. (quod aliâs *violae* nomen eſt.) Co-

δ' αὐτὸ καὶ ἀμβροσίαν καλοῦσιν, ὥς φησι Νίκανδρος ἐν Γλώσσαις. [1] Διοκλῆς δ', ἐν τῷ περὶ θανασίμων Φαρμάκων· „Ἀμάρακον, φησὶν, ὃν [2] σάμψυχον [3] τινὲς καλοῦσι.“

XXVIII. Cosmosandalum.

Κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς διὰ τούτων·

— Κεφαλὴν ἀνθέμοις ἐρέπτομαι, [4]
λειρίοις, ῥόδοις, κρίνοισι, κοσμοσανδάλοις. —

c Κλέαρχος δ' ἐν δευτέρῳ Βίων· „Ὅρα, φησὶ, τοὺς τὸ κοσμοσάνδαλον [5] ἀνευρόντας [6] Λακεδαιμονίους, οἳ τὸν παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ·

Οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε;

1 Γλώτταις edd. 2 δ edd. 3 σάμψουχον h. l. ms. *A*. 4 Tria verba desunt edd. 5 Perperam κοσμοτάνδαλον ed. Cant. & Cas. 1. τὸ vero deest editt. omnibus. 6 Immo ἀνείροντας.

rinthii vero lilium (crinon) etiam *ambrosiam* vocant, ut Nicander ait in Glossis. Diocles vero in libro de Venenis scribit: »Amaracum, quod sampsychon vocant nonnulli.«

28. *Cosmosandalorum* meminit Cratinus in Effoeminatis, ubi ait:

— *Caput floribus corono,*
Liliis, rosis, κρίνοις, cosmosandalis. —

Clearchus vero, secundo libro Vitarum: »Vide, inquit, Lacedaemonios, qui, postquam cosmosandalum invenerunt, (*sive*, postquam coronas ex cosmosandalo nectere coeperunt) conculcato antiquissimo administrandae reipublicae ornatu, praecipites ruerunt. Quare commode in eos dixit comicus Antiphanes in Citharistâ:

Nonne superbiebant olim Lacedaemonii quasi inexpugnabiles?

νῦν δ' ὁμηρείους [1] ἔχοντες πορφυροῦς κεκρυφάλους."

Alii flores coronarii.

Ἰκέσιος δ' ἐν δευτέρῳ περὶ Ὕλης „τὸ λευκόϊον, φησὶ, μεσότητά τινα ἔχειν ἐν τῷ στύφειν, πολὺ δ' ἀρίστην εὐωδίαν, καὶ δυναμένην τέρπειν, ἀλλὰ πρὸς ὀλίγιστον. τὸ δὲ μέλαν, φησὶ, τὴν μὲν αὐτὴν θεωρίαν ἔχει, εὐῶδες δ' ἐστὶ πολὺ μᾶλλον." Ἀπολλόδωρος δ' ἐν τῷ Περὶ θηρίων φησί· „Χαμαίπιτυν. οἱ δὲ, ὀλόκυρον· [2] οἱ δ' Ἀθήνησιν, Ἰωνίαν· οἱ δὲ κατ' Εὔβοιαν, σιδηρῖτιν." Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν (τὰ δ' ἔπη ὀλίγον ὕστερον παραθήσομαι, ὅταν περὶ πάντων τῶν στεφανωματικῶν ἀνθῶν διεξέρχωμαι·) τὸ ἴον, φησὶν, Ἰωνιάδες τινὲς νύμφαι Ἴωνι ἐχαρίσαντο πρώτῳ. τὸν δὲ νάρκισσον ἐν τῷ ς'. Περὶ Φυτῶν Ἱστορίας ὁ Θεόφραστος καλεῖσθαί φησι καὶ λείριον. εἶθ' ὑποβὰς, ὡς διαλλάσσοντα τίθησι νάρκισσον καὶ

1 An ἀναρείους, & dein ἔχοντας? Sed fortaſſe non ſolicitandum vulgatum. 2 Tria verba deſunt edd.

nunc vero Homericis (ſive, *imbellibus*) *utentes purpureis reticulis.* «

Iceſius vero ſecundo libro de Materiâ, » *leucoium* ſive *violam albam*, ait, mediocriter adſtringere, caeterum praeſtantiſſimo eſſe odore, & ſuaviſſimo, ſed in tempus breviſſimum. *Nigra* vero *viola*, ait, eamdem vim habet, ſed multo etiam eſt fragrantior. (*ſive*, ſed multo diutius odorem ſervat.)« Apollodorus vero in libro de Beſtiis ſcribit: » *Chamaepityn:* quam nonnulli *olocyron* vocant; Athenienſes vero *ioniam*, Euboeenſes *ſideritin*. « Nicander ſecundo Georgicorum (verſus ipſos paulo inferius adponam, poſtquam omnes coronarios flores perſecutus ero) ait, *violam* Ioniadas quasdam Nymphas primo Ioni donaſſe. *Narciſſum*, ſcribit Theophraſtus, ſexto libro Hiſtoriae Plantarum, a nonnullis etiam *lilium* (λείριον) vocari. Dein, paululum progreſſus, tamquam diverſa ponit narciſſum & lilium. Eumachus vero Cor-

λείριον. Εὔμαχος δ' ὁ Κερκυραῖος [1] ἐν Ῥιζοτομικῷ, καὶ ἀκακαλλίδα φησὶ καλεῖσθαι τὸν νάρκισσον, καὶ κρόταλον. τοῦ δ' ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται, ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς, λέγων οὕτως· Hemerocallis.

ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ.

„Τῆς δὲ ἑρπύλλου, φησὶ Θεόφραστος, τὴν ἄγριον f κομίζοντες ἐκ τῶν ἀγρῶν [2] φυτεύουσιν ἐν Σικυῶνι, καὶ Ἀθήνησιν ἐκ τοῦ Ὑμηττοῦ. παρ' ἄλλοις δ' ὄρη πλήρη ἐστὶ τοῦ ἄνθους, καθάπερ ἐν Θράκῃ." Φιλῖνος [3] δέ φησιν αὐτὴν ζυγίδα καλεῖσθαι. Περὶ δὲ τῆς λυχνίδος λέγων Ἀμερίας ὁ Μακεδὼν ἐν τῷ Ῥιζοτομικῷ, φησὶν „ἀναφῦναι αὐτὴν ἐκ τῆς Ἀφροδίτης λούτρων, ὅτε Ἡφαίστῳ συγκοιμηθεῖσα ἡ Ἀφροδίτη λούοιτο. εἶναι δ' ἀρίστην ἐν Κύπρῳ καὶ Λήμνῳ, ἔτι δὲ Στρογγύλῃ καὶ Ἔρυκι καὶ Κυθήροις." — „Ἡ δ' ἶρις, [4] Lychnis. Iris Illyrica.

1 Κορκυραῖος Ms. 2 ἐκ τῶν ὀρῶν apud Theophr. 3 Φίλινος ms. *Ep.* 4 ἶρις edd. ἴερις ms. *A.* & mox idem ἰέριδος.

cyraeus in Rhizotomico ait, etiam *acacallidem* vocari narciſſum, item *crotalum*. Floris *hemerocallis*, qui noctu flacceſcit, ſed ſimul cum oriente ſole floret, meminit Cratinus in Effoeminatis, ubi ait:

Hemerocalli etiam dilecto.

De *ſerpyllo* ſcribit Theophraſtus: »Agreſte ſerpyllum nonnulli ex agris [*ſive*, e montibus] colligentes plantant Sicyone, & Athenis ex Hymetto. Apud alios vero pleni ſunt montes hoc flore, velut in Thracia.« Philinus vero ait, *zygidem* nominari ſerpyllum. De *lychnide* loquens Amerias Macedo in Rhizotomico, ait: »ex aqua natam eſſe in qua Venus lavit poſtquam cum Vulcano concubuiſſet. Optimam autem gigni in Cypro & Lemno, item in Strongyle, Eryce, & Cytheris.« —

φησὶ Θεόφραστος, ἀνθεῖ τοῦ θέρους, μόνη τε τῶν Εὐρωπαίων ἀνθέων εὔοσμος ἐστίν. ἀρίστη δ' ἐστὶν ἐν Ἰλλυριοῖς τοῖς ἀνωκισμένοις [1] τῆς θαλάσσης." Φιλῖ- a
νος δέ φησι, τὰ ἄνθη τῆς ἴριδος λέγεσθαι λύκους, διὰ τὸ ἐμφερῆ εἶναι λύκου χείλεσι. Νικόλαος δ' ὁ Δα-
μασκηνὸς ἐν τῇ ὀγδόῃ τῶν Ἱστοριῶν πρὸς ταῖς ἑκατὸν, περὶ τὰς Ἄλπεις λίμνην τινὰ φησὶν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιστα καὶ εὐχρούστατα, ὅμοια ταῖς καλουμέ-
Calcha. ναις κάλχαις. τῶν δὲ καλχῶν μέμνηται καὶ Ἀλκμὰν ἐν τούτοις·

Χρύσειον ὅρμον ἔχων
ῥαδινᾶν πετάλοισι καλχᾶν. [2]

μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος ἐν Ἀγρωστίνῳ. [3] b

XXIX. „Τῶν δὲ ῥόδων, φησὶ Θεόφραστος ἐν τῷ ς'. [4]
Roſae. πολλαί εἰσι διαφοραί. τὰ μὲν γὰρ πλεῖστα αὐτῶν

1 ἐν τῇ ἀνακεχωρηκυίᾳ ap. Theophr. 2 ῥαδινὰν πετ. κάλχαν vulgo. 3 Ἀγροστείνῳ ms. *A*. 4 ἐν στ'. edd. absque artic.

» *Iris* vero, ait Theophraſtus, floret aeſtate, & unus omnium florum Europaeorum fragrans eſt. Optima eſt autem in Illyrici partibus a mari remotis & elatioribus. « Philinus vero ait, flores iridis *lupos* vocari, quia ſimiles ſint labiis lupi. Nicolaus Damaſcenus, Hiſtoriarum libro centeſimo octavo ſcribit, circa Alpes eſſe lacum quemdam multorum ſtadiorum circuitu, in cuius ambitu per totum annum naſci flores odoris iucundiſſimi & venuſtiſſimi coloris, iis ſimiles qui *calchae* vocantur. Calcharum autem meminit etiam Alcman his verbis:

Aureum torquem habens
mollibus ex floribus calcharum.

Earumdem Epicharmus meminit in Ruſtico.

29. » *Roſarum*, ait Theophraſtus libro ſexto, multae ſunt varietates. Nam pleraeque quidem earum quinque-

εἰσι πεντάφυλλα, τὰ δὲ δωδεκάφυλλα, ἔνια δ' ἐστὶ καὶ ἑκατοντάφυλλα[1] περὶ Φιλιππούς. λαμβάνοντες γὰρ ἐκ τοῦ Παγγαίου φυτεύουσιν· ἐκεῖ γὰρ[2] γίγνεται πολλά. μικρὰ δὲ σφόδρα τὰ ἐντὸς φύλλα· ἡ γὰρ[3] ἔκφυσις αὐτῶν οὕτως ἐστὶν, ὥστ' εἶναι τὰ μὲν ἐντὸς, τὰ δ' ἐκτός. οὐκ εὔοσμα δὲ, οὐδὲ μεγάλα τοῖς μεγέθεσι. τὰ δὲ πεντάφυλλα[4] εὐώδη μᾶλλον, ὧν
c τραχὺ τὸ κάτω. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ· διὸ καὶ τὸ μύρον ἥδιστον. καὶ τῶν ἴων δὲ, καὶ τῶν ἄλλων ἀνθέων ἄκρατοι μάλιστα καὶ θεῖαι[5] αἱ ὀσμαί· διαφερόντως δ' ἡ τοῦ κρόκου." Τιμαχίδας δ', ἐν τοῖς Δείπνοις,[6] τὸ ῥόδον, φησὶ, τοὺς Ἀρκάδας καλεῖν εὐόμφαλον, ἀντὶ τοῦ εὔοσμον. Ἀπολλόδωρος δ' ἐν δ'. Παρθικῶν, ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν Παρθικὴν χώραν, περὶ οὗ τάδε φησί·

1 ἑκατόμφυλλα ms. *Ep.* 2 ἐκεῖ δὲ edd. 3 ἡ δ' ἔκφυσις edd. 4 ἐν δὲ τοῖς μεγάλοις apud Theophr. 5 Rectius, puto, apud eundem μάλιστα ἐκείνου αἱ ὀσμαί. 6 Temere δειπνοῖς ed. Caſ.

foliae ſunt, aliae duodecim folia habent: ſunt vero etiam centifoliae, circa Philippos; quas plantant ex Pangaeo translatas, ubi copioſae proveniunt. Harum puſilla valde ſunt interiora folia: ſic enim illa prodeunt, ut intrinſecus alia ſint, extrinſecus alia. Sed nec odore hae praeſtant, nec ampla ſunt magnitudine. Quinquefoliae ſuavius olent, quarum pars inferior ſcabra eſt. Fragrantiſſimae ſunt quae in Cyrenaica naſcuntur; quare & unguentum ex illis ſuaviſſimum. Sed & violarum aliorumque florum odores illic puriſſimi [& maxime divini]: praeſertim vero croci. « Timachidas vero in Coenis ait, roſam ab Arcadibus *euomphalon* dici, pro *euoſmon*, id eſt, boni odoris. Apollodorus libro quarto Rerum Parthicarum ſcribit, in Parthica regione *philadelphum* vocari florem quemdam, de quo haec

„Καὶ μυρσίνης γένη ποικίλα, μίλαξ τε, καὶ τὸ καλούμενον Φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῇ φύσει πρόσφορον. ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κραδαὶ [1] συμπέσωσιν, ἐμψύχων περιπλοκῇ [2] ἐν τῷ * [3] μένουσιν ἡνωμέναι, καθάπερ ἀπὸ ῥίζης μιᾶς, καὶ τὸ λοιπὸν ἀνατρέχουσι καὶ ζωοφυτοῦσι. διὸ καὶ τοῖς ἡμέροις φυλακὴν ἀπ' αὐτῶν κατασκευάζουσιν. [4] ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας, καὶ διαπλέξαντες [5] δικτύου τρόπῳ, φυτεύουσι κύκλῳ τῶν κηπευμάτων· καὶ ταῦτα συμπλεκόμενα περιβόλοις παρέχεται δυσπάροδον ἀσφάλειαν." Philadelphon. d

XXX. Cypria carmina.

Ἀνθῶν δὲ στεφανωτικῶν μέμνηται ὁ μὲν [6] τὰ Κύπρια ἔπη πεποιηκὼς, Ἡγησίας, ἢ Στασῖνος. [7] e Δημοδάμας γὰρ, ὁ Ἁλικαρνασσεὺς ἢ Μιλήσιος, ἐν

1 κράδαι ms. *Ep.* 2 ἐμψύχων περιπλοκὴν edd. cum ms. *A.* ἐμψύχῳ περιπλοκῇ legebat Dalec. 3 ἐν τῷ αὐτῷ vel ἐν ταὐτῷ legunt viri docti. Forsan ἑνοῦνται, καὶ μένουσιν &c. 4 παρασκευάζουσι edd. 5 διαπλεξ. τε edd. absque καὶ. 6 μὲν ὁ ed. Cant. & Caſ. 1. & 2. καὶ ὁ ed. Caſ. 3. 7 Forſ. ſcripſerat ἢ Στασῖνος, ἤ τις ἄλλος: aut aliquid tale. Aut dein Δημοδάμας δὲ ὁ Ἁλικ.

tradit: »Multiplex myrtorum genus, atque ſmilax, & quod *philadelphon* vocant, congruum naturae ſuae nomen ſortitum. Nam cum ex intercapedine ſponte rami coiverint, animato complexu cohaereſcunt, & in unitatem iunguntur, deinde procurrentes vivos ſurculos pariunt. Quamobrem cultis fundis ſepes ex eo praetendunt, in hortorum circuitu conſerentes commiſſis tenuiſſimis virgis, ac implexis retis modo; quae ſic contextae munimentum inacceſſum & tutum per ambitum undique praebent. «

30. Florum vero coronariorum meminit etiam *Cypriorum carminum* auctor, Hegeſias, ſive Staſinus. [ſive quis alius.] Nam Demodamas, Halicarnaſſeus ſive Mi-

τῷ Περὶ Ἁλικαρνασσοῦ, Κύπρια· [1] Ἁλικαρνασσέως δ' αὐτὰ εἶναί φησι ποιήματα. λέγει δ' οὖν, ὅστις ἐστὶν ὁ ποιήσας αὐτὰ, ἐν τῷ ια'. οὐτωσί·

Εἵματα [2] μὲν χροίας τότε αἱ Χάριτές τε καὶ Ὧραι [3]
ποίησαν, καὶ ἔβαψαν ἐν ἄνθεσιν εἰαρινοῖσιν,
οἷα Φοροῦσ' ὧραι, ἔν τε κρόκῳ, ἔν θ' ὑακίνθῳ,
ἔν τ' ἴῳ θαλέθοντι, ῥόδου τ' ἐνὶ ἄνθεϊ καλῷ,
ἡδεῖ, [4] νεκταρέῳ, ἔν τ' ἀμβροσίαις καλύκεσσιν [5]
f ἄνθεσι ναρκίσσου καλλιῤῥόου· [6] οἷ' [7] Ἀφροδίτη
ὥραις παντοίαις τεθυωμένα εἵματα ἕστο.

Οὗτος ὁ ποιητὴς καὶ τὴν τῶν στεφάνων χρῆσιν εἰδὼς φαίνεται, δι' ὧν λέγει·

Ἡ δὲ σὺν ἀμφιπόλοισι φιλομμειδὴς Ἀφροδίτη
πλεξαμένη στεφάνους εὐώδεας, ἄνθεα γαίης,

1 οὐ Κυπρίου corr. Hemst. Forsan Κυπρία μὲν. 2 ἵματα edd. ἱμάτια Ms. 3 καὶ αὖραι edd. 4 ἡδεῖ Ms. 5 καλίκεσσιν edd. 6 Immo ἄνθους ναρκίσσου καλλίχρου aut καλλιδρόσου. 7 δῖα ed. Cant. & Cas. 1. δῖ' Ἀφρ. ed. Cas. 2. & 3. δ' οἷα Ms.

lesius, in libro de Halicarnasso ait, non Cyprium patriâ, sed Halicarnasseum; [*sive*, Cyprium quidem, sed eum Halicarnasseum] auctorem esse illorum carminum. Quisquis igitur is fuerit, haec ait libro undecimo:

Vestimenta colorata tunc Gratiae atque Horae
fecerunt, & vernis tinxerunt floribus,
quos anni tempora ferunt, & croco, & hyacintho,
& viola florente, & rosae pulcro flore,
suavi, nectareo, & ambrosiis calycibus
florum narcissi suave rorantis: qualia Aphrodite
variorum temporum flores spirantia vestimenta gestabat.

Idem poëta etiam *coronarum* usum sibi cognitum fuisse his verbis declarat:

Risum amans Venus cum suis ministris
postquam fragrantes nexuit coronas, flores telluris,

ἂν κεφαλαῖσιν ἔθεντο θεαὶ λιπαροκρήδεμνοι,
Νύμφαι καὶ Χάριτες, ἅμα δὲ χρυσῆ Ἀφροδίτη,
καλὸν ἀείδουσαι κατ' ὄρος πολυπιδάκου Ἴδης.

XXXI. Flores coronarii, ex Nicandro.

Νίκανδρος δ' ἐν δευτέρῳ Γεωργικῶν καταλέγων a
καὶ αὐτὸς στεφανωτικὰ ἄνθη, καὶ περὶ τῶν Ἰάδων
Νυμφῶν καὶ περὶ ῥόδων τάδε λέγει·

Ἀλλὰ τὰ μὲν σπείροις τε καὶ ὡς [1] ὡραῖα φυτεύοις
ἄνθη Ἰαονίηθε. γένη γε μὲν ἰάσι δισσά, [2]
ὠχρόν τε, χρυσῷ τε φυὴν εἰς ὦπα προσειδές· [3]
ἄσσα τ' [4] Ἰωνιάδες Νύμφαι στέφος ἀγνὸν Ἰωνι
Πισαίοις ποθέσασαι ἐνὶ κλήροισιν ὄρεξαν. 5
ἤνυσε γὰρ χλούνην τε [5] μετεσσύμενος σκυλάκεσσιν,
Ἀλφειῷ καὶ λῦθρον ἑῶν ἐπλύνατο γυίων, b
ἑσπέριος Νυμφαῖσιν Ἰαονίδεσσι νυχεύσων.
Αὐτὰρ ἀκανθοβόλοιο ῥόδου κατατέμνεο [6] βλάστας,

1 Deeſt ὡς edd. 2 Mire turbatus verſus in edd. 3 εἰ σ' ὦ πατρὸς εἴδε edd. εἰδες Ms. 4 σεύατ' edd. 5 χλοῦν, ἣν δὲ vulgo. χλούνην γε corr. Caſ. aut σῦν ἄγριον χλούνην δὲ. 6 κατετέμνετο edd.

capitibus ſuis impoſuerunt Deae pulcris vittis decorae,
Nymphae & Gratiae, ſimulque aurea Venus,
pulcre canentes per irriguum multis fontibus Idam.

31. *NICANDER* etiam ſecundo libro Georgicorum *flores* recenſens *coronarios*, cum alia, tum de Iadibus Nymphis & de roſis haec ſcribit:

Sed alios quidem ſeveris & ut pulcros plantaveris
flores Ionica origine. Sunt autem i a d u m (violarum)
genera duo,
pallidum, & auro naturâ ſimile adſpectu,
quas Ioniades Nymphae caſtam coronam Ioni
Piſaeis in terris, amore captae, obtulerunt.
Confecerat enim aprum, canibus perſecutus,
& in Alpheo cruorem de membris ſuis abluerat,
noctu cum Nymphis Ioniadibus cubiturus.
Porro ſpinis infeſtae r o s a e abſcinde ſurculos,

τάφροις τ' ἐμπήξειας, ὀδὸν διπάλαιστα τελέσσ-
σων. [1] 10
πρῶτα μὲν Ὠδονίηθε Μίδης, [2] ἄπερ Ἀσίδος [3] ἀρ-
χὴν
λείπων, ἐν [4] κλήροισιν ἀνέτρεφεν Ἡμαθίοισιν [5]
αἰὲν ἐς ἑξήκοντα πέριξ κομόωντα [6] πετήλοις.
δεύτερα Νισαίης [7] Μεγαρηίδος. οὐ δὲ Φασηλὶς, [8]
c οὐδ' αὐτὴ [9] Λευκόφρυν ἀγασσαμένη [10] ἐπιμεμφὴς,
Ληθαίου Μάγνητος ἐφ' ὕδασιν εὐθαλέουσα. 16
Κισσοῦ δ' ἄλλοτε κλῶνες εὐῤῥίζου [11] καπέτοισιν,
πολλάκι δὲ στέφος αὐτὸ κορυμβήλοιο φυτεύσαις
θράσκιον ἢ ἀργο πόνης [12] κλαδέεσσι πλανήτην,
βλαστοδρεπιδεχύτοιο [13] καὶ εἰς μίαν ὀρεοκόρσην [14]
σπεῖραν ὑπὸ σπυρίδεσσι νεοπλέκτοισι καθάπτων, 21

1 διπαλαίστατες λέσχων vulgo. 2 Ὠδονίης Θέμιδος edd. Θεμιδης Ms. 3 ἀπεράσιδος vulgo. 4 λείπωμεν vulgo. 5 ἀνέστρεφε νηματίοισιν vulgo. 6 κομάοντα edd. 7 Νισέης vulgo. 8 φάσηλις vulgo. φάσηλος Natal. 9 οὐδ' αὖ ἡ legebam. 10 ἀγασσαμένης vulgo. ἀγασσαμένοις corrigunt alii. 11 εὐρίζου Ms. Corrigunt κλῶνας εὐῤῥίζου. 12 ἀργωπόνης Ms. Corrigunt δάσκιον, ἀργοπόδην, ἠδὲ κλαδ. 13 Corrigunt βλάστα δρέπου δ' ἐτοῖσι. 14 ὄρεο κόρσην corrigunt.

Flores coronarii, ex Nicandro.

& foſſis infige, interſtitium faciens duorum palmorum.
Primas quidem ex Odonta Midas, Aſiae relicto
regno, in fundis coluit Emathiis,
ſemper ad ſexaginta circumcirca foliis comatas.
Secundum locum tenent quae ſunt ex Niſaea Megarica.
Nec vero Phaſelis,
nec ea quae Leucophryn (Dianam) colit, ſpernenda,
Lethaei Magnetis ad undas florens.
Radicoſae aliâs hederae in ſcrobibus ramos,
ſaepius vero integram eius coronam, gravem etiam corymbis, ſerito,
umbroſam, lente ſerpentem, brachiis errabundam:
vel germina ex ea reſeca, unâ plagâ abſcindens,
deinde ſportam ex viminibus nuper textis adapta,

Flores coronarii.

ὅφρα δύο κροκόωντες ἐπιζυγέοντε κορύμβοις [1]
μέσσα συνωρίζωσιν [2] ὑπερφιάλοιο μετώπου, d
χλωροῖς ἀμφοτέρωθεν ἐπηρεφέες [3] πετάλοισιν.
Σπερματίνην [4] κάλυκες κεφαληγενοι ἀντελέουσιν, [5]
ἀργῆες [6] πετάλοισι, κρόκῳ μέσα χροϊσθεῖσαι·
ἃ κρίνα, λείρια δ' ἄλλοι ἐπιφθέγγονται ἀοιδῶν,
οἱ δὲ καὶ ἀμβροσίην, πολέες δέ γε χάρμ' Ἀφρο-
δίτης·
ἤρισε [7] γὰρ χροιῇ. τὸ δέ που ἐπὶ μέσσον ὄνειδος
ὅπλον βρωμητάο διεκτέλλον πεφάτισται. 30 e
Ἶρις δ' ἐν ῥίζῃσιν ἀγαλλίδι ἠδ' [8] ὑακίνθῳ
Αἰαστῇ προσέοικε, χελιδονίοισι δὲ τέλλει [9]
ἄνθεσιν, ἰσοδρομεῦσα χελιδόσιν. αἵ τ' ἀνὰ κόλπῳ [10]

1 κόρυμβοι corr. 2 συνορίζωσιν edd. 3 ἐπηρεφέας edd. 4 σπερματικὴν & κεφαλὴν corrigit Casaub. Equidem σπερματικαὶ legebam. 5 ἀντέλλουσιν malles. 6 ἀργυρέοις corr. Scal. & Casaub. ἀργέννοις Fior. Equidem ἀργῆτες malebam. 7 ἤρεσε corrigunt. Temere ἤριπε ed. Casaub. 2. & 3. 8 ἀγαλλιάσῃ δ' vulgo. 9 τίλλει vulgo. 10 αἰταναχόλπῳ vulgo.

sic corymbi ut duo crocei simul iuncti
mediâ sui parte coalescant, erecto superne vertice
utrinque, virenti fastigiati & tecti fronde.
Semine praegnantes calyces in summis caulibus nati oriuntur,
albi foliis, croco in medio tincti,
quae crina, alii vero lilia vocant cantores,
alii item ambrosiam, multi autem oblectamentum (immo vero, *contentionem*) *Veneris:*
contendit enim (cum ea) *de colore: quare in medio probrum,*
rudentis animalis membrum, assurgere dicitur.
Iris radicibus agallidi & hyacintho
Aiacis e cruore orto similis est; hirundinariis vero adsurgit
floribus, simul cum hirundinibus proveniens. Hae e gremio suo

ex Nicandro.

Φυλλάδα νηλείην [1] ἐκχεύετον, ἀρτίγονοι δὲ [2]
εἴδοντ' [3] ἠμύουσαι [4] ἀεὶ κάλυκες στομίοιτι.
Σὺν καί περ τοξία [5] χροιῇ λυχνὶς, οὐδὲ θρυαλλὶς,
οὐδὲ μὲν ἀνθεμίδων κενεὴ γηρύσεται [6] ἀκμὴ,
οὐδὲ βοάνθεμα κεῖνα τά τ' αἰπύτατον [7] κάρη [8] ὑψοῖ, [9]
Φλὸξ δὲ [10] θεοῦ αὐγῆσιν ἀνερχομένης ἀνιοῦσα.
f Ἕρπυλλον [δ' ἐφύδροισιν ἐνὶ] [11] βώλοισι φυτεύσεις,
ὄφρα κλάδοις μακροῖσιν ἑφερπύζων διαῆται, [12]
ἠὲ κατακρεμαῇσι [13] ἐφιμείρων [14] ποτὰ Νυμφέων.
Καὶ δ' αὖ τῆς [15] μήκωνος ἄπο πλαταγώνια βάλλοις,
ἄβρωτον κώδειαν [16] ὄφρα κνώπεσσι φυλάξῃ.

1 φυλλάδαν ἠλείην vulgo. φυλλάδα μηλείην corrigunt. 2 ἀρτίγονον δὲ vulgo. 3 εἶδον τε τ' vulgo. 4 ἠμνοῦσαι edd. 5 Σὺν καὶ πορφυρέα coni. Caſ. 6 γηράσεται vel γηρήσεται Dalec. & Purſ. 7 τά τε πύτανον edd. τά τε πύτατον ms. *A.* & cod. Natal. 8 χάρυ edd. χόρη ms. *A.* χάρα Caſaub. 9 ὑψοῦ vulgo. 10 φλόξ τε forſ. 11 Monſtroſe vulgo δὲ φριαλεύσο τ' ἐν. 12 διάκταιχε edd. & carent dein ἠὲ. 13 καταχρεμάσισι edd. & cod. Nat. καταχρεμάσαιτο corr. Caſaub. καταχρεμασισι ms. *A.* καταχρεμάηται malebam. 14 ἐφ' μίρων vulgo. 15 καὶ δ' αὐτῆς vulgo. 16 κωδίαν mssti, & ſic mox iterum.

folia ſaeva effundunt; recens nati vero
flores conſpiciuntur ſemper inclinatis orificiis.
. . . . . *colore lychnis, neque thryallis,*
nec anthemidum vanus dicetur eſſe vigor,
nec boanthema illa, quae altiſſime caput attollunt,
& flammula, quae redeunte ſolis ſplendore ſurgit.
Serpyllum vero in [*humido*] *ſolo plantabis,*
ut ramis longis ſerpens diffundatur,
aut dependeat expetens potum Nympharum.
Iam vero papaveris abiice folia,
ſalvum ut caput ſerves, ne a culicibus erodatur.

Flores coronarii,

φύλλοισιν [1] γὰρ πάντα διοιγομένοισιν [2] ἐφίζει
ἕρπετὰ, τὴν δὲ δρόσοισιν ἐϊσκομένην βοτέονται
κώδειαν, καρποῖο μελιχροτέρου πλήθουσαν. a
θριῶν δ' οἰχομένων [3] ῥέα μὲν φλόγες ἄλλοτε [4] ῥεί-
πη [5]
πλῆξαν [6] σαρκοτύπῃσι· τὰ δ' οὐ βάσιν ἐστήριξαν,
(θρῖα δ' οὐ λέγει τὰ τῆς συκῆς, ἀλλὰ τὰ τῆς μήκωνος.)
οὔτε τί παι [7] βρώμην ποτιδεγμένα, πολλάκι δ'
ἴχνη
στιφροῖς ὠλίσθησαν ἐνιχρίμψαντα [8] καρείοις.
Ἀδρύνει δὲ βλάστα βαθεῖ [9] ἐν τάχεϊ [10] καρπὸν
σαμψύχου λιβάνου τε νέας κλάδας, ἤδ' ὅσα κῆ- b
ποι
ἀνδράσιν ἐργοπόνοις στεφάνους ἐπιπορσαίνουσιν.

1 φυλάσσινη vulgo. Corrigunt φύλλα σίνει. Nescio an rectius φύλλασιν ἦ γάρ. 2 διοιγομέναισιν mssti. 3 διοιχομένων vulgo. 4 Forſ. ἄλλοσε. 5 ῥείπει ms. Nat. ῥιπῇς corrigit Scal. 6 ἦξαν corrigunt. 7 οὔτε τί πω corrigunt. Forſ. οὐκέτι πη. 8 ἐνιχρίμψαντες edd. ἐνιχρίμψαντε ms. *A*. 9 Temere βάθει ed. Caſ. 3. 10 τάχει edd. πάχει corr. Scal.

Foliis enim omnia apertis inſident
inſecta, & roribus ſimile depaſcuntur
caput, fructu mellito repletum.
Detractis vero foliis, (θρίων δ' οἰχομένων) *facile quidem flammae ſubinde percuſſerint*
ictibus carnem-ferientibus: illa vero firmum non amplius gradum habent,
(θρῖα hìc non *ficûs folia* dixit poëta, ſed *papaveris:*)
nec cibi iam quidquam nanciſcuntur: ſaepe vero veſtigia fallunt quum rigidis adpropinquant capitibus.
Augent vero germina profundâ in celeritate [ſive, *craſſitie*] *fructum*
amaraci, & roris marini novos ramulos, & quotquot horti viris cultoribus coronas ſuppeditant.

ἦ γὰρ [1] καὶ λεπταὶ πτερίδες, καὶ παιδὸς ἔρωτες 55 ex
λευκῇ ἰσαιόμενοι, σὺν καὶ [2] κρόκος εἴαρι μύων, [3] Nicandro,
κύπρος τ', ὀσμηρόν τε σισύμβριον, [4] ὅσσα τε χ' οἷα
ἄσπορα ναομένοισι τόποις [5] ἀνεθρέψατο λειμὼν
κάλλεα, βουφθαλμόν τε, καὶ εὐώδες Διὸς ἄνθος,
c χάλκας, σὺν δ' ὑάκινθον, ἰωνίδας τε [6] χαμη-
λὰς, [7] 60
ὀρθοτέρας ἃς τῦξε [8] μετ' ἄνθεσι Περσεφόνεια.
σὺν δὲ καὶ ὑψήεντα πανόσμιον, [9] ὅσσα τε τύμβοι [10]
φάσγανα παρθενικαῖς νεόχου παισὶν [11] ἀμφιχέον-
ται·
αὐταί τ' [12] ἠίθεαι ἀνεμωνίδες ἀστράπτουσαι,
τηλόθεν ὀξυτέρῃσιν ἐφελκομέναι χροιῇσιν. 65
(ἐν ἐνίοις δὲ γράφεται „ἐφελκομέναι φιλοχροιαῖς.")

1 ἦ γὰρ ed. Cant. & Caſ. ἡ γὰρ Natal. αἱ γὰρ corr. Purſ. 2 λευκὴ ἴσα μένοιεν καὶ edd. λευκὴ ἰσαιόμενοιεν καὶ mssti. 3 μυίων mssti. 4 κύπρος τε σισύμβριον vulgo. ὀσμηρὸν dedit *Epit.* 5 νεομένοισι πότοις vulgo. 6 ἰων δὰς τε edd. 7 Temere χαμυλὰς ed. Caſaub. 8 τεῦξε ed. Caſ. 2. & 3. 9 πανόσμεον ms. *A.* 10 τύμβοις videtur leg. 11 Corrigunt παρθενικᾶς (παρθενικῆς malles) νεόχου ποσὶν ἀμφ. 12 αὖταί τ' edd.

Huc referendae etiam tenues filices, & paederotes
populo ſimiles, & crocus vere ſe abſcondens,
& cyprus, & fragrans ſiſymbrium; & quoscumque qualesque
ſponte creſcentes in locis irriguis alunt prata
venuſtos flores, ut buphthalmum, & odoratum Iovis florem,
caltham, & hyacinthum, & humiles violas,
quibus obſcuriorem inter flores colorem Proſerpina dedit:
adhaec altum panoſmium, & qui tumulis
recens ſepultarum virginum circumfunduntur gladiolorum
de genere:
ipſaeque iuvenes anemonides fulgentes,
procul ſplendidioribus allicientes coloribus.

(Pro ἐφελκομέναι χροιῇσιν, in nonnullis codicibus ſcribitur ἐφελκομέναι φιλοχροιαῖς.)

Πᾶς δέ τις ἢ ἑλένειον [1] ἢ ἀστέρα φωτίζοντα d
δρέψας, εἰνοδίοισι θεῶν παρακάββαλε [2] σηκοῖς,
ἢ αὐτοῖς βρετάεσσιν, ἅ τε πρώτιστον ἴδωνται·
πολλάκι θέλκια [3] καλὰ, τό τε χρυσανθὲς ἀμέργων,
λείριά τε [4] στηλαῖσιν ἐπιφθίνοντα καμόντων,
καὶ γεραὸν πώγωνα, [5] καὶ εὐστραφέας [6] κυκλαμίνους, [7]
σαύρην τ', ἢ χθονίου [8] πέφαται στέφος Ἡγεσιλάου. [9]

XXXII. Plantae aſtra ſequentes.

Ἐκ τούτων τῶν ἐπῶν δῆλον γίνεται, ὅτι ἕτερόν ἐστι τὸ χελιδόνιον τῆς ἀνεμώνης. τινὲς γὰρ ταὐτὸ εἶ- e
ναι φασί. Θεόφραστος δέ φησι, τὰς διανθήσεις [10] λαμβάνειν διασυνακολουθοῦντα [11] τοῖς ἄστροις, [12] τὸ ἡ-

1 ἑλένειον vulgo. 2 παρακάμβαλε edd. 3 θ' ἕλκια corr. Scal. An θέλκτρια? 4 λήριά τε edd. λιρίας τε mssti. 5 Forſ. καί γε τράγου πώγωνα, vel καὶ τράγιον πωγ. 6 εὐτραπέας vulgo. Poteras & εὐπρεπέας coniectare. 7 κυκλαμίνου vulgo. 8 χθόνιον edd. 9 Ἡγεσιλίου vulgo. Ἀγεσιλάου corr. Caſaub. 10 τὰς δ' ἀνθήσεις ms. *A*. 11 δεῖ συνακολουθοῦντα vulgo. 12 Perperam τοῖς ἀγρίοις apud Theophr.

Quisquis es vero, aut helenium aut aſtera ſplendentem collige, & Deorum in aediculis quae in via ſunt depone, aut ad ipſa ſimulacra quaecumque primum conſpexeris; ſaepe pulcra thelcia [placamenta] *carpens*, velut *chrysanthemum*,
& lilia, quae defunctorum in cippis marceſcant,
& gerontopogonem, & tortiles cyclaminos,
& ſauram, (naſturtium,) *quae corona dicitur inferi Ageſilai.* (Plutonis.)

32. Ex his verſibus manifeſtum fit, aliud eſſe chelidonium, aliud anemonen: quas plantas nonnulli easdem eſſe dicunt. Theophraſtus vero air, eſſe plantas quasdam, quarum flores conſtanter aſtra ſequantur; in his

λιοτρόπιον καλούμενον, καὶ τὸ χελιδόνιον· καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδόνι ἀνθεῖ. Καὶ ἀμβροσίαν δὲ ἄνθος Ambrosia.
τι ἀναγράφει ὁ Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασι, λέγων οὕτως· „Νίκανδρός φησιν, [1] ἐξ ἀνδριάντος τῆς κεφαλῆς Ἀλεξάνδρου τὴν καλουμένην ἀμβροσίαν φύεσθαι ἐν Κῷ.“ προείρηται δ' ἄνω περὶ αὐτῆς, ὅτι τὸ
f κρῖνον οὕτω λέγουσι. Τιμαχίδας δ', ἐν τετάρτῳ Δείπνου, καὶ θησείόν τι ἀναγράφει καλούμενον ἄνθος·

Θησειόν θ' [2] ἁπαλὸν, μήλῳ ἐναλίγκιον ἄνθος,
Λευκερέης [3] ἱερὸν, περικαλλὲς, ὅν ῥα [4] μάλιστα
Φίλατο. —

ἀπὸ τούτου δέ φησι [5] τοῦ ἄνθους καὶ τὸν τῆς Ἀριάδνης καλούμενον στέφανον πεπλέχθαι. Καὶ ὁ Φερεκράτης δὲ, ἢ ὁ ποιήσας τὸ δρᾶμα τοὺς Πέρσας, μνημονεύων καὶ αὐτὸς ἀνθῶν τινων στεφανωτικῶν, φησίν· Ariadnae corona.
a

1 Ὁ Νίκανδρός φησιν edd. 2 Θήσειον δ' edd. 3 Λευκερώης ed. Cant. & Caſ. 1. Temere Λευκεράης ed. Caſ. 2. & 3. Λευκοθέας vel Λευκορόης corr. Caſaub. 4 ὅπερ ῥα, aut περικαλλέος ὅρρα corr. Caſ. 5 φασὶ edd.

heliotropium, & chelidonium: nam hoc ſimul cum hirundinis adventu floret. Sed & *ambroſiam* florem quemdam commemorat Caryſtius in Hiſtoricis Commentariis, ita ſcribens: »Nicander ait, e capite ſtatuae Alexandri in Co inſula naſci ambroſiam quam vocant.« De hac autem ſupra dictum eſt, *lilium* ita vocari. Timachidas vero quarto libro Coenae etiam florem quemdam Theſeium dictum memorat:

Theſeium tenerum, malo ſimilem florem,
Leucereae ſacrum, perpulcrum, quem maxime
amabat. —

Et ex hoc flore nexam fuiſſe ait *Ariadnae coronam* quae vocatur. Iam Pherecrates quoque, aut qui auctor eſt fabulae quae Perſae inſcribitur, flores nonnullos commemorans coronarios, ait:

Ὦ μαλάχας μὲν ἐξερῶν,
ἀναπνέων δ' ὑάκινθον, [1]
καὶ μελιλώτινον λαλῶν,
καὶ ῥόδα προσσεσηρώς·
ὦ φιλῶν μὲν ἀμάρακον,
προσκινῶν δὲ σέλινα, [2]
[γελῶν δ' ἱπποσέλινα,] [3]
καὶ κοσμοσάνδαλα βαίνων·
ἔγχει, κἀπιβόα [4] τρίτον
παιῶν', [5] ὡς νόμος ἐστίν.

Incedens cosmosandala.

Ὁ δὲ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Μεταλλεῖς φησίν·

Ὑπ' ἀναδενδράδων ἁπαλὰς
ἀσπαλάθους [6] πατῶντες [7]
ἐν λειμῶνι λωτοφόρῳ,
κύπειρον τε δροσώδη,
κ' ἀνθρύσκου [8] μαλακῶν τ' ἴων
λείμακα [9] καὶ τριφύλλου.

Trifolium.

1 διὰ ὑάκινθον edd. 2 σέλινον edd. 3 Corruptus versiculus deest edd. 4 καὶπιβόατρετον edd. καὶπιβόα ms. *Ep.* 5 παιὼν edd. παίων ms. *Ep.* 6 ἀσπαράγους corr. Dalec. 7 An πατοῦντες? 8 ἀνθρίσκου edd. ἀνθρίσκον, μαλακόν τ' ἴον corr. Salm. 9 λίμακα vulgo. μίλακα καὶ τρίφυλλον corr. Salm.

O tu, qui malvam evomis, & ſpiras hyacinthum, & melilotinum (unguentum) *loqueris, & roſea arrides; cuius oſcula amaracum olent; concubitus, apium; qui - - - -, & incedis coſmoſandala: infunde, & adclama tertium paeanem, uti ius & fas eſt.*

Tum auctor Metallicorum, quae fabula eidem Pherecrati tribuitur, haec ait:

Sub arbuſtivis vitibus teneras calcantes aſpalathos in prato loti-ferace, & cyperum roſcidum, & anthryſci molliumque violarum areas & trifolii.

Ἐν τούτοις ζητῶ, τί τὸ τρίφυλλον. καὶ γὰρ εἰς Δημαρέτην ἀναφέρεταί τι ποιημάτιον, ὃ ἐπιγράφεται Τρίφυλλον. καὶν τοῖς ἐπιγραφομένοις δὲ Ἀγαθοῖς Φερεκράτης ἢ Στράττις φησί·

„ Λουσάμενοι δὲ πρὸ λαμπρᾶς ἡμέρας ἐν τοῖς στεφανώμασιν, οἱ δ' ἐν τῷ μύρῳ."

λαλεῖ δὲ [1] περὶ σισυμβρίων κοσμοσανδάλων τε. καὶ Κρατῖνος ἐν Μαλθακοῖς·

Παντοίοις γε μὴν [2] κεφαλὴν
ἀνθέμοις ἐρέπτομαι,
λειρίοις, ῥόδοισι, κρίνοις, [3]
κοσμοσανδάλοις, ἴοις,
καὶ σισυμβρίοις, ἀνεμώνων κάλυξί τ' ἠρινᾶις,
ἐρπύλλῳ, κρόκοις, ὑακίνθῳ, ἐλιχρύσου κλάδοις,
οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ Φιλουμένῳ, [4]

1 Vulgo ἐν τῷ μύρῳ λαλεῖται περὶ σισυμβ. 2 Forſ. γ' ἐμὴν κεφαλὴν. 3 Vulgo h. l. ῥόδοις, κρίνοις. Alibi, ῥόδοις, κρίνοισι. 4 Salmaſ. corrigit, ἡμεροκάλλει, τῇ μίλῳ, ἀνθρ.

In his quaero quid ſit *trifolium*. Nam & poëmation eſt, *Trifolium* inſcriptum, quod Demaretae auctori tribuitur. Et in Bonis quae inſcribitur fabula Pherecrates aut Strattis ait:

Lavarunt ante diem ſplendidum in
coronamentis, alii vero in unguento.

Loquitur autem de ſiſymbriis & coſmoſandalis. Et Cratinus in Effoeminatis:

Omnis generis floribus caput meum corono:
liliis, roſis, crinis, coſmoſandalis, violis,
& ſiſymbriis, & anemonarum vernis calycibus,
ſerpyllo, crocis, hyacintho, helichryſi ramis,
oenanthae floribus, & dilecta hemerocallide,

ἀνθρύσκου [1] φόβῃ [2] . . .
. . . . . .
τῷ τ' ἀειφρούρῳ μελιλώ-
τῳ κάρα πυκάζομαι,
καὶ ὁ [3] κύτισος αὐτόματος
παραμέδοντος [4] ἔρχεται.

XXXIII. Coronae in conviviis.

Ἡ δὲ τῶν στεφάνων καὶ μύρων πρότερον εἴσοδος εἰς τὰ συμπόσια ἠγεῖτο τῆς δευτέρας τραπέζης, ὡς παρίστησι Νικόστρατος ἐν Ψευδοστιγματίᾳ, διὰ τούτων·

— Καὶ σὺ μὲν d
τὴν δευτέραν τράπεζαν εὐτρεπῆ [5] ποίει,
κόσμησον αὐτὴν παντοδαποῖς τραγήμασι,
μύρον, στεφάνους, λιβανωτὸν, αὐλητρίδα λάβε.

Φιλόξενος δ' ὁ Διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας, οὕτως λέγων·

1 ἀνθρυσχίσκου edd. ἀνθρυσχίσσου Ms. 2 Vulgo φοβήτω τ' ἀεὶ φρούρῳ absque lacunae signo. 3 Deeſt vulgo artic. 4 παρὰ μέδοντος vulgo. 5 εὐπρεπῆ vulgo.

anthryſci [*floribus, & hederae*] *comâ,*
& ſemper-cuſtodiente meliloto caput cingo;
& cytiſus ſponte ſine mea cura venit.

33. Coronarum & unguentorum miſſus in convivia praecedebat olim ſecundas menſas, ut docet Nicoſtratus in Pſeudoſtigmatia, ubi ait:

— *Et tu quidem*
ſecundam menſam paratam (ſive, *elegantem*) *fac;*
orna eam multifariis bellariis;
unguentum, coronas, thura, tibicinam ſume.

Philoxenus vero, poëta dithyrambicus, in poëmate quod Coena inſcribitur, coronam initium ſtatuit epuli, ita ſcribens:

„Κατὰ χειρὸς δ' ἤλυθ' ὕδωρ· ἀπαλὸς παιδίσκος ἐν ἀργυρέῳ προχόῳ Φέρων ἐπέχευεν. εἶτ' ἔφερε στέφανον λεπτᾶς ἀπὸ μυρτίδος [1] εὐγνήτων κλάδων [2] δισύναπτον." [3]

e Εὔβουλος, Τιτθαῖς·

Ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότε εἰς δόμους, [4]
εὐθὺς ἀνεκλίνετο. παρῆν ὁ στέφανος ἐν τάχει·
ἤρετο [5] τράπεζα· παρέκειθ' ἅμα τετριμμένη
μάζα χαριτοβλέφαρος.

Τοῦτο δ' ἦν [6] ἔθος καὶ παρ' Αἰγυπτίοις, ὡς Νικόστρατός φησιν ἐν Τοκιστῇ. Αἰγύπτιον γὰρ ὑποστησάμενος τὸν τοκιστήν, [7] φησί·

Α. Καταλαμβάνομεν τὸν πορνοβόσκον καὶ δύο [8]
f ἑτέρους κατὰ χειρὸς ἀρτίως εἰληφότας

1 Vulgo στεφανολεπτὰς ἀπὸ μυρτίδων. 2 Corrigunt εὔγνητον (vel εὐάγητον) κλάδον. Alii εὐγνάμπτων κλάδων. 3 δυσσύναπτον Dalec.
4 Verſus, ſi alioqui probus, tali quodam modo ſcribendus:
['Αλλ'] ὡς γὰρ ἐσῆλθε τὰ γερόντια τότ' εἰς δόμους.
5 ἤρετο vulgo. 6 γὰρ ἦν edd. 7 τὸν τοκ. ὑποστησ. edd.
8 καὶ δι' ἑτέρους edd. καὶ δύ' ἑτέρους Ms.

»Et lavandis manibus adlata eſt aqua: delicatus puer argenteo in gutto illam adferens adfundebat. Dein coronam adferebat ex tenuis myrti elegantibus ramis dupliciter nexam.«

Eubulus, in Nutricibus:

Poſtquam enim vetuli tunc domum ſunt ingreſſi, ſtatim adcumbebant. Aderat celeriter corona: adferebatur menſa: adponebatur ſimul intrita maza venuſtis-ſuperciliis.

Erat vero idem mos etiam apud Aegyptios, ut Nicoſtratus docet in Foeneratore. Aegyptium enim inducens foeneratorem, ait:

A. *Deprehendimus lenonem, & duo alios, cum iam modo aquam lavandis manibus accepiſſent*

καὶ στέφανον.[1] Β. Εἶεν καλὸς ὁ καιρὸς, Χαιρεφῶν. Σὺ δὲ γαστρίζου, Κύνουλκε· καὶ μετὰ ταῦτα ἡμῖν εἰπὲ,[2] διὰ τί Κρατῖνος εἴρηκε τὸν μελίλωτον „τῷ τ' ἀειφρούρῳ μελιλώτῳ." Ἐπεὶ δέ σε ὁρῶ ἔξοινον ἤδη γεγενημένον· (οὕτως δ' εἴρηκε τὸν μεθύσην Ἄλεξις ἐν Εἰσοικιζομένῳ·) παύσομαί σε ἐρεσχελῶν,[3] καὶ τοῖς παισὶ παρακελεύομαι κατὰ τὸν Σοφοκλέα, ὃς ἐν Συνδείπνοις φησί·

Ἔξοινος, ὁ μεθύσης.

Φορεῖτε, μασσέτω τις, ἐγχείτω βαθὺν a
κρητῆρ'· ὅδ' ὠὴρ οὐ,[4] πρὶν ἂν φάγῃ, καλῶς,
ὅμοια καὶ βοῦς ἐργάτης, ἐργάζεται.

Καὶ κατὰ τὸν Φλιάσιον δ' Ἀριστίαν· καὶ γὰρ οὗτος ἐν ταῖς ἐπιγραφομέναις Κηρσὶν[5] ἔφη·

Σύνδειπνος ἢ πίκωπος ἢ μαζαγρέτας,
Ἅιδου[6] τραπεζεὺς, ἀκρατέα[7] νηδὺν ἔχων.

1 τὸν στέφανον, absque καὶ, edd. 2 εἰπὲ ἡμῖν edd. 3 ἐρεσχηλῶν Ms. Forſ. ἐρισχηλῶν. 4 Vulgo κρητῆρα. ὁ δ' ἀνὴρ οὐ. κρητῆρ'· ἀνὴρ δ' οὐδεὶς corr. Br. 5 Κρησὶν Natal. 6 Αἰδοῦ edd. αἰδοῖ ms. *Ep.* 7 ἀκραταίαν edd. (cum ms. *A.*) ἀκατιαίαν corr. Toup.

& coronam. B. *Opportunum fuerit temporis momentum, Chaerephon!*

Tu vero ventri indulge, Cynulce; ac dein nobis exprome, cur Cratinus de meliloto loquens dixerit, *ſemper-cuſtodiente meliloto.* Sed quum te videam *vino iam captum*, ἔξοινον, (ſic enim, quem *ebrium*, μεθύσην, vulgo dicimus, Alexis dixit in Colono) deſinam te laceſſere, & pueros iubeo, ſecundum id quod Sophocles ait in Unà-coenantibus:

Adferte, mazam paret aliquis, infundat profundum
craterem. Nec enim vir hic, priusquam comederit,
non magis quam bos operarius, opus recte facere poteſt.

Et, quod Phliaſius Ariſtias ait in fabulâ, quae Parcae inſcribitur:

Conviva eſt aut remex, aut mazae venator,
Orci paraſitus, incontinentem ventrem habens.

Ἐπεὶ δὲ τοσούτων λεχθέντων μηδὲν ἀποκρίνεται, κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ συμποσίου.
b τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ κωμῳδιοποιὸς φησί·

Στεφάνων δὲ τουτωνὶ [1] χύδην πεπλεγμένων.

Κἀγὼ δ' ἐπὶ τούτοις τοῦ λέγειν ἤδη παύσομαι τὸ τήμερον, παραχωρῶ τε τὸν περὶ τῶν μύρων λόγον τοῖς βουλομένοις διεξέρχεσθαι· τῷ τε παιδὶ προστάττων ἐπὶ τῇ στεφανηφόρῳ ταύτῃ μου διαλέξει, κατὰ τὸν Ἀντιφάνους, * [2]

[Στεφάνους] [3] ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο,
c καὶ δᾷδα χρηστὴν ἡμμένην χρηστῷ πυρί.

οὕτω γὰρ τὴν τῶν λόγων διέξοδον ὥσπερ δράματος ποιήσομαι. Καὶ μετ' οὐ πολλὰς ἡμέρας, ὥσπερ αὐτοῦ σιωπὴν καταμαντευσάμενος, ἀπέθανεν εὐτυχῶς, Moritur Ulpianus.

1 τούτων Ms. 2 Intercidit fabulae nomen. 3 *Deest* vox στεφάνους vulgo. An φανούς?

Quoniam vero hic ad omnia haec, quae dicta ſunt, nihil reſpondet; iubeo illum (ut eſt in Alexidis Geminis) tumultuariis coronis coronatum e convivio exportari. Tumultuariarum autem coronarum meminit ille comicus his verbis:

Coronis hisce tumultuarie nexis.

Ego vero poſt haec finem dicendi in hunc diem faciens, disputationem *de Unguentis* relinquo his, qui eam perſequi voluerint; puerumque iubeo ob hunc meum coronarium ſermonem, (quod ait ille Antiphaneus . . .)

Coronas huc adferre ex illis bonis duas,
& facem bonam bono accenſam igne.

Sic enim meae orationis, tamquam dramatis, exitum faciam. Et poſt paucos dies, quaſi ſibi ipſe (aeternum) ſilentium vaticinatus eſſet, diem ſupremum obiit felici-

οὐδένα καιρὸν νόσῳ παραδοὺς, πολλὰ δὲ λυπήσας ἡμᾶς τοὺς ἑταίρους.

XXXIV. Unguenta non decent virum.

Περιενεγκόντων δὲ τῶν παίδων ἐν ἀλαβάστροις καὶ ἄλλοις χρυσοῖς σκεύεσι μύρα, τὸν Κύνουλκον θεασάμενός τις, πολλῷ τῷ μύρῳ τὸ πρόσωπον ἐπέχρισεν. ὁ δὲ διεγερθεὶς, καὶ μόλις ἑαυτὸν ἀναλαβών· Τί τοῦτ'; εἶπεν, Ἡράκλεις, οὐ σπογγιᾷ τίς μου παρ- d ελθὼν τὸ πρόσωπον ἐκκαθαρίσει, μεμολισμένον μαγγανείαις πολλαῖς; ἢ οὐκ οἴδατε καὶ τὸν καλὸν Ξενοφῶντα ἐν τῷ Συμποσίῳ ποιοῦντα τὸν Σωκράτην τοιαυτὶ λέγοντα· „Νὴ Δί', ὦ Καλλία, τελέως ἡμᾶς ἑστιᾷς· οὐ γὰρ μόνον δεῖπνον ἄμεμπτον παρέθηκας, ἀλλὰ καὶ ἀκροάματα καὶ θεάματα ἥδιστα παρέχεις. Τί οὖν; εἰ καὶ μύρον ἐνέγκαι τις ἡμῖν, ἵνα καὶ εὐωδίᾳ ἑστιώμεθα. Μηδαμῶς, ἔφη ὁ Σωκράτης.

Socrates in Xenophontis Convivio.

1 Σωκράτη edd. 2 καὶ ὃς ἔφη additur apud Xenoph. 3 εὐωδίαν edd. 4 ἡστιόμεθα edd. ἱστιωμ. Ms.

ter, nullo relicto aegrotationi ſpatio, incredibili noſtrûm omnium dolore, qui eius familiaritate uſi eramus.

34. Quum deinde *unguenta* in alabaſtris aliisque vaſis aureis circumferrent pueri, conſpiciens aliquis (ſopore oppreſſum) Cynulcum, multo unguento faciem eius illevit. Et ille expergefactus, poſtquam tandem ad ſe rediiſſet: Quid hoc rei eſt? inquit, o ſancte Hercules! Nonne accedet aliquis, & ſpongiâ faciem meam absterget, multis ſordibus inquinatam? An neſcitis, etiam elegantem Xenophontem in Sympoſio Socratem inducere haec dicentem: »Per Iovem, o Callia, convivium quo nos excipis, omnibus numeris perfectum eſt. Nec enim ſolum coenam eiusmodi nobis adpoſuiſti, in qua nihil deſiderari queat; verum etiam acroamata & ſpectacula nobis exhibes ſuaviſſima. Quid vero? [inquit ille:] ſi quis etiam unguentum nobis adferat, ut ſuaves quoque odores epulemur. Minime, inquit Socrates. Sane enim

ὥσπερ γάρ τοι ἐσθὴς ἄλλη μὲν γυναικεία, ἄλλη δὲ
e ἀνδρεία καλή, οὕτω καὶ ὀσμὴ ἄλλη μὲν γυναικὶ, [1]
ἄλλη δὲ ἀνδρὶ πρέπει. καὶ γὰρ ἀνδρὸς μὲν δή που
ἕνεκεν, ἀνδρῶν [2] οὐδεὶς μύρῳ χρίεται. αἵ γε μὴν γυ-
ναῖκες, ἄλλως τε ἂν καὶ [3] νύμφαι τύχωσιν οὖσαι,
ὥσπερ ἡ Νικηράτου τε τούτου, καὶ ἡ Κριτοβούλου,
μύρου μέν τι [4] καὶ προσδέονται; [5] αὐταὶ [6] γὰρ τού-
του [7] ὄζουσιν. ἐλαίου δὲ τοῦ ἐν γυμνασίοις ὀσμὴ καὶ
παροῦσα ἡδίων [8] ἢ μύρου γυναιξὶν, καὶ ἀποῦσα πο-
θεινοτέρα. καὶ γὰρ δὴ μύρῳ μὲν ἀλειψάμενος δοῦλος
καὶ ἐλεύθερος, εὐθὺς ἅπας ὅμοιον ὄζει. αἱ δ' ἀπὸ τῶν
f ἐλευθέρων μόχθων ὀσμαὶ ἐπιτηδευμάτων τε πρώτου
χρηστῶν καὶ χρόνου πολλοῦ δέονται, εἰ μέλλουσιν
ἡδεῖαί τε καὶ ἐλευθέριοι [9] ἔσεσθαι." Καὶ ὁ θαυμα-

1 ἄλλη μὲν ἀνδρὶ, ἄλλη δὲ γυναικὶ edd. ex Xenoph. 2 ἀνὴρ ap. Xen. Deeſt vocab. edd. 3 καὶ ἂν malles. 4 μέ τι vulgo. Forſ. μή τι. 5 Deeſt vulgo interrogationis ſignum. 6 ναῦται vulgo. αὗται apud Xenoph. 7 γὰρ τοῦτο edd. 8 Vulgo apud Athen. ſic legebatur: καὶ παρουσία ἀνδρῶν (forſ. πάροῦσα ἀνδράσιν ſcripſerat Athenaeus) ἢ μύρου γυναιξὶν ἡδίων, καὶ ἀπουσία ποθεινοτέρα. 9 ἐλευθέριαι Ms.

ut alia veſtis muliebris pulcra eſt, alia virilis; ſic etiam alius odor mulierem, alius virum decet. Etenim viri utique cauſſâ nemo vir unguento ungitur. Mulieres vero, praeſertim ſi recens nuptae ſint, ſicut Nicerati huius & Critobuli, unguentum-ne illae (in viris) requirerent, cum ipſaemet unguentum redoleant? At olei odor, quo in gymnaſiis utimur, ſi quidem adſit, gratior eſt quam unguenti mulieribus; & magis, ſi abſit, deſideratur. Etenim ſi quis unguento ſe perunxit, ſive ſervus ſit, ſive ingenuus, mox quilibet perinde redolet. At, qui ſunt ex liberalibus laboribus odores, prius & ſtudioſas exercitationes & longum tempus deſiderant, ſi velis & ſuaves eos eſſe & liberales. « Atque etiam ad-

σιώτατος δὲ Χρύσιππος, τὴν ὀνομασίαν, φησὶ, λαβεῖν τὰ μύρα ἀπὸ τοῦ μετὰ πολλοῦ μόρου καὶ πόνου [1] ματαίου γίνεσθαι. Λακεδαιμόνιοί τε ἐξελαύνουσι τῆς Σπάρτης τοὺς τὰ μύρα κατασκευάζοντας, ὡς διαφθείροντας τὸ ὕλαιον· καὶ τοὺς τὰ ἔρια δὲ βάπτοντας, ὡς ἀφανίζοντας τὴν λευκότητα τῶν ἐρίων. Σόλων τε ὁ σοφὸς διὰ τῶν νόμων κεκώλυκε τοὺς ἄνδρας μυροπωλεῖν. a

XXXV. Voluptas nulla sine virtute.

„Νῦν δὲ τῶν ἀνθρώπων οὐχ αἱ ὀσμαὶ μόνον, ὥς φησι Κλέαρχος ἐν γ'. Περὶ Βίων,[2] ἀλλὰ καὶ αἱ χροιαὶ τρυφερὸν ἔχουσαί τι, συνεκθηλύνουσι τοὺς μεταχειριζομένους. ὑμεῖς δ' οἴεσθε τὴν ἁβρότητα χωρὶς ἀρετῆς ἔχειν τι τρυφερόν; [3] καί τοι Σαπφὼ, γυνὴ μὲν πρὸς ἀλήθειαν οὖσα, καὶ ποιήτρια, ὅμως ἠδέσθη [4] τὸ καλὸν τῆς ἁβρότητος ἀφελεῖν, λέγουσα ὧδε·

Ἐγὼ δὲ φίλημι [5] ἁβροσύναν,

1 ποτοῦ ed. Cant. & Caſ. 1. ποθοῦ ed. Caſ. 2. 3. 2 ἐν δευτέρῳ περὶ Βίων edd. 3 Non indicabatur vulgo interrogatio. 4 ἠδέθη edd. 5 φιλήμμι edd. φίλημμι Ms.

mirabilis Chryſippus ait, nomen inveniſſe *unguenta* (τὰ μύρα) ab eo, quod cum multo μόρῳ, cum multa moleſtia & labore vano parentur. Lacedaemonii vero urbe eiiciunt eos qui unguenta conficiunt, ut qui oleum perdant; quemadmodum eos qui lanam tingunt, ut qui candorem lanae obliterent. Et ſapiens Solon legibus ſuis vetuit, ne unguenta venderent viri.

35. »Nunc vero hominum non odores ſolum, ut ait Clearchus tertio libro de Vitis, ſed & colores, luxurioſum quidpiam habentes, effoeminant hos qui illos tractant. Vos vero putatis-ne, elegantiam absque virtute delicati quidquam habere? Atqui Sappho, cum vere quidem mulier eſſet, eademque poëtria, tamen verita eſt honeſtatem ab elegantia ſeparare, ita dicens:

Ego amo elegantiam:

καί μοι τὸ λαμπρὸν ἔρος [1] ἀελίῳ
b καὶ τὸ καλὸν λέλογχε.

Φανερὸν ποιοῦσα πᾶσιν, ὡς ἡ τοῦ ζῆν ἐπιθυμία τὸ λαμπρὸν καὶ τὸ καλὸν εἶχεν αὐτῇ. ταῦτα δ' ἐστὶν οἰκεῖα τῆς ἀρετῆς. Παῤῥάσιος δ' ὁ ζωγράφος, καί περ παρὰ μέλος ὑπὲρ τὴν ἑαυτοῦ τέχνην τρυφήσας, καὶ τὸ λεγόμενον ἐλευθέριον ἐκ ῥαβδίων τινῶν καὶ ποτηρίων [2] ἑλκύσας, λόγῳ γ' οὖν [3] ἀντελάβετο τῆς ἀρετῆς, ἐπιγραψάμενος τοῖς ἐν Λίνδῳ πᾶσιν αὐτοῦ ἔργοις·

Ἀβροδίαιτος ἀνὴρ, ἀρετήν τε σέβων, τάδ' ἔγραψεν
Παῤῥάσιος. —

ᾧ κομψός τις, ὡς ἐμοὶ δοκεῖ, ὑπεραλγήσας ῥυπαί-
c νοντι τὸ τῆς ἀρετῆς ἄβρὸν καὶ καλὸν, ἅτε φορτικῶς μετακαλεσαμένῳ εἰς τρυφὴν τὴν δοθεῖσαν [4] ὑπὸ τῆς

1 ἔρις edd. 2 ἐκραβδίων ἔκτινων ποτ. vulgo: ubi forſ. καὶ ἐκ τινῶν vel ἔκ τε τινῶν ποτ. oportebat. ἐκ ῥαβδ. τινῶν ἔκ τε καυστηρίων coni. Caſ. 3 γὰρ οὖν edd. 4 τὴν εἰς τρυφὴν δοθ. vulgo. Forſ. εἰς τρυφὴν τὴν εἰς τροφὴν δοθεῖσαν.

& mihi amor lucis & ſplendorem
& honeſtatem ſortitus eſt.

Teſtatum faciens omnibus, vitae amorem apud ipſam & ſplendorem & honeſtatem habere: ſunt autem haec cum virtute coniuncta. Parrhaſius vero pictor, quamquam praeter modum ſupra artem ſuam magnificus & arrogans, & liberalem quae dicitur ſortem vitamque ex bacillis quibusdam & poculis ducens, verbo tamen virtutem ſibi vindicavit, cum omnibus ſuis quae Lindi ſunt operibus haec inſcriberet:

Elegantis vir vitae, virtutemque colens, haec pinxit
Parrhaſius. —

Cui facetus aliquis indignatus, puto, quod virtutis ſplendorem pulcritudinemque pollueret, ut qui, quas fortuna ei dederat [*ſive*, quas ars ei ad vitam ſustentendam

τύχης [1] χορηγίαν, παρέγραψε τὸ Ῥαβδοδίαιτος ἀνήρ. ἀλλ' ὅμως, διὰ τὸ τὴν ἀρετὴν φῆσαι τιμᾶν, ἀνεκτέον." [2] Ταῦτα μὲν ὁ Κλέαρχος. Σοφοκλῆς δ' ὁ ποιητὴς, ἐν Κρίσει [3] τῷ δράματι, τὴν μὲν Ἀφροδίτην, Ἡδονήν τινα οὖσαν δαίμονα, μύρῳ [4] ἀλειφομένην παράγει, καὶ κατοπτριζομένην· τὴν δ' Ἀθηνᾶν, Φρόνησιν οὖσαν καὶ Νοῦν, ἔτι δ' Ἀρετὴν, ἐλαίῳ χρωμένην καὶ γυμναζομένην.

Sophoclis fabula Κρίσις.

XXXVI.

Odores caput & pectus recreant.

Τούτοις ἀπαντήσας ὁ Μασσούριος ἔφη· ὦ δαιμόνιε ἀνδρῶν, οὐκ οἶδας ὅτι αἱ ἐν τῷ ἐγκεφάλῳ ἡμῶν αἰσθήσεις ὀδμαῖς ἡδείαις παρηγοροῦνται, προσέτι τε θεραπεύονται, καθὰ καὶ Ἄλεξίς φησιν ἐν Πονήρᾳ οὕτως·

— Ὑγιείας μέρος
μέγιστον, ὀσμὰς [5] ἐγκεφάλῳ χρηστὰς ποιεῖν.

1 An ὑπὸ τῆς τέχνης? 2 Forſ. ἀνεκτέος. 3 ἐν Κρησὶ vulgo: id eſt, *in Cretenſibus.* 4 καὶ μύρῳ edd. 5 ὀδμὰς edd.

paraverat] opes, illas arroganter ad luxuriam revocaſſet; mutato verbo, pro Ἀβροδίαιτος, adſcripſit Ῥαβδοδίαιτος ἀνήρ. Verum, quoniam tamen virtutem ſe colere ait, ferendus." Haec quidem Clearchus. Sophocles vero poëta, in dramate cui Iudicium titulus eſt, Venerem quidem, utpote Voluptatem Deam quamdam, unguento ſeſe perungentem inducit, & in ſpeculo faciem ſuam contemplantem: Minervam vero, quippe Prudentiam & Mentem, eamdemque Virtutem, oleo utentem & exercitationibus.

36. His occurrens Maſurius: O hominum optime! inquit, an neſcis, ſenſus noſtros in cerebro ſitos ſuavibus odoribus demulceri recrearique; quemadmodum etiam Alexis in Aerumnoſa ait:

— *Sanitatis pars*
haec maxima, odores cerebro bonos adferre.

καὶ ὁ ἀνδρειότατος δὲ, προσέτι δὲ καὶ πολεμικὸς [1] ποιητὴς, Ἀλκαῖος ἔφη·

Καδδ' ἐχεύσατο [2] μύρον ἀδὺ καττῶ στήθεος ἄμμι.

e καὶ ὁ σοφὸς δ' Ἀνακρέων λέγει που· [3]

Τί μὴν [4] πέτεαι, συρίγγων
κοιλότερα στήθεα
χρισάμενος μύρῳ;

τὰ στήθη παρακελευόμενος μυροῦν, ἐν οἷς ἐστιν ἡ καρδία, ὡς καὶ ταύτης δηλόνοτι παρηγορουμένης τοῖς εὐώδεσι. τοῦτο δ' ἔπραττον, οὐ μόνον τῆς εὐωδίας ἀπὸ τοῦ στήθους κατὰ Φύσιν ἀναφερομένης ἐπὶ τὴν ὄσφρησιν· ἀλλὰ καὶ διὰ τὸ νομίζειν, ἐν τῇ καρδίᾳ τὴν ψυχὴν f καθιδρύσθαι, ὡς Πραξαγόρας καὶ Φιλότιμος οἱ ἰατροὶ παραδεδώκασιν. καὶ Ὅμηρος δὲ φησίν·

Animae ſedes in corde.

Στῆθος δὲ πλήξας, κραδίην ἠνίπαπε μύθῳ.

καὶ, — κραδίη δέ οἱ ἔνδον ὑλάκτει.

1 πολεμικώτατος Dalec. 2 καδδεχεύατο ms. *Ep.* 3 Deeſt που edd. 4 Τί μὴ πετ. corr. Caſ. *Quidni advolas?*

Et fortiſſimus atque etiam bellicoſus poëta Alcaeus ait:

Suave unguentum mihi deſuper in pectus effudit.

& ſapiens Anacreon dicit alicubi:

Cur vero avolas, fiſtulis
magis-cava pectora
inuncta habens unguento?

Hortatur unguento inungi pectus, in quo ineſt cor; quod ipſum ſcilicet odoris ſuavitate recreari innuit. Faciebant hoc autem, non modo quoniam odores ſuâ naturâ a pectore ad nares adſcendunt, verum etiam quia putabant in corde ſitam eſſe animam, ut Praxagoras & Philotimus medici tradiderunt. Quin & Homerus ait:

Percutiens pectus, cor increpuit verbis.

&: *Cor autem ei intus latrabat.*

καὶ,

Ἕκτορι δ' αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσε.

ὁ δὴ καὶ σημεῖον φέρουσι τοῦ τὸ κυριώτερον τῆς ψυχῆς ἐνταῦθα κεῖσθαι· κατὰ γὰρ τὰς ἐν τοῖς φόβοις [1] γινομένας ἀγωνίας πάλλεσθαι τὴν καρδίαν ἐπιδηλότατα συμβαίνει. καὶ ὁ Ἀγαμέμνων δέ φησιν ὁ Ὁμηρικός· a

In timore cor palpitat.

Αἰνῶς γὰρ Δαναῶν πέρι δείδια, οὐδέ μοι ἦτορ
ἔμπεδον, ἀλλ' ἀλαλύκτημαι· κραδίη δέ μοι ἔξω
στηθέων ἐκθρώσκει, τρομέει δ' ὑπὸ φαίδιμα γυῖα.

καὶ ὁ Σοφοκλῆς δὲ τὰς ἀπολελυμένας τοῦ φόβου πεποίηκε λεγούσας·

Θυμῷ δ' οὐκ ἔτι [2] Φαιδρὰ [3] χορεύει
τάρβους θυγάτηρ.

Ἀναξανδρίδης δὲ τὸν ἀγωνιῶντα παράγει λέγοντα· b

— Ὦ πονηρὰ καρδία,
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος;

1 φήφοις edd. φόφοις ms. 2 οὔτι edd. cum ms. *A.* οὔτις ms. *Ep.* 3 Φαΐδρα corrigit Casaub.

item:

Hectori vero animus in pectore palpitabat.

Quo ipso indicio probant, principaliorem animae partem ibi residere: quoniam, quando timore contremiscunt homines, tum manifestissime cor soleat palpitare. Similiter Agamemnon Homericus ait:

Vehementer enim de Danais timeo: nec mihi cor firmum est, sed anxium metu errat: immo cor mihi extra pectus exsilit, & tremunt subtus nobilia membra.

Item Sophocles mulieres metu liberatas inducit dicentes:

Non amplius in animo luculenter subsultat
pavoris filia.

Anaxandrides vero hominem pavore trepidum inducit dicentem:

— *O cor improbum,*
quam tu malignum es solum in toto corpore!

ὀρχῇ [1] γὰρ εὐθὺς, ἣν [2] ἴδῃς δεδοικότα.

Πλάτων δὲ φησί· „τὸν τῶν ὅλων δημιουργὸν καὶ τὴν τοῦ πλευμόνος αὐτῇ φύσιν παραθεῖναι, πρῶτον μὲν μαλακὴν καὶ ἄναιμον, εἶτα σήραγγας ἔχουσαν οἷον σπόγγου κατατετρημένας· ἵν' ἐν τῇ τῶν δεινῶν προσδοκίᾳ πολλάκις ἀλλομένη, τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλακὸν ποιῆται." Ἀλλὰ μὴν καὶ τοὺς στεφάνους τοὺς περικειμένους τῷ στήθει ὑποθυμιάδας οἱ ποιηταὶ κεκλήκασιν, ἀπὸ τῆς τῶν ἀνθῶν ἀναθυμιάσεως, οὐκ ἀπὸ τοῦ τὴν ψυχὴν θυμὸν καλεῖσθαι, ὥς τινες ἀξιοῦσι.

XXXVII. Vocabuli μύρον origo & uſus.

Τῷ δὲ τοῦ μύρου ὀνόματι πρῶτος Ἀρχίλοχος κέχρηται, λέγων·

Οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφετο.

καὶ ἀλλαχοῦ δ' ἔφη·

— Ἐσμυρισμένας κόμας

καὶ στῆθος, ὡς ἂν καὶ γέρων ἠράσσατο.

1 ἀρχὴ vulgo. 2 ἂν vulgo.

nam ſubito ſaltas ubi timentem videris.

Plato vero ait: »Opificem univerſi adieciſſe cordi vicinum pulmonem, naturâ mollem & ſanguinis expertem, praeterea cavitatibus inſtar ſpongiae pervium; ut cor, cum in rerum adverſarum metu proſilit, vibrationes ſuas faciat adverſus ſubſtantiam cedentem & mollem.« Ceterum etiam corollas quibus pectus redimitur, *hypothymiades* vocarunt poëtae ab exhalatione (ἀπὸ τῆς ἀναθυμιάσεως) florum; non a vocabulo θυμὸς quatenus *animam* ſignificat, ut nonnulli exiſtimant.

37. *Unguenti* (τοῦ μύρου) nomine primus Archilochus uſus eſt, dicens:

Anus cum ſit, unguentis (μύροις) *ſeſe non perunxerit.*

Idemque alibi ait:

— *Unguentis delibutam comam*

& pectus, ut etiam ſenex accendi amore poſſit.

[1] Μύρρα γὰρ ἡ σμύρνα παρ' Αἰολεῦσι, ἐπειδὴ τὰ πολλὰ τῶν μύρων διὰ σμύρνης ἐσκευάζετο, καὶ ἥ γε στακτὴ καλουμένη διὰ μόνης ταύτης. Ὁ δὲ Ὅμηρος τὴν μὲν χρῆσιν οἶδε τῶν μύρων, ἔλαια δ' αὐτὰ καλεῖ d μετ' ἐπιθέτου·

— δροσόεντι [2] δ' ἔχριεν [3] ἐλαίῳ.

καὶ ἀλλαχοῦ δὲ λέγει τι „τεθυωμένον." καὶ ἡ Ἀφροδίτη δὲ [4] παρ' αὐτῷ τὸν Ἕκτορος νεκρὸν ῥοδόεντι ἔχρισεν [5] ἐλαίῳ ἀμβροσίῳ. καὶ τοῦτο μὲν ἐξ ἀνθέων. περὶ δὲ τοῦ ἐκ τῶν ἀρωμάτων σκευαζομένου, ἃ δὴ θυώματα ἐκάλουν, ἐπὶ τῆς Ἥρας λέγει·

Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα καθῆρεν, ἀλείψατο δὲ χρόα λευκὸν [6]
ἀμβροσίῳ, ἑανῷ, [7] τὸ ῥά οἱ τεθυωμένον ἦεν· e

1 Videtur hîc nonnihil intercidiſſe. 2 ῥοδόεντι ms. *Ep.* inter lin. & ſic ſcripſiſſe videtur Athenaeus. 3 δ' ἔχρισεν ms. *Ep.* δὲ χρῖεν ap. Hom. 4 καὶ ἡ Ἀφροδίτη τε edd. 5 χρῖσεν edd. ἔχριεν ms *Ep.* δ' ἔχρισεν ms. *A.* 6 λίπ' ἐλαίῳ apud Hom. 7 ἑδανῷ vulgo apud Hom.

[Dictum autem eſt *μύρον* a *myrrhâ*:] nam *σμύρναν* quam vocant Graeci, apud Aeoles *μύρρα* dicitur: quoniam pleraque unguenta cum myrrha conficiebantur, & illud quidem quod *ſtacte* vocatur, etiam ſolâ ex myrrhâ. Homerus vero uſum quidem unguentorum noverat, ſed *olea* illa vocat, adiecto epitheto:

— *Roſaceo perunxit oleo.*

Et alibi *odoratum* (τεθυωμένον) dicit oleum aliquod. Ac Venus quidem apud illum cadaver Hectoris roſaceo inunxit oleo ambroſio. Et hoc quidem e floribus. De illo vero quod ex aromatibus paratur, quae nimirum *odores* (θυώματα) vocabantur, de Iunone loquens, ait:

Ambroſiâ quidem primum a corpore amabili
ſordes omnes purgavit, unxitque ſe pingui oleo,
ambroſio, fragrante, quod habebat illa odoribus imbutum:

τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ,
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.

XXXVIII. Unguenta quibus locis praeſtantiſſima?

Γίνεται δὲ μύρα κάλλιστα κατὰ τόπους, ὡς Ἀπολλώνιός [1] φησιν ὁ Ἡροφίλιος ἐν τῷ περὶ Μύρων, γράφων οὕτως· „Ἶρις μὲν ἐν Ἤλιδι χρηστοτάτη, καὶ ἐν Κυζίκῳ· ῥόδινον δὲ κράτιστον ἐν Φασήλιδι, καὶ τὸ ἐκ Νέας δὲ πόλεως καὶ Καπύης· κρόκινον δ' ἐν Σόλοις τοῖς Κιλικίοις, καὶ ἐν Ῥόδῳ· νάρδινον δὲ, τὸ ἐν Ταρσῷ· οἰνάνθη δὲ ἀρίστη ἡ [2] Κυπρία καὶ Ἀδραμυττηνή·
f ἀμαράκινον δὲ [3] Κῶον καὶ μήλινον. [4] κύπρινον δὲ προκέκριται τὸ ἐν Αἰγύπτῳ· δευτερεῦον [5] δ' ἐστὶ τὸ Κυπριακὸν, καὶ τὸ ἐν Φοινίκῃ, καὶ ταύτης τὸ ἀπὸ Σιδῶνος. τὸ δὲ Παναθηναϊκὸν λεγόμενον, ἐν Ἀθήναις· τὸ δὲ Μετώπιον καὶ Μενδήσιον, κάλλιστα ἐν Αἰγύπτῳ σκευάζεται· σκευάζεται δὲ τὸ μετώπιον ἐξ ἐλαίου τοῦ ἀπὸ τῶν πικρῶν καρύων. Οἱ δὲ χορηγοῦντες, φησὶ,

1 Ἀπολλόδωρος corr. Salm. 2 Deſunt ἀρίστη & ἡ edd. ἀρίστη etiam deeſt ms. *A.* 3 Deeſt δὲ ms. *A.* 4 Μήλινον ed. Caſ. 5 δεύτερον edd.

cuius, ſi modo agitaretur in aeneâ Iovis domo,
cum terram tum coelum pervaderet halitus.

38. Sunt autem certa loca, quibus praeſtantiſſima conficiuntur unguenta, ut ait Apollonius Herophilius in libro de Unguentis, ubi ita ſcribit: »Iris quidem praeſtantiſſima in Elide, & Cyzici: roſaceum optimum Phaſelide, tum Neapoli & Capuae: crocinum in Solis Ciliciae, tum Rhodi: nardinum, Tarſi: oenanthe vero optima Cypria & Adramyttena: amaracinum vero, Coum, itemque melinum: cyprinum praefertur Aegyptium; ſecundum locum tenet Cypriacum & Phoenicium; poſt hoc, Sidonium. Panathenaicum vero quod dicitur, Athenis conficitur. Metopium & Mendeſium optime in Aegypto paratur: paratur autem metopium ex oleo amaris amygdalis expreſſo. Sed, qui haec ſuppeditant, inquit, &

καὶ ἡ ὕλη, καὶ οἱ τεχνῖται, τὸ χρηστότατον ποιοῦσι μύρον, ἀλλ' οὐχ οἱ τόποι. Ἔφεσος γέ τοι πρότερον, Φασὶ, τοῖς μύροις διέφερε, καὶ μάλιστα ἐν τῷ[1] Με- a γαλλίῳ·[2] νῦν δὲ οὔ. ἤκμασε[3] δὲ καὶ τὰ ἐν Ἀλεξανδρείᾳ, διὰ πλοῦτον, καὶ διὰ τὴν Ἀρσινόης καὶ Βερενίκης σπουδήν. ἐγίνετο δὲ καὶ ἐν Κυρήνῃ[4] ῥόδινον χρηστότατον, καθ' ὃν χρόνον ἔζη Βερενίκη ἡ μεγάλη.[5] Οἰνάνθινον δ' ἐν Ἀδραμυττίῳ πάλαι μὲν μέτριον· ὕστερον δὲ πρῶτον, διὰ Στρατονίκην τὴν Εὐμένους. ἡ δὲ Συρία τὸ παλαιὸν χρηστὰ πάντα παρείχετο, μάλιστα δὲ τὸ τήλινον· νῦν δ' οὔ. ἐν δὲ Περγάμῳ πρότερον μὲν ἐξοχῇ, νῦν δ' οὔ,[6] μυρεψοῦ τινος ἐκπονήσαντος, τὸ b παρ' οὐδενί πω γεγονὸς ἐσκευάσθη[7] λιβανώτινον μύρον. Μύρον δὲ χρηστὸν μύρῳ εὐτελεῖ ἐπιχεόμενον, ἐπι-

1 Forſ. μὲν τῷ. 2 Μεγαλείῳ edd. μεγαλίῳ ms. *Ep.* 3 ἤχμαζε edd. 4 ἐν Κορύνῃ vulgo. 5 Forſ. ἡ Μάγα. 6 ἐξοχὴ edd. neſcio an & ms. *A.* Forſ. ἐξοχα, ἐξόχως, aut ἔξοχον. Deeſt vox *Epit.* Si teneas ἐξοχὴ, dein cum Caſaub. ſupplebis, οὗ μυρεψοῦ τινος. 7 τὸ λιβανωτ. edd.

materia, & artifices, praeſtantiſſimum faciunt unguentum; non locus. Nam & Epheſus olim, ut aiunt, unguentorum nomine clara fuerat, & maxime ob megallium: nunc vero non amplius. Famam etiam obtinuerant Alexandriae unguenta, propter opulentiam urbis, & propter Arſinoës & Berenices ſtudium: itemque Cyrenae optimum conficiebatur roſaceum, quo tempore vixit magna Berenice. [*ſive*, Berenice Magae filia.] Oenanthinum Adramyttii olim quidem mediocre; deinde vero primarium, propter Stratonicem Eumenis [uxorem.] Syria vero olim praeſtantia omnia praebuit, maxime vero telinum; (ex foeno Graeco:) nunc vero non item. Pergami prius eminenter, (nunc vero minime) unguentario quodam in hoc elaborante, unguentum e thure parabatur, quod nemo ante repertus erat qui conficeret. Unguentum vero praeſtans viliori adfu-

πολῆς μένει. μέλι δὲ χρηστὸν χείρονι ἐπιχεόμενον, εἰς τὸ κάτω βιάζεται· λαμβάνει γὰρ αὐτοῦ καθύπερθεν τὸ ἧττον."

XXXIX. Unguentum Aegyptiacum.

Τοῦ δ' Αἰγυπτίου μύρου μνημονεύων Ἀχαιὸς ἐν Ἄθλοις φησίν·

Ἰσάργυρόν τ' ἐς [1] χεῖρα Κυπρίου λίθου
δώσουσι κόσμον, χριμάτων [2] τ' Αἰγυπτίων.

„Μή ποτε, φησὶν ὁ Δίδυμος, τὴν καλουμένην στακτὴν λέγει, διὰ τὴν σμύρναν, ἣν εἰς Αἴγυπτον κατα-γομένην κομίζεσθαι πρὸς τοὺς Ἕλληνας." Ἱκέσιος δ' ἐν δευτέρῳ Περὶ Ὕλης· „Τῶν μύρων, φησὶν, ἃ μέν ἐστι [3] χρίματα, ἃ δ' ἀλείμματα. καὶ ῥόδινον μὲν πρὸς πότον [4] ἐπιτήδειον, ἔτι δὲ μύρσινον, μήλινον· τοῦτο δ' ἐστὶ καὶ εὐστόμαχον, καὶ ληθαργικοῖς χρήσιμον. τὸ δ' οἰνάνθινον, [5] εὐστόμαχον ὂν, καὶ τὴν διάνοιαν ἀπα-

Vires unguentorum.

1 εἰς ἀργυροῦντες edd. εἰς ἀργυροῦν τις Ms. 2 χριμμάτων vulgo. 3 τὰ μέν ἐστι edd. 4 πρὸς τὸν ἐπιτηδ. vulgo. 5 τὸ οἰνάνθινον edd.

ſum, in ſuperficie manet: mel autem praeſtans deteriori adfuſum, fundum petit; nam ſupra ſe recipit id quod deterius eſt."

39. Aegyptii unguenti meminit Achaeus in Certaminibus: (*ſive*, Certaminum-praemiis:)

Pretioſumque dabunt e Cyprio lapide
ornatum manus, & Aegyptia unguenta.

»Fortaſſe (ait Didymus) *ſtacten* quae vocatur dixit poëta; propter myrrham, quae (ut ait idem) in Aegyptum delata, inde ad Graecos adfertur." Hiceſius vero, ſecundo libro de Materia: »Unguentorum, ait, alia illinuntur, alia perfunduntur. Et roſaceum quidem in compotationibus utile; item myrteum, & melinum: (ex cotoneis malis:) eſt vero hoc ventriculo commodum, & lethargicis utile. Oenanthinum vero ſimul ventriculo commodum eſt, & mentem illaeſam minimeque impeditam

ραπόδιστον Φυλάσσει. καὶ τὸ σαμψύχινον [1] δὲ καὶ ἐρπύλλινον ἐπιτήδεια πρὸς πότον, καὶ ῥόκινον τὸ χωρὶς σμύρνης πολλῆς. καὶ ἡ στακτὴ δ' ἐπιτήδειος πρὸς πό- d
τον, ἔτι δὲ νάρδος. τὸ δὲ τήλινον καὶ γλυκύ ἐστι καὶ ἁπαλόν. τὸ δὲ λευκόϊνον [2] καὶ εὐῶδες, καὶ σΦόδρα
Theophrastus de Odoribus. πεπτικόν." Θεόφραστος δὲ, [3] ἐν τῷ Περὶ Ὀδμῶν, συντίθεσθαί Φησιν μύρα, ἀπ' ἀνθέων μὲν, ῥόδινον καὶ λευκόϊνον [4] καὶ σούσινον, καὶ γὰρ τοῦτο ἐκ τῶν κρίνων· ἔτι δὲ τὸ σισύμβρινον, καὶ ἐρπύλλινον, καὶ ἡ κύπρος, καὶ τὸ ῥόκινον· [5] βέλτιστον δ' ἐν Αἰγίνῃ καὶ Κιλικίᾳ. ἀπὸ δὲ Φύλλων, τὸ μύρρινον, [6] καὶ τὸ οἰνάνθινον· αὕτη [7] δ' ἐν Κύπρῳ Φύεται ὀρεινὴ καὶ πολύγονος· [8] ἐν δὲ Ἑλλάδι [9] οὐ γίνεται, διὰ τὸ ἄοσμον. διὰ δὲ ῥι- e
ζῶν, τό τ' ἴρινον, καὶ τὸ νάρδινον καὶ τὸ ἀμαράκινον ἐκ τοῦ κόστου."

1 σαμψούχινον ms. *A*. 2 λευκόϊον h. l. edd. 3 Deeſt δὲ edd. 4 λευκόϊον apud Theophr. 5 Vulgo, ἐν δὲ Κύπρῳ καὶ τὸ κρίνον. 6 Rectius μύρτινον apud Theophr. 7 αὐτὴ edd. 8 πολύοδμος apud Theophr. 9 ἀπὸ δὲ τῆς ἐν τῇ Ἑλλ. apud eundem.

praeſtat. Iam & ſampſuchinum & ſerpyllinum ad compotationes idonea; item crocinum, ſi absque multa myrrha paratum ſit. Stacte item compotationibus idonea, & nardus. Telinum vero, dulce etiam eſt & molle. Leucoinum, (ex viola alba) & fragrans eſt, & concoctionem valide adiuvat. « Theophraſtus, in libro de Odoribus, confici unguenta, ait, alia e floribus; ut roſaceum, & leucoinum, & ſuſinum; nam & hoc e floribus fit, nempe liliorum: adhaec ſiſymbrinum, & ſerpyllinum, & cyprus, & crocinum, quod optimum eſt Aeginae & in Cilicia. Alia e foliis: ut myrteum, & oenanthinum: naſcitur autem oenanthe in Cypri montanis copioſa: [*ſive*, fragranti admodum odore:] in Graecia vero ex oenanthe non fit unguentum, quia ibi inodora eſt. Alia ex radicibus; ut irinum, & nardinum & amaracinum ex coſto. «

XL. Veteres unguentorum ſtudioſi.

Ὅτι δὲ διὰ σπουδῆς ἦν τοῖς παλαιοτέροις ἡ τῶν μύρων χρῆσις, [1] δῆλον ἐκ τοῦ καὶ ἐπίστασθαι, ποῖόν τι ἑκάστῳ τῶν μελῶν ἡμῶν ἐστιν ἐπιτήδειον. Ἀντιφάνης γοῦν ἐν Θορικίοις [2] ἢ Διορύττοντι φησί·

— Α. Λοῦται δ' ἀληθῶς· [3] Β. Ἀλλὰ τί;
Α. ἐκ χρυσοκολλήτου δὲ κάλπιδος μύρῳ,
Αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη, [4]
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
f σισυμβρίνῳ [5] δὲ τὸν ἕτερον βραχίονα,
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

καὶ Κηφισόδωρος, ἐν Τροφωνίῳ·

Α. Ἔπειτ' ἀλείφεσθαι πρίω [6] τὸ σῶμά μοι
μύρον [7] ἴρινον καὶ ῥόδινον· ἄγαμαι, Ξανθία· [8]

1 χρίσις ms. *A*. 2 ἐν τοῖς Θορικ. edd. 3 Corrupte vulgo h. l. Λοῦτ' αἰδὺ ἀληθῶς. 4 Alibi καὶ τὰς χέρας. 5 σισυμβρίῳ edd. 6 πριῶ vulgo. Alibi vero rectius poſt τὸ σῶμά μοι reiicitur id verbum. 7 μύρον τ' ἴρινον vulgo. 8 ξανθίου vulgo h. l.

40. Multo autem ſtudio veteres in uſum unguentorum incubuiſſe, ex eo adparet quod etiam noverint cuinam ex quoque noſtrorum membrorum maxime commodum ſit quodque unguentorum genus. Antiphanes ſane in Thoriciis vel Perfoſſore ait:

— A. *Lavatur autem vere:* — B. *Quid tum?*
A. *nempe ex pelvi inauratâ, unguento*
Aegyptio quidem pedes & crura,
palmeo autem malas & mamillas,
ſiſymbrino vero alterum [*ſive*, utrumque] *brachium,*
amaracino ſupercilia & comam,
ſerpyllino genu & cervicem.

Et Cephiſodorus, in Trophonio:

A. Deinde, quo corpus ungam, eme mihi
unguentum irinum & roſaceum: amabo te, Xanthia!

καὶ τοῖς ποσὶν πρίω χωρίς μοι βάκχαριν. [1]

Β. Ὦ λακκόπρωκτε, βάκχαριν τοῖς σοῖς ποσὶν
ἐγὼ πρίωμαι; λαικάτομ' ἄρα [2] βάκκαριν;

Ἀναξανδρίδης, Πρωτεσιλάῳ·

Μύρον τε [3] παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο
ἐχθὲς [4] Μελανώπῳ, πολυτελοῦς, Αἰγυπτίου· a
ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

Μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ, καὶ Ἡδυχάρει. Ἀντιφάνης δ' ἐν Ἀντείᾳ·

Πρὸς τῷ μυροπώλῃ γενόμενον κατελίμπανον
αὐτὸν περὶ μύρον. [5] μέλλει τε συνθεὶς σοι φέρειν
τὰ κιννάμωμα [6] ταῦτα καὶ τὰ νάρδινα.

XLI. Παρὰ πολλοῖς δὲ τῶν κωμῳδιοποιῶν ὀνομάζεται

1 βάκχαριν alibi. 2 Vulgo λαικὰς ὁμαραβάκχαριν. 3 δὲ edd. 4 χθὲς vulgo. 5 Claudicat verſus. Πέρωνι coni. Cant. Forſan vs. 1. Πρὸς τῷ Περῶνι, & vs. 2. περὶ τὸ μυρὸν, absque αὐτόν. 6 Forſ. κινναμώμινα.

& pedibus ſigillatim eme mihi baccharin.

B. *O perfoſſe! baccharin tuis vero pedibus ego emam? ita-ne proſtituam baccarin?*

Anaxandrides, Proteſilao:

Unguentumque a Perone, quod vendidit ille heri Melanopo, pretioſum, Aegyptium: quo is nunc inungit pedes Calliſtrati.

Unguentarii huius, Peronis, Theopompus etiam meminit in Admeto, & Hedychari. Antiphanes vero in Antea ait:

Apud Peronem reliqui eum, agentem de unguento. Et de pretio (cum illo) *pactus adlaturus eſt tibi cinnamominum illud & nardinum.*

41. Apud multos autem Comicorum nominatur un-

τι μύρον Βάκκαρις· οὗ μνημονεύει καὶ Ἵππώναξ [1] διὰ τούτων· Baccaris, unguentum.

b — Βακκάρει [2] δὲ τὰς ῥῖνας
ἤλειφον· ἔστι δ' οἵη περ [3] κρόκος. —

Ἀχαιὸς δ' ἐν Αἴθωνι Σατυρικῷ·

[Καὶ] [4] βακκάρει χρισθέντα, καὶ ψυκτηρίοις
πτεροῖς ἀναστήσαντα προσθίαν [5] τρίχα.

Ἰων, Ὀμφάλῃ·

— Βάκκαριν [6] δὲ, καὶ μύρα,
καὶ Σαρδιανὸν κόσμον εἰδέναι χροὸς,
ἄμεινον, ἢ τὸν Πέλοπος ἐν νήσῳ τρόπον. [7]

Ἐν τούτοις Σαρδιανὸν κόσμον εἴρηκε τὸ μύρον, ἐπεὶ διαβόητοι ἐπὶ ἡδυπαθείᾳ οἱ Λυδοί· καὶ τὸ παρ' Ἀ-
c νακρέοντι „λυδοπαθὴς" ἀκούουσιν ἀντὶ τοῦ ἡδυπαθής. Λυδοπαθὴς, voluptarius.
Μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς. Μάγνης

1 Ἱππῶναξ ms. *A*. 2 Βάκχαρι ms. *Ep.* inter lineas. 3 ἐσθ' οἵηπερ edd. cum ms. *A*. 4 Abeſt Καὶ vulgo. 5 πρὸς θεῖαν vulgo. 6 Βάκχαρις vulgo. 7 τόπον corr. Cant. & Caſ.

guentum quoddam *baccaris*. Cuius etiam Hipponax meminit his verbis:

— *Baccari vero nares*
inunxerunt: (ſive, *inunxi*:) *eſt illa* (odore) *ſimilis croco*.

Achaeus, in Aethone dramate Satyrico:

Baccari unctum, & refrigerantibus
pinnis erigentem anteriores crines.

Ion, in Omphale:

— *Baccarin vero & unguenta*
& Sardiana ornamenta noſſe cutis,
ſatius eſt, quam Peloponneſi mores.

In his *Sardiana ornamenta*, *unguenta* dixit; quandoquidem luxu & deliciis famoſa eſt Lydia gens: quare etiam illud apud Anacreontem λυδοπαθὴς intelligunt pro *homine voluptario* poſitum. *Baccaridis* Sophocles etiam memi-

δ' ἐν Λυδοῖς·

Λούσαντα χρὴ καὶ βακκάριδι κεχριμένον.

καὶ μή ποτε οὐκ ἔστι μύρον ἡ βάκκαρις; Αἰσχύλος γὰρ [1] ἐν Ἀμυμώνῃ ἀντιδιαστέλλων φησί·

Κἀγώ γε τὰς σὰς βακκάρεις τε καὶ μύρα.

καὶ Σιμωνίδης·

Κ' ἠλειφόμην μύροισι καὶ θυώμασι
καὶ βακκάρει. —

Ἀριστοφάνης δ' ἐν Θεσμοφοριαζούσαις·

Ὦ Ζεῦ πολυτίμηθ', οἷον ἔπνευσεν ὁ [2] μιαρὸς d
φάσκωλος εὐθὺς λυόμενός μοι [3] τοῦ μύρου
καὶ βακκάριδος.

XLII. Βρενθίου [4] δὲ μύρου μνημονεύει Φερεκράτης ἐν Λήμνοις, οὕτως·

Brenthium, unguentum.

Ἔστην δὲ, κἀκέλευον ἐγχεάσθαι νῷν
μύρον βρένθιον, ἵνα τοῖς ἰοῦσιν ἐγχέῃ.

1 δὲ edd. 2 ἔπνευσ' ὁ vulgo. 3 λουόμενός μοι edd. 4 Βρενθείου ms. *Ep.*

nit. Magnes vero in Lydis ait:

Lavatum oportet & baccharidi unctum.

Fortaſſis vero non unguentum eſt baccharis. Aeſchylus enim in Amymone distinguit, dicens:

Equidem tuas & baccares & unguenta.

& Simonides:

Et ungebar unguentis & odoribus
& baccari. —

Ariſtophanes, in Theſmophoriazuſis:

O venerande Iupiter! ut oboluit perditus
ille ſacculus, ſimulac ſolutus eſt, unguentum mihi
& baccarin!

42. *Brenthii* unguenti meminit Pherecrates in Nugis, his verbis:

Subſtiti vero, & iuſſi infundi nobis duobus
unguentum brenthium, ut (& aliis) *abeuntibus infunderet.*

Βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι, λέγων οὕτως· Regium.

Γλυκύτατον δ' ὤζε [1] βασιλείου μύρου.

e Σαπφὼ δ' ὁμοῦ μέμνηται τοῦ τε βασιλείου καὶ τοῦ βρενθείου,[2] λέγουσα οὕτως· „βρενθείῳ βασιληΐῳ.“ [3]

Ψάγδης [4] Ἀριστοφάνης, ἐν Δαιταλεῦσι· Psagda.

Φέρ' ἴδω τί σοι δῶ τῶν μύρων. ψάγδαν φιλεῖς;

Εὔπολις δ' ἐν Μαρικᾷ· [5]

— ψάγδαν ἐρυγγάνοντα.

Εὔβουλος δ' ἐν Στεφανοπώλισιν·

Αἰγυπτίῳ ψάγδανι τρὶς [6] λελουμένη.

Πολέμων δ', ἐν τοῖς Πρὸς Ἀδαῖον, παρὰ Ἠλείοις φησὶ μύρον τι πλαγγόνιον καλεῖσθαι, εὑρεθὲν ὑπό τινος Πλάγγονος. [7] ὁμοίως ἱστορεῖ καὶ Σωσίβιος ἐν Plangonium.

1 ὦ Ζεῦ, vulgo. 2 βρενθίου edd. 3 βρενθίῳ βασιλείῳ edd. 4 Vulgo *post* Ψάγδης *interpungunt* orationem. 5 ἐν μάρι καὶ vulgo h. l. 6 ψάγδαν ἴτρις edd. 7 Πλαγγόνος ms. *Ep.*

Regii vero *unguenti* Crates meminit, in Vicinis, dicens:

Suaviſſime redoluit (ille *ſive* illa) *regium unguentum.*

Sappho vero ſimul nominat & regium & brentheum, ita dicens:

Brentheio regio.

Pſagdae meminit Ariſtophanes in Convivantibus:

Age, videam quod tibi dem unguentum: pſagdam – ne amas?

Eupolis vero, in Maricâ:

Qui pſagdam eructat.

Eubulus, in Mulieribus-corollas-vendentibus:

Aegyptio pſagdane ter lota.

Polemon vero in libris adverſus Adaeum, apud Eleos, ait, unguentum aliquod vocari *plangonium*, a Plangone quodam (*ſive*, quadam) inventum. Eadem tradit Soſi-

Megallium. Ὁμοιότησιν. ὡς καὶ τὸ μεγάλλιον·[1] ὠνομάσθη γὰρ καὶ τοῦτο ἀπὸ Μεγάλλου[2] τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν[3] φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμισσεῦσι, καὶ Φερεκράτης ἐν Πετάλῃ. Στράττις τ' ἐν Μηδείᾳ,[4] οὕτως·

— Καὶ λέγ', ὅτι μύρον φέρεις αὐτῇ
τοιοῦτον, οἷον οὐ Μέγαλλος πώποτε
ἥψησεν, οὐδὲ Δινίας[5] Αἰγύπτιος
οὔτ' εἶδεν, οὔτ' ἐκτήσατο. —

Τοῦ Μεγαλλίου δὲ μύρου μνημονεύει καὶ Ἀμφὶς ἐν α Ὀδυσσεῖ, διὰ τούτων·

Α. Ἐρίοισι τοὺς τοίχους κύκλῳ Μιλησίοις,
ἔπειτ' ἀλείφειν τῷ μεγαλλίῳ μύρῳ,
καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα.
Β. Ἀκήκοας σὺ, δέσποτα, δὴ πώποτε

1 μεγαλεῖον h. l. ms. *A.* cum edd. 2 Μεγάλου ms. *Ep.* 3 Temere Ἀθωναίων ed. Casauboni. 4 Στράττις ἐν Μήδᾳ vulgo. 5 Rectius fuerit Δεινίας.

bius in Similitudinibus, adiiciens, similem esse rationem *megallii*: nam & hoc unguentum nomen invenit a Megallo Siculo: alii vero Athenienſem aiunt fuisse Megallum. Meminit illius Aristophanes in Telmissenſibus, & Pherecrates in Petalâ. Strattis vero, in Medeâ, sic ait:

— *Et dic, te illi unguentum adferre*
tale, quale nec Megallus umquam
coxit, nec Dinias Aegyptius
aut vidit aut habuit. —

Megallii unguenti meminit etiam Amphis in Ulysse, ubi ait:

A. *Lanis parietes circumcirca Mileſiis* (exornate:)
deinde ungite megallio unguento,
& regiam adolete mindacem.
B. *Umquam-ne, here, tu nominari audiviſti*

τὸ θυμίαμα τοῦτο; —
Ἀναξανδρίδης, Τηρεῖ·
Ἀλλ' οἵα νύμφη βασιλὶς [1] ὠνομασμένη,
μύροις μεγαλλίοισι σῶμ' ἀλείφεται.

Ναρδίνου δὲ μύρου μέμνηται Μένανδρος ἐν Κεκρυφάλῳ, οὕτως· Nardinum.

b „Α. Ἡδὺ τὸ μύρον, παιδίον, ἡδύ. Β. Πῶς γὰρ οὔ; νάρδινον."

Τὸ δὲ χρίσασθαι τῷ τοιούτῳ ἀλείμματι, μυρίσασθαι εἴρηκεν Ἀλκαῖος ἐν Παλαίστραις, διὰ τούτων· XLIII. Μυρίσασθαι.

μυρίσασα [2] συγκατέκλεισεν ἀνθ' αὐτῆς [3] λάθρα.

Μυρώμασιν μέντοι, οὐ μυρίσμασιν, ἔλεγεν Ἀριστοφάνης ἐν Ἐκκλησιαζούσαις·

Ἤ τις μεμύρισμαι τὴν κεφαλὴν μυρώμασι.

1 Forſ. Βασιλὶς, nomen propr. 2 μυρίσας vulgo. 3 ἀνθ' αὐτῆς Ms.

hunc ſuffitum? —
Anaxandrides, Tereo:
Sed, velut ſponſa regina nominata,
(ſive: *Sed velut ſponſa famoſa Baſilis*)
unguentis megalliis corpus inungit.

Nardini vero unguenti Menander meminit in Cecryphalo, ubi ait:

A. *Suave eſt unguentum, puella, ſuave.* B. *Quidni? Nardinum eſt.*

43. Talibus autem unguentis inungi, μυρίσασθαι dixit Alcaeus in Palaeſtris, ubi ait:

Haec poſtquam (illam) *inunxit, clam incluſit eam pro ſe.*

Ariſtophanes tamen μυρώμασι dixit, non μυρίσμασι, in Concionatricibus:

Quae unguentis (μυρώμασι) *caput delibutum habeo.* (μεμύρισμαι.)

Sagdas. Τῆς δὲ λεγομένης σάγδας (μύρον δ' ἐστὶ καὶ τοῦτο) Ἐπίλυκος ἐν Κωραλίσκῳ·[1] c

— Βακκαρίς τε καὶ σάγδας ὁμοῦ.

καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσι· καὶ ἐν Μαρικᾷ[2] Εὔπολις „σάγδαν ἐρυγγάνοντα" λέγων. ὅπερ ὁ Θυατειρηνὸς Νίκανδρος ἐπὶ τοῦ ἄγαν χλιδῶντος εἰρῆσθαι ἀκούει. Θεόδωρος δὲ θυμίαμά τί φησιν αὐτὸ εἶναι.

XLIV. Unguentorum carum pretium.

Παμπόλλου δ' ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη· καὶ, ὡς μὲν Ἵππαρχός φησιν ἐν Πανυχίδι, πέντε μνῶν· ὡς δὲ Μένανδρος ἐν Μισογύνῃ, δέκα. Ἀντιφάνης δ', ἐν Φρεάρρῳ, στακτῆς τοῦ μύρου d μνημονεύων, φησί·

Στακτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ' οὐδαμῶς.

Οὐ μόνον δὲ τὸ τῶν Σαρδιανῶν γένος φιλόμυρον ἦν, ὡς Ἀλεξίς φησιν ἐν Ἐκπωματοποιῷ·

1 Κωραχίσκῳ edd. 2 ἐν Μαρίσκαι edd.

Quae vero *Sagda* (vel *Sagdas*) vocatur, (eſt autem & hoc unguentum quoddam) eius Epilycus meminit in Coraliſco:

— *Et baccaris & ſagdas ſimul.*

Item Ariſtophanes in Convivantibus; & in Maricâ Eupolis, dicens, *qui ſagdam eructat.* Quod Nicander Thyatirenus in hominem deliciis nimis indulgentem dictum intelligit. Theodorus vero ait, eſſe ſagdam ſuffimenti genus quoddam.

44. Ingenti vero pretio vendebatur Athenis unguenti cotula: & quidem, ut Hipparchus in Pervigilio ait, *quinque minis:* ut Menander vero in Miſogyne, *decem.* Antiphanes autem, in Phrearro, ubi ſtactes unguenti meminit, ait:

Stacte duarum minarum pretio minime mihi placet.

Nec vero Sardiani ſolum unguentorum erant ſtudioſi; de quibus Alexis ait in Poculorum-opifice:

Ἀεὶ φιλόμυρον πᾶν τὸ Σαρδέων [1] γένος.

ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀθηναῖοι, οἱ πάντων τῶν καλλίστων εἰσηγηταὶ τῷ τῶν ἀνθρώπων βίῳ γενόμενοι, παρ' οἷς ἀνυπερβλήτου τιμῆς, ὡς προείρηται, τῶν μύρων ὑπαρχούσης, οὐκ ἀπείχοντο τῆς χρήσεως· [2] ὥσπερ οὐδὲ ἡμεῖς νῦν οὕτω πολυτίμων καὶ καλλίστων ὑπαρχόντων, ὡς λῆρον εἶναι τὰ ἐν τῷ Εἰσοικιζομένῳ Ἀλέξιδος ταυτί· Athenienses, unguentorum studiosi.

Οὐ γὰρ ἐμυρίζετ' ἐξ ἀλαβάστου, [3] πρᾶγμά τι
γινόμενον αἰεὶ, [4] Κρονικόν· ἀλλὰ τέτταρας
περιστερὰς ἀφῆκεν ἀποβεβαμμένας
εἰς οὐχὶ ταὐτὸν, μὰ Δία, τὴν αὐτὴν μύρον,
ἰδίῳ δ' ἑκάστην. πετόμεναι δ' αὗται κύκλῳ
ἔρραινον ἡμῶν ἱμάτια, [5] τὰ στρώματα.
μή μοι φθονήσητ', [6] ἄνδρες Ἑλλήνων ἄκροι,

1 Rectius fuerit Σάρδεων. 2 χρίσεως edd. cum ms. *A*. 3 ἀλαβάστρου edd. 4 ἀεὶ vulgo. 5 ϑοιμάτια edd. 6 φθονήσατ' edd.

Semper unguentis ſtudet omne Sardenſium (ſive, *Sardium*) *genus.*

Verum etiam ipſi Athenienſes, qui praeclariſſima omnia inſtituta in vitam hominum introduxerunt, quamvis apud illos in immani pretio (ut modo dictum) unguenta eſſent, tamen eorum uſu non abstinebant; quemadmodum nec nos nunc his abstinemus, quae ita pretioſa & praeſtantiſſima ſunt, ut prae eis nugae ſint iſta apud Alexidem in Εἰσοικιζομένῳ; (Novo-colono,) ubi ait:

Nec enim ex alabaſtro ungebatur ille; quae res
communis eſt & Saturnia: (pervetuſta:) *ſed quatuor*
columbas dimittebat intinctas
non eodem ſingulas, per Iovem, unguento,
verum quasque diverſo. Hae volantes circum
irrorabant noſtras veſtes & ſtragula.
Ne mihi invideatis, Graecorum viri principes;

ἠλειΦόμην θυόμενος ἰρίνῳ [1] μύρῳ.

XLV. Caput praesertim inungendum.

Πρὸς θεῶν, φίλοι, ποία [2] ἡδονὴ, μᾶλλον δ' οὖν σαλακωνία, [3] θαιμάτια μολύνεσθαι; ἐξὸν ταῖς χερσὶν, ὥσπερ ἡμεῖς νῦν ποιοῦμεν, ἀρυσαμένους ἀλείΦεσθαι πᾶν τὸ σῶμα καὶ μάλιστα τὴν κεΦαλήν. Φησὶ γὰρ ὁ Μυρωνίδης [4] ἐν τῷ Περὶ Μύρων καὶ ΣτεΦάνων· „τὴν ἀΦορμὴν τοῦ τὴν κεΦαλὴν ἐν τοῖς πότοις λιπαίνειν ἐντεῦθεν γενέσθαι· τοῖς αὐχμῶσι γὰρ τὰς κε- a Φαλὰςεἰς τὸ μετέωρον ἕλκεσθαι τὸ λαμβανόμενον· καὶ διὰ τοῦτο τῶν πυρετῶν διακαιόντων τὰ σώματα, τέγγουσι τὴν κεΦαλὴν ἐπιβρέγμασι, ἵνα μὴ πρὸς τὸ ξηρὸν, ταύτῃ δὲ καὶ πολύκενον, ὁρμὴν τὰ παρακείμενα λαμβάνῃ. τοῦτο δὴ λογισάμενοι καὶ ἐπὶ τῶν πότων, τὴν εἰς μετέωρον τῶν οἴνων Φορὰν ὑποπτεύσαντες, ἐπεσπάσθησαν κεΦαλὴν λιπαίνειν, ὡς ἐλάσσο-

1 ἠρίνῳ vulgo. 2 φιλοίπια edd. 3 μᾶλλον δ' οὖσα Λακωνία vulgo. 4 Φιλωνίδης puto legendum.

ſacrificans ungebar irino unguento.

45. Per Deos, amici, quaenam voluptas, immo vero quae inepta profuſio! inquinari veſtimenta; cum liceat, quemadmodum nunc nos facimus, manibus hauſto unguento totum corpus inungere, maxime vero caput. Ait enim Myronides [*immo*, Philonides] in libro De Unguentis & Coronis: »Morem in compotationibus caput ungendi tali ex cauſſa ortum cepiſſe. Scilicet, quibus caput ſiccum ſit, eis in altum ferri humores ex capto cibo potuque: quapropter, quum febribus exardeſcunt corpora, irrigationibus perfundunt caput; ne verſus illam partem, quae ſicca eſt, atque adeo etiam multum vacui habet, ea quae vicina ſunt tendant. Hoc ipſum etiam in compotationibus reputantes, cum metuerent vini vim in altum tendentem, eo inducti ſunt ut caput in-

νος βίας γενησομένης, εἰ ταύτην προτέγξαιεν. προστι-
b θεὶς δ' ὁ βίος ἀεὶ τοῖς χρειώδεσι [1] καὶ τῶν εἰς ἀπόλαυσιν καὶ τρυφὴν ἀγόντων, ἐπὶ τὴν τῶν μύρων χρῆσιν ὥρμησε." Χρηστέον οὖν, ὦ Κύνουλκε Θεόδωρε, μύροις παρὰ πότον τοῖς ἐλάχιστα καροῦν δυναμένοις, τοῖς στύφουσι δὲ καὶ ψύχουσιν ἐπ' ὀλίγον. Ζητεῖ δ' ὁ πολυμαθέστατος Ἀριστοτέλης ἐν τοῖς Φυσικοῖς Προβλήμασι· „διὰ τί οἱ μυριζόμενοι πολιώτεροι; ἢ ὅτι τὸ μύρον διὰ τὰ ἀρώματα ξηραντικόν ἐστι, διὸ καὶ αὐχμηροὶ οἱ μυριζόμενοι; [2] ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴ τε γὰρ [3] αὔανσις τριχὸς ἡ πολιὰ, εἴ τ' ἔνδεια θερ-
c μοῦ, ἡ ξηρότης μαραίνει. διὸ καὶ τὰ πιλία θᾶττον ποιεῖ πολιούς· ἐκπίνεται γὰρ ἡ οἰκεία τῆς τριχὸς ὑγρότης."

Cur magis caneſcant qui unguento utuntur.

1 χριώδεσι ms. *A.* χρεώδεσι ms. *Ep.* 2 διὸ καὶ αὐχμηρόν. edd. & ignorant οἱ μυριζόμενοι. 3 γὰρ temere omiſſum in ed. Caſ. 2. & 3.

ungerent; minorem fore vim rati, ſi illud prius madefeciſſent. Quum vero rebus utilibus & neceſſariis ſemper aliquid eorum adiicere ſoleant homines, quae ad voluptatem & delicias pertinent, ſic deinde ad odoratorum unguentorum uſum devenerunt.« Utendum eſt igitur, Cynulce Theodore, in compotatione unguentis caput minime gravantibus, ſed leniter adſtringentibus & refrigerantibus. Quaerit autem omni doctrinâ inſtructiſſimus Ariſtoteles in Problematibus Phyſicis: »*Cur magis caneſcant qui unguento caput inungunt?* An, quoniam unguentum propter aromata deſiccat, ideo etiam qui unguentis utuntur ſicciores fiunt? Siccitas autem magis facit canos. Nam ſive ariditas quaedam capilli ſit canities, ſive defectus caloris, ſiccitate certe omnia marceſcunt. Quare etiam pileorum geſtatio citius canos facit: quia abſumitur proprius humor alendis capillis deſtinatus.«

XLVI.

Unguentum Babylonium.

Ἥδιστον δε, ἄνδρες φίλοι, ἀναγιγνώσκων τὴν ὀγδόην καὶ εἰκοστὴν τῶν Ποσειδωνίου Ἱστοριῶν, περὶ μύρων τι λεγόμενον ἐτήρησα, οὐκ ἀλλότριον ἡμῶν τοῦ συμποσίου. φησὶ γὰρ ὁ φιλόσοφος· „Ἐν Συρίᾳ ἐν τοῖς βασιλικοῖς συμποσίοις, ὅταν τοῖς εὐωχουμένοις δοθῶσιν οἱ στέφανοι, εἰσίασί τινες μύρων [1] Βαβυλωνίων ἔχοντες ἀσκίδια, καὶ πόρρωθεν ἐκ τούτων, περιπορευόμενοι, τοὺς μὲν στεφάνους τῶν κατακειμένων δροσίζουσι τοῖς μύροις, ἄλλο μηδὲν ἔξωθεν παραῤῥαί- d
νοντες." [2] Ἐπεὶ δ' ἐνταῦθα τοῦ λόγου ἐσμὲν, συμβα-

Carmen in Amorem, proverb.

λοῦμαί τι „μέλος ὑμῖν εἰς Ἔρωτα" κατὰ τὸν Κυθήριον ποιητήν· ὅτι Ἰανὸς, [3] ὁ παρ' ἡμῖν θεὸς, ὃν καὶ πατέρα προσαγορεύομεν, πρῶτος εὗρε στέφανον. ἱστορεῖ δὲ τοῦτο Δράκων ὁ Κερκυραῖος ἐν τῷ Περὶ Λίθων, [4] γράφων οὕτως· „Ἰανὸν δὲ λόγος ἔχει διπρόσωπον γεγονέναι, τὸ μὲν ὀπίσω, τὸ δ' ἔμπροσθεν ἔχοντα πρό-

1 *μύρῳ* edd. cum ms. *A*. 2 *παραραίνοντες* edd. 3 Ἴανος ms. *Ep.* antepenacute. 4 *περὶ Θεῶν* coni. Casaub.

46. Historiarum vero Posidonii librum vicesimum octavum perlegens, iucundissimum quidpiam, Amici, observavi de unguentis ibi traditum, non alienum a nostro convivio. Ait enim philosophus: » In Syria in regis conviviis, postquam convivantibus distributae sunt coronae, intrant nonnulli utriculos habentes unguentorum Babyloniorum: qui circumeuntes ex illis utriculis coronas adcumbentium irrorant unguentis, aliud nihil praeterea conspergentes. « Quoniam vero huc progressa est oratio, conferam vobis *carmen quoddam in Amorem*, ut ait Cytherius poëta: scilicet, *Ianum* Deum nostratem, quem eumdem Patrem adpellamus, primum inveniisse coronam. Tradit hoc Draco Corcyraeus in libro de Lapidibus, ubi ita scribit: » *Ianum* vero, aiunt, bifrontem fuisse, alteramque faciem posteriorem, alteram habuisse

σωπον. ἀπὸ τούτου καὶ τὸν Ἰανὸν ποταμὸν, καὶ τὸ ὄρος Ἰανὸν ὀνομάζεσθαι, κατοικήσαντος αὐτοῦ ἐπὶ τοῦ
e ὄρους. πρῶτον δὲ καὶ στέφανον εὑρεῖν, καὶ σχεδίας, καὶ πλοῖα, καὶ νόμισμα χαλκοῦν πρῶτον χαράξαι. διὸ καὶ τῶν κατὰ τὴν Ἑλλάδα πολλὰς πόλεις, καὶ τῶν κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν, ἐπὶ τοῦ νομίσματος ἐγχαράττειν πρόσωπον δικέφαλον, καὶ ἐκ θατέρου μέρους ἢ σχεδίαν ἢ στέφανον ἢ πλοῖον. τοῦτον δὲ τὴν ἀδελφὴν γήμαντα Καμίσην, υἱὸν μὲν Αἴθηκα, [1] θυγατέρα δ' Ὀλιστήνην γεννῆσαι. καὶ αὐτὸν, ὡς μειζόνων ὀρεγόμενον [2] πραγμάτων, εἰς τὴν Ἰταλίαν διαπλεῦσαι, καὶ οἰκῆσαι τὸ πλησίον Ῥώμης ὄρος κείμε-
f νον, τὸ ἀπ' αὐτοῦ Ἰάνουκλον ὀνομαζόμενον."

Ianus, navium, & coronarum, & numorum inventor.

XLVII.

Τοσαῦτα καὶ περὶ μύρων ἐλέχθη. καὶ μετὰ ταῦτα πλείστων, τῶν μὲν Ἀγαθοῦ δαίμονος αἰτούντων ποτήριον, τῶν δὲ Διὸς σωτῆρος, ἄλλων δὲ Ὑγιείας, καὶ ἑτέρων ἑτέρους ἐπιλεγόντων, τοὺς τούτων τῶν κράσεων

Poculum Boni Dei, Iovis Servatoris, Sanitatis.

1 Καμίσηνον Μεναίθηβα edd. 2 ὀρεγόμενος edd.

anteriorem. Ab hoc etiam *Ianum fluvium*, & *montem Ianum* esse nominatum, cum montem illum habitaret. Primum vero etiam hunc inveniisse & coronam & rates & navigia; & aeneos nummos primum signasse. Quare etiam multae Graeciae civitates, itemque Italiae & Siciliae, in nummis suis bicipitem faciem excudunt, ab altera parte vero aut ratem aut coronam aut navigium. Hunc autem uxorem duxisse sororem Camisen, & ex ea filium genuisse Aethecem, filiam vero Olistenen. Eumdem, maiorum rerum cupidum, in Italiam navigasse, montemque habitasse in vicinia Romae situm, qui ab illo *Ianiculum* nominatur. «

47. Haec quum de unguentis disputata essent, plurimi iam poscebant, alii poculum Boni Dei, alii Iovis Servatoris, alii vero Sanitatis, alii aliud ediderunt nomen:

μεμνημένους τῶν ποιητῶν ἔδοξε παρατίθεσθαι, ὧν καὶ αὐτῶν μνησθήσομαι. Ἀντιφάνης μὲν γὰρ Ἀγροίκοισιν ἔφη·

Ἁρμόδιος ἐπεκαλεῖτο, [1] παιὰν ᾄδετο,
μεγάλην Διὸς σωτῆρος ἄκατον ᾔρέ τις.

Ἄλεξις δ' ἐν Τοκιστῇ ἢ Καταψευδομένῳ·

— Α. Ἀλλ' ἔγχεον
αὐτῷ Διός γε τήνδε σωτῆρος. θεῶν
θνητοῖς ἁπάντων χρησιμώτατος [2] πολύ.
Β. Ὁ Ζεὺς ὁ σωτὴρ, ἐὰν ἐγὼ διαῤῥαγῶ,
οὐδέν μ' ὀνήσει. Α. Πῖθι [4] θαῤῥῶν. — Νικόστρατος, Πανδρόσῳ· [5]

— Κἀγώ, φιλτάτη·
μεταναιπτρίδα δ' αὐτῷ [6] τῆς Ὑγιείας ἔγχεον.
λάβε τῆς ὑγιείας δὴ σύ. Φέρε, τύχῃ ἀγαθῇ. [7]

1 ἐκαλεῖτο vulgo. 2 χρησιμώτατον vulgo. 3 μόνης εἰ vulgo. 4 πείθει vulgo. 5 Alibi Νικοστρ. Ἀντερώσῃ. 6 μεταναίπτρια δ' αὐτῷ edd. μεταναίπρια Ms. 7 τύχα ἀγαθῇ vulgo.

itaque de hisce potionibus teſtimonia poëtarum, qui earum meminiſſent, citare placuit; quae ipſa nos etiam adponemus. Antiphanes igitur in Ruſticis ait:

Harmodius nominabatur: paean canebatur:
magnum Iovis Servatoris poculum capiebat quisque.

Alexis vero in Foeneratore vel Mendace:

— A. *At infunde*
ei ſaltem Iovis Servatoris (calicem.) *Deorum*
mortalibus omnium longe (hic) *benigniſſimus eſt.*
B. *Iupiter ille Servator, ſi ego rumpar,*
nil me iuvabit. A. *At bibe fidenter!*

Nicoſtratus, Pandroſo:

— *Etiam ego, o cariſſima.*
Sed metaniptridem ei Sanitatis infunde.
Cape ergo tu hunc Sanitatis calicem. Age, bonâ fortunâ!

Τύχη, τὰ θνητῶν πράγματα. πρόνοια δὲ,
τυφλόν τι, κἀσύνταχτον [1] ἐστίν· ὦ πάτερ.

b Ἐν δὲ τῷ αὐτῷ δράματι καὶ τῆς τοῦ Ἀγαθοῦ δαίμονος κράσεως μνημονεύει, ἧς καὶ σχεδὸν πάντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. ἀλλ' ὅγε Νικόστρατος οὕτως φησίν·

Ἀλλ' ἐγχέασα θᾶττον Ἀγαθοῦ δαίμονος,
ἀπενεγκάτω μοι τὴν τράπεζαν ἐκ ποδῶν.
ἱκανῶς κεχόρτασμαι γάρ. Ἀγαθοῦ δαίμονος
δέχομαι. λαβοῦσ' ἀπένεγκε ταύτην ἐκ ποδῶν.

Ξέναρχος, ἐν Διδύμοις·

Ὡς οὖν ποτε [2] νυστάζειν γε καὐτὸς ἄρχομαι,
c ἡ τἀγαθοῦ δαίμονος — — —
συνέσεισέ μ' ἐκποθεῖσα Φιάλη παντελῶς.
ἡ τοῦ δὲ σωτῆρος Διὸς τάχιστά γε

1 καὶ ἀσύνταχτον Ms. 2 Ὡς εὖ ποτι vulgo. εὖ ποτε corr. Cant.

Res hominum ſunt Fortuna. Providentia,
quam dicunt, caecum eſt aliquid, pater, & turbidum.

In eodem vero dramate etiam poculi quod in *Boni Dei* honorem temperatur meminit, cuius fere omnes meminerunt veteris comoediae poëtae. Sunt autem Nicoſtrati verba haec:

At mox ubi Boni Dei infuderit poculum,
auferat mihi hanc menſam e pedibus:
ſatis enim ſatiatus ſum. Boni Dei hoc
accipio. Sume hanc (menſam,) *& aufer e pedibus.*

Xenarchus, in Gemellis:

Ut tandem etiam ego nictitare coepi,
Boni Dei poculum — — —
me penitus concuſſit, poſtquam illud ebibi.
Sed Servatoris Dei celerrime utique

ἀπώλεσε ναύτην [1] καὶ κατεπόντωσέν μ' ὁρᾷς. [2]

Ἔριφος, Μελιβοίᾳ·

„Ἐκπίῃ δέπας [3] πρὶν Ἀγαθοῦ πρῶτον
δαίμονος λαβεῖν, πρὶν Διὸς [4] σωτῆρος."

XLVIII. Boni Dei propinatio.

Θεόφραστος δ' ἐν τῷ περὶ Μέθης· „Τὸν ἄκρατον, φησὶν, οἶνον τὸν ἐπὶ τῷ δείπνῳ διδόμενον, [5] ὃν δὴ λέγουσιν Ἀγαθοῦ δαίμονος εἶναι πρόποσιν, ὀλίγον τε d προσφέρουσιν, ὥσπερ ἀναμιμνήσκοντες μόνον τῇ γεύσει τὴν ἰσχὺν αὐτοῦ, καὶ τὴν τοῦ Θεοῦ [6] δωρεάν· καὶ μετὰ τὴν πλήρωσιν διδόασιν, ὅπως [7] ἐλάχιστον ᾖ τὸ πινόμενον· καὶ τρίτον προσκυνήσαντες λαμβάνουσιν ἀπὸ τῆς τραπέζης, καὶ ὥσπερ ἱκέτειάν τινα ποιούμενοι τοῦ Θεοῦ, μηθὲν [8] ἀσχημονεῖν, μηδ' ἔχειν ἰσχυρὰν ἐπιθυμίαν τοῦ πότου τούτου, καὶ λαμβάνειν ἐξ αὐτοῦ

1 ἀπώλεσεν αὐτὴν vulgo. 2 κατεπόντωσέ μ' ὁρᾷς edd. κατεπόντωσ' ὥς μ' ὁρᾷς corr. Casaub. 3 Ἐκπεπίῃ δέκας vulgo. An Ἐκπίῃ δέκα? aut Ἐξέπιεν δέκα? 4 πρὶν τοῦ Διὸς Cant. in orâ. 5 διδόμενος edd. 6 τὴν τοῦ Διονύσου *Epit.* 7 ὅπερ edd. 8 μηδὲν edd. cum ms. *Ep.*

perdidit nautam, meque demerſit: vides.

Eriphus, Meliboeâ:

Ebiberit pateram, (vel, *Ebiberit decem*) *priusquam Boni Dei,*

priusquam Iovis Servatoris ſumſerit.

48. Theophraſtus vero, in libro de Temulentia: »Merum vinum, inquit, quod poſt coenam dant, quam dicunt Boni Dei propinationem eſſe, illius igitur & parum admodum offerunt, tamquam guſtu ſolum de potionis illius vi & de Dei beneficio admonituri; & poſtquam ſatiati ſunt offerunt, quo pauxillum ſit quod bibatur; & poſtquam ter adorarunt, auferunt de menſa, quaſi ſupplices Deum rogantes, faciat ne quidquam agant turpiter, nec potionis huius avidiores ſint aequo, ſed nonniſi

τὰ καλὰ καὶ χρήσιμα.“ Φιλόχορος δ' ἐν δευτέρῳ
Ἀτθίδος· „Καὶ θέσμιον,[1] φησὶν, ἐτέθη τότε, προσφέ-
e ρεσθαι μετὰ τὰ σιτία πᾶσιν ἀκράτου μὲν ὅσον γεῦ-
μα[2] καὶ δεῖγμα τῆς δυνάμεως τοῦ ἀγαθοῦ θεοῦ, τὸν
δὲ λοιπὸν ἤδη κεκραμένον. δι' ὃ καὶ τροφοὺς τοῦ Διο-
νύσου τὰς Νύμφας ὀνομασθῆναι.“ Ὅτι δὲ δοθείσης Dionyſius
τῆς τοῦ Ἀγαθοῦ δαίμονος κράσεως ἔθος ἦν βαστάζε- menſam
σθαι τὰς τραπέζας, ἔδειξε διὰ τῆς αὐτοῦ ἀσεβείας ὁ Aeſculapii
Σικελιώτης Διονύσιος. τῷ γὰρ Ἀσκληπιῷ ἐν ταῖς aufert.
Συρακούσαις ἀνακειμένης τραπέζης χρυσῆς, προπιὼν
αὐτῷ ἄκρατον Ἀγαθοῦ δαίμονος, ἐκέλευσε βασταχ-
θῆναι τὴν τράπεζαν. παρὰ δὲ τοῖς Ἕλλησιν οἱ θύον-
f τες[3] τῷ Ἡλίῳ, ὡς φησι Φύλαρχος ἐν τῇ ιβ'. τῶν
Ἱστοριῶν, μέλι σπένδουσιν, οἶνον οὐ φέροντες τοῖς βω-
μοῖς· δεῖν λέγοντες τὸν τὰ ὅλα συνέχοντα, καὶ δια-

1 θεσμὸς edd. 2 ἀκρατούμενος ὃν γεῦμα edd. cum ms. *A*. 3 ὡς θύοντες edd.

quantum honeſtum & utile ſit de ea percipiant.« Philochorus vero, ſecundo libro Rerum Atticarum: »Etiam lege quadam tunc, ait, ſancitum eſt, ut poſt captos cibos ſumeretur meri tantum quantum ſatis eſſet ad guſtandam & ex ſpecimine quodam cognoſcendam Boni Dei vim, reliquum vero deinde temperatum. Quare etiam nutrices Bacchi, ait, nominatas eſſe Nymphas.« Poſt diſtributam autem Boni Dei potionem removeri ſolitas eſſe menſas, impio ſuo facto oſtendit Siculus Dionyſius. Cum enim Aeſculapio Syracuſis dedicata eſſet aurea menſa, merum Boni Dei illi propinavit, continuoque menſam iuſſit auferri. Apud Graecos vero, qui Soli ſacra faciunt, hi (ut Phylarchus ait, duodecimo Hiſtoriarum libro) mel libant, nec vinum ad altaria adferunt; dicentes, conſentaneum eſſe, ut continens cuncta & ſuâ

κρατοῦντα θεὸν, καὶ ἀεὶ περιπολεύοντα τὸν κόσμον, ἀλλότριον εἶναι μέθης.

XLIX. Scolia carmina quaenam dicantur.

Ἐμέμνηντο δὲ οἱ πολλοὶ καὶ τῶν Ἀττικῶν ἐκείνων Σκολιῶν[1] ἅπερ καὶ αὐτὰ ἄξιόν ἐστί σοι ὑπομνημονεῦσαι, διά τε τὴν ἀρχαιότητα καὶ ἀφέλειαν τῶν ποιησάντων, καὶ τῶν ἐπαινουμένων ἐπὶ τῇ ἰδέᾳ[2] τῆς ποιητικῆς, Ἀλκαίου τε καὶ Ἀνακρέοντος· ὡς Ἀριστοφάνης παρίστησιν ἐν Δαιταλεῦσιν, λέγων οὕτως·[3] a

Ἆισον δή μοι σκολιόν τι λαβὼν Ἀλκαίου καὶ Ἀνακρέοντος.[4]

καὶ Πράξιλλα δ' ἡ Σικυωνία[5] ἐθαυμάζετο ἐπὶ τῇ τῶν σκολιῶν ποιήσει. Σκολιὰ[6] δὲ καλοῦνται, οὐ κατὰ τὸν τῆς μελοποιΐας τρόπον, ὅστις[7] σκολιὸς ἦν· λέγουσι γὰρ, τὰ ἐν ταῖς ἀνειμέναις εἶναι σκολιά. ἀλλὰ ,,τριῶν γενῶν ὄντων, ὡς φησιν Ἀρτέμων ὁ Κασ-

1 σκολίων *Epit.* 2 ἐπὶ ταύτῃ τῇ ἰδέᾳ edd. 3 Duo verba desunt edd. 4 Unâ voce κἀνακρέοντος Brunck. 5 δὴ Σιχ. edd. cum ms. *A.* ἡ Σιχ. ms. *Ep.* 6 Σχόλια ms. *Ep.* Et sic deinde. 7 ὅτι utique videtur legendum.

potentiâ conservans Deus, totumque mundum assidue obambulans, alienus sit a temulentia.

49. Iamque etiam plerique mentionem fecerunt *Atticorum* illorum *Scoliorum:* quae ut & tibi commemorem operae pretium fuerit, cum propter vetustatem, tum simplicitatem auctorum, quos inter eminent laudati ob hoc poëseos genus Alcaeus & Anacreon; ut docet Aristophanes in Convivantibus, ubi ait:

Cane igitur mihi scolion quoddam, seligens ex Alcaei carminibus aut Anacreontis.

Sed & Praxilla Sicyonia componendis scoliis laudem haud mediocrem tulit. Vocantur autem *Scolia*, non ob carminis modum, quasi σκολιὸς (i. e. *tortuosus* aut *obliquus*) ille fuisset: nam, quae solutioribus modis composita sunt, ea σκολιὰ esse dicunt. Sed » quum tria genera sint, (ut

σανδρεὺς ἐν δευτέρῳ Βιβλίων Χρήσεως, [1] ἐν οἷς τὰ περὶ τὰς συνουσίας ἦν ἀδόμενα· ὧν τὸ μὲν πρῶτον ἦν, ὃ δὴ πάντας ἄδειν νόμος ἦν· τὸ δὲ δεύτερον, ὃ δὴ πάντες
b μὲν ἤδον, οὐ μὴν ἀλλά γε [2] κατά τινα περίοδον ἐξ ὑποδοχῆς· τρίτον δὲ, καὶ τὴν ἐπὶ πᾶσι τάξιν ἔχον, οὗ μετεῖχον οὐκέτι πάντες, ἀλλ' οἱ συνετοὶ δοκοῦντες εἶναι μόνοι, καὶ κατὰ τόπον τινὰ εἰ [3] τύχοιεν ὄντες· διόπερ, [4] ὡς ἀταξίαν τινὰ μόνον παρὰ τἄλλα ἔχον, τὸ μήθ' ἅμα μήθ' ἑξῆς γινόμενον, [5] ἀλλ' ὅπου ἔτυχεν εἶναι, [6] σκολιὸν ἐκλήθη. τὸ δὲ τοιοῦτον ἤδετο ὁπότε τὰ κοινὰ καὶ πᾶσιν ἀναγκαῖα τέλος λάβοιεν· τηνικαῦτα [7] γὰρ ἤδη τῶν σοφῶν ἕκαστον ᾠδήν τινα κα-

1 Vulgo ἐν δευτέρῳ βιβλίῳ χρήσεως. 2 Immo οὐ μὴν ἅμα, ἀλλά γε &c. aut οὐ μὲν ἅμα γε, ἀλλὰ &c. 3 Forſ. καθ' ὅν τινα οὖν τύχοιεν ὄντες. 4 δι' ὅπερ Ms. 5 μήθ' ἑξῆς γινόμενος edd. 6 ἀλλ' ὅπη ἔτυχον μὲν εἶναι ms. *Ep.* ſed μὲν notatur ut ſuſpectum. 7 ταῦτα γὰρ edd. cum ms. *A*.

ait Artemon Caſſandrenſis, ſecundo De Uſu Librorum,) quibus continentur ea quae in Conviviis canebantur: quorum primum erat, quod omnes ſimul canere ſolebant; alterum, quod & ipſum omnes quidem canebant, at non ſimul, ſed circuitu quodam, ut alius alii ordine ſuccederet; tertium vero, quod poſtremum omnium locum obtinebat, quod iam non omnes participabant, ſed hi ſoli qui intelligentiores videbantur eſſe, quocumque demum loco adcubuiſſent: hoc igitur, utpote unum prae caeteris nullum certum ordinem ſequens, nec ſimul, nec continua discumbentium ſerie ac ſucceſſione peragi ſolitum, ſed quocumque loco forte contingeret ut adcumberet aliquis intelligentior, eam ob cauſſam σκολιὸν (velut, *extra ordinem cani ſolitum*) vocabatur. Tale vero carmen canebatur, poſtquam finem nacta erant ea quae omnibus communia erant, & quae a ſingulis nulla exceptione cantari debebant. Tunc demum enim quemque e ſapientioribus invitabant, ut pulcram aliquam cantio-

λὴν εἰς μέσον ἠξίουν προσφέρειν. [1] καλὴν δὲ ταύτην ἐνόμιζον, τὴν παραίνεσίν τέ τινα καὶ γνώμην ἔχειν δοκοῦσαν, χρησίμην τε εἰς τὸν βίον." [2]

L. SCOLIA.

Τῶν οὖν δειπνοσοφιστῶν ὁ μέν τις ἔλεγε τῶν σκολιῶν τόδε, ὁ δέ τις τόδε. πάντα δ' ἦν τὰ λεχθέντα ταῦτα.

Σκολ. α'.

Παλλὰς Τριτογένει', ἄνασσ' [3] Ἀθηνᾶ,
ὄρθου τήνδε πόλιν τε καὶ πολίτας,
ἄτερ ἄλγεων [4] καὶ στάσεων
καὶ θανάτων ἀώρων, [5]
σύ τε καὶ Πατήρ.

β'.

Πλούτου μητέρ', Ὀλυμπίαν [6] ἀείδω [7]
Δήμητρα [8] στεφανοφόροις ἐν ὥραις· [9]

1 εἰσφέρειν ἠξίουν *Epit.* 2 τῷ βίῳ χρησίμην Epit. *absque* τε. 3 Τριτογένεια & ἄνασσα edd. 4 ἀλγέων τε καὶ edd. cum msstis. 5 εὐώρων ms. *Ep.* 6 Ὀμπνίαν Brunck. cum Casaub. 7 εἴδω Ms. μῆτερ Ὀλυμπία σ' ἀείδω Ilg. & Grotef. 8 Δήμητραν Herm. 9 σὺν Ὥραις coni. Iac.

nem in medium proferret. Pulcram autem hanc censebant, quae videretur praeceptum habere, aut argutam aliquam sententiam, effetque vitae hominum utilis. "

50. Deipnosophistarum igitur alius hoc, alius aliud recitavit Scolion. Erant autem omnia recitata haecce:

SCOLION I.

Pallas Tritonia, regina Athene,
stabili hanc civitatem civesque,
absque calamitatibus & seditionibus,
mortibusque intempestivis: tuque & Pater!

II.

Pluti matrem, Coelestem cano
Cererem, coronifero hoc tempore:

σέ τε, [1] παῖ Διὸς, Περσεφόνη. SCOLIA.
χαίρετον, εὖ δὲ τάνδ' ἀμφ-
έπετον [2] πόλιν.

γ'.

d Ἐν Δήλῳ ποτ' ἔτικτε τέκνα Λατὼ,
Φοῖβον χρυσοκόμαν, ἄνακτ' Ἀπόλλων', [3]
ἐλαφηβόλον τ' ἀγροτέραν
Ἄρτεμιν, ἃ γυναικῶν
μέγ' ἔχει κράτος.

δ'.

Ἰὼ Πὰν, [4] Ἀρκαδίας [5] μεδέων [6] κλεεννᾶς,
ὀρχηστὰ Βρομίαις ὀπαδὲ Νύμφαις
γλασίαις· [7] Ἰὼ Πὰν, ἐπ' ἐμαῖς

1 Desunt duae voculae edd. 2 ἄμφετον vulgo. 3 ἄναχτα Ἀπόλλωνα edd. ἄνακτ' Ἀπόλλω Ilg. & Grotef. 4 Ὦ Πὰν Herm. & sic dein iterum. 5 Ἀρκαδίης ms. *Ep.* 6 μέδων Herm. & Ilg. 7 γελασίαις vulgo. γελάσειας Herm. cum Valck. γελάσαις Ilgen. Omissa vox in *Epit.*

(vel: *Cererem coroniferis comitatam Horis:*)
teque, Iovis filia, Proserpina.
Salvete; beneque hanc urbem curate!

III.

In Delo olim peperit liberos Latona,
Phoebum auricomum, regem Apollinem,
cervosque ferientem agrestem
Dianam, magnum in mulieres imperium tenentem.

IV.

Io Pan, Arcadiam curans nobilem,
saltator Bromiarum sodalis Nympharum!
sonoris, Io Pan, meis

Scolia.

εὐφροσύναις ἄειδε [1]
κεχαρημένος.

ε'.

Ἐνικήσαμεν, ὡς ἐβουλόμεσθα, [2]
καὶ νίκην ἔδοσαν θεοὶ, [3] φέροντες
παρὰ Πανδρόσου ὡς φίλην Ἀθηνᾶν.

ς'.

Εἴθ' ἐξῆν, ὁποῖός τις ἦν ἕκαστος,
τὸ στῆθος διελόντ', [4] ἔπειτα τὸν νοῦν
ἐσιδόντα, [5] κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν
ἀδόλῳ φρενί.

1 εὐφροσύναις ταῖσδ' ἀοιδαῖς ἄειδε edd. cum msstis. (temere εἴειδε ed. Caſ. 2 & 3.) ταῖσδ' εὐφροσύναις ἀοιδαῖς ἄειδε Brunck. εὐφροσύναις ἀοιδαῖς Hermann & Ilgen: & *delent* ταῖσδ' & ἄειδε. 2 ἐβουλόμεθα vulgo. 3 ἔδοσαν οἱ θεοὶ edd. 4 διελόντα vulgo. 5 εἰσιδόντα edd. cum ms. *A*. Perperam εἰδόντα ms. *Ep*.

hilaritatibus accine laetus!

V.

Vicimus, haud ſecus ac volebamus:
& victoriam Dii dederunt, ferentes
a Pandroſo ad caram Minervam.

VI.

Utinam liceat, qualis ſit quisque,
pectore eius aperto, animoque
inſpecto, tum rurſus clauſo,
virum ſincerâ mente amicum cognoſcere!

ζ'.

Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ·
δεύτερον δὲ, καλὸν φυὰν [1] γενέσθαι·
τὸ τρίτον δὲ, πλουτεῖν ἀδόλως·
καὶ τὸ τέταρτον, ἡβᾶν [2]
μετὰ τῶν φίλων.

Quatuor optima homini.

Αἰσθέντος δὲ τούτου, καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ, καὶ μνημονευσάντων ὅτι καὶ ὁ καλὸς Πλάτων αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου· ὁ Μυρτίλος ἔφη, Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι, τὸν κωμῳδιοποιὸν, ἐν Θησαυρῷ, λέγοντα οὕτως·

f Ὁ τὸ σκολιὸν εὑρὼν ἐκεῖνος, ὅστις ἦν,
τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν,
ὠνόμασεν ὀρθῶς· δεύτερον δ' εἶναι καλὸν,
τρίτον δὲ πλουτεῖν, τοῦθ', ὁρᾷς, ἐμαίνετο.
μετὰ τὴν ὑγείαν γὰρ τὸ πλουτεῖν διαφέρει·
καλὸς δὲ πεινῶν [3] ἐστὶν αἰσχρὸν θηρίον.

1 καλοφυὰν edd. 2 συνηβᾶν vulgo. 3 πίνων vulgo.

VII.

Bene valere, optimum eſt homini mortali:
alterum, pulcrâ eſſe (corporis) *habitudine:*
tertium, divitem eſſe absque malis artibus:
quartum, iuventutem transigere cum amicis.

Hoc Scolio decantato, delectatisque eo cunctis, monentibusque meminiſſe eius etiam elegantem Platonem ut praeclare dicti; ibi tum Myrtilus ait, deriſiſſe idem Anaxandridem comicum poëtam in Theſauro, dicentem:

Conſcriptor ſcolii carminis, quiqui fuit,
quod bene valere poſuit in primo loco,
bene fecit. At pulcrum eſſe cum facit alterum,
& divitem eſſe tertium, inſanit nimis.
Divitiae, res a ſanitate eſt proxima:
nam foedum eſt animal, pulcher quem vexat fames.

Scolia. Ἐξῆς δ' ἐλέχθη καὶ τάδε· a

η'.

Ἐκ γῆς (μὲν ἄνδρα) [1] χρὴ κατιδεῖν πλόον,
εἴ τις δύναιτο, καὶ παλάμην ἔχοι.
Ἐπεὶ δὲ κ' ἐν [2] πόντῳ γένηται,
τῷ παρέοντι τρέχειν ἀνάγκη.

θ'.

Ὁ καρκίνος [3] ὧδ' ἔφη, [4]
χαλᾷ τὸν [5] ὄφιν λαβών·
„Εὐθέα [6] χρὴ τὸν ἑταῖρον [7] ἔμεν, [8]
„καὶ [9] μὴ σκολιὰ φρονεῖν."

ι'.

Harmodius. Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων, [10]

1 Desunt vulgo duo verba. 2 καὶ ἐν mssti. 3 Ὁ καρκῖνος edd. Ὁ δὲ καρκίνος ms. *Ep.* 4 Commodius fuerit ἔφα. 5 χαλλιτον ms. *A.* 6 εὐθὺν ex msto adfert Casaub. & probant viri docti. 7 ἕταρον corrigunt. 8 Deest verbum edd. ἐν μὲν habet ms. *A.* ἴμεν corrigit Ilg. 9 Deest καὶ edd. 10 καὶ Ἀριστογείτων vulgo.

Deinde vero recitata etiam sunt haecce:

VIII.

E terra oportet navigationem prospicere,
si quis possit, & facultatem habeat.
Sed ubi iam in alto fueris,
praesenti (vento) *currere necesse est.*

IX.

Cancer sic dixit, serpentem forfice prehendens:
„*Rectum oportet esse amicum, non obliqua sentire.*"

X.

In myrti ramo gladium feram,
sicut Harmodius Aristogitonque,

ὅτε τὸν τύραννον κτανέτην, [1] Scolia.
b ἰσονόμους τ' Ἀθήνας
ἐποιησάτην.

ια'.

Φίλτατ' Ἀρμόδι', οὔ τι που [2] τέθνηκας·
νήσοις δ' ἐν μακάρων σέ φασιν εἶναι,
ἵνα περ ποδώκης Ἀχιλεὺς, [3]
Τυδείδην τέ φασιν
Διομήδεα. [4]

ιβ'.

Ἐν μύρτου κλαδὶ τὸ ξίφος φορήσω,
ὥσπερ Ἁρμόδιος κ' Ἀριστογείτων, [5]
ὅτ' Ἀθηναίης ἐν θυσίαις
ἄνδρα τύραννον Ἵππαρ-
χον ἐκαινέτην.

1 κατανέτην edd. 2 οὔπω vulgo. οὔ τι πω corrigunt nonnulli.
3 Ἀχιλλεὺς vulgo. 4 Vulgo φασὶ τὸν ἐσθλὸν Διομήδεα.
5 καὶ Ἀριστ. Ms.

quum tyrannum occiderunt,
liberasque Athenas praeſtiterunt.

XI.

Cariſſime Harmodie, non utique mortuus es:
beatorum ſed in inſulis te aiunt eſſe,
ubi velox pedibus Achilles,
Tydidemque ubi aiunt eſſe Diomedem.

XII.

In myrti ramo gladium feram
ſicut Harmodius Ariſtogitonque,
Minervae cum in ſacrificiis
virum tyrannum Hipparchum occiderunt.

ιγ'.

Scolia. Αἰεὶ [1] σΦῶν κλέος ἔσσεται κατ' αἶαν,
Φίλταθ' Ἁρμόδιε κ' Ἀριστόγειτον, [2]
ὅτι [3] τὸν τύραννον κτανέτον, [4]
ἰσονόμους τ' Ἀθήνας
ἐποιησάτην.

ιδ'.

Admetus. Ἀδμήτου λόγον, ὦ ταῖρε, [5] μαθὼν, τοὺς ἀγαθοὺς c
σέβου· [6]
τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγη χάρις.

ιε'.

Παῖ Τελαμῶνος, Αἶαν αἰχμητὰ, λέγουσί σε [7]
ἐς Τροΐαν ἄριστον ἐλθεῖν Δαναῶν μετ' Ἀχιλλέα. [8]

1 Ἀεὶ vulgo. 2 κ' Ἀριστογείτων edd. φίλταθ' Ἁρμόδιος κ' Ἀριστογείτων Ilg. 3 ὅτε edd. 4 κτανέτην vulgo: & dein ἐποιησάτην. 5 ὦ ἑταῖρε Ms. 6 τοὺς ἀγαθοὺς φίλει edd. τοὺς ἀγ. φίλει σέβου ms. *A.* τοὺς ἀγαθοὺς φίλους σέβου ms. *Ep.* 7 λέγουσί σ' edd. cum ms. *Ep.* λεγούσης ms. *A.* 8 καὶ Ἀχιλλέα vulgo.

XIII.

Semper veſter honos in terra durabit,
cariſſime Harmodie & Ariſtogiton;
quod tyrannum ſuſtuliſtis,
liberasque praeſtitiſtis Athenas.

XIV.

Admeti hiſtoriae, amice, memor, probos fortesque (amicos) *cole,*
a pravis & ignavis abstine, intelligens apud hos exiguam eſſe gratiam.

XV.

Telamone nate, Aiax bellator, dicunt te
Troiam fortiſſimum veniſſe Danaorum poſt Achillem.

Τὸν Τελαμῶνα πρῶτον, Αἴαντα δὲ δεύτερον ἐς Τροίαν λέγουσιν [1] ἐλθεῖν Δαναῶν καὶ Ἀχιλλέα. [2] Scolia.

ιε'.

Εἴθε λύρα καλὴ γενοίμην ἐλεφαντίνη,
καί με καλοὶ παῖδες φέροιεν [3] Διονύσιον ἐς χορόν.
Εἴθ' ἄπυρον καλὸν γενοίμην μέγα χρυσίον,
d καί με καλὴ γυνὴ φοροίη [4] καθαρὸν θεμένη νόον.

ιζ'.

Σύν μοι πῖνε, συνήβα, [5] συνέρα, συστεφανηφόρει· [6]
σύν μοι μαινομένῳ μαίνεο, σὺν σώφρονι σωφρόνει. [7]

1 λέγοιεν corr. Grotef. & Fior. 2 Rurſus μετ' Ἀχιλλέα corrigunt alii. 3 φοροῖεν corrigunt. 4 Temere φορείη edd. 5 Perperam συνῆκα edd. cum ms. *Ep.* 6 συνστεφανηφόρει edd. cum ms. *A.* 7 συνσωφρονήσω σώφρονι edd. συσσωφρονήσω σώφρονι ms. *A.* συσσωφρόνει σώφρονι ms. *Ep.*

Telamonem primum, Aiacem vero ſecundum Troiam dicunt (ſive, *dicant*) *veniſſe Danaorum & Achillem.*

XVI.

Oh! ſi lyra pulcra eſſem eburnea,
& me pulcri pueri ferrent ad Bacchicum chorum!
Oh! ſi nativo ex auro pulcrum magnum ornamentum eſſem,
& me pulcra mulier geſtaret, cui caſta mens!

XVII.

Mecum bibe, collude, mecum ama, mecum corollas geſta;
mecum fure furente, mecum prudens eſto prudente.

ιή.

Scolia. Ὑπὸ παντὶ λίθῳ σκόρπιος, ὦ 'ταῖρ',[1] ὑποδύεται.
φράζευ μή σε βάλῃ· τῷ δ' ἀφανεῖ πᾶς ἕπεται δόλος.

ιθ.

Ἃ ὗς τὰν βάλανον τὰν μὲν ἔχει, τὰν δ' ἔραται λαβεῖν.
κἀγὼ παῖδα καλὴν τὰν μὲν ἔχω, τὰν δ' ἔραμαι λαβεῖν.

κ.

Πόρνη καὶ βαλανεὺς τωὐτὸν ἔχουσ' ἐμπέδεως ἔθος·
ἐν ταὐτᾷ πυέλῳ τόν τ' ἀγαθὸν τόν τε κακὸν λόει.

κα.

Ἔγχει καὶ Κήδωνι,[2] διάκονε, μηδ' ἐπιλήθου·
εἰ δὴ χρὴ ἀγαθοῖς[3] ἀνδράσιν οἰνοχοεῖν.

1 ὦ ἑταῖρε mssti. 2 ἔγχει κώθωνι edd. 3 τοῖς ἀγαθοῖς vulgo.

XVIII.

Quolibet ſub lapide ſcorpius, amice, ſe abſcondit: cave, ne te feriat. Sub obſcuro dolus quivis latet.

XIX.

Sus glandem unam habet, alteram cupit habere: & ego pulcram puellam unam habeo, alteram cupio habere.

XX.

Meretrix & balneator eumdem perpetuo morem ſervant: eodem in labro & ſtrenuum & ignavum lavat.

XXI.

Infunde etiam Cedoni (ſive, adflicto) famule, nec obliviſcere: bonis ſiquidem viris oportet vinum fundere.

κβ.

Αἰ, αἰ, Λειψύδριον [1] προδωσέταιρον, [2] Lipsydrium.
οἵους ἄνδρας ἀπώλεσας, μάχεσθαι
ἀγαθούς τε [3] καὶ εὐπατρίδας,
οἳ τότ' ἔδειξαν, οἵων [4]
πατέρων ἔσαν. [5]

κγ'.

f Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλην ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν, κατ' ἐμὸν νόον.

κδ'.

Σκόλιον δὲ φασί τινες καὶ τὸ ὑπὸ Ὑβρίου τοῦ Κρη- Hybriae Cretensis carmen.
τὸς ποιηθέν. ἔχει δ' οὕτως·
Ἔστιν ἐμοὶ [6] πλοῦτος μέγας, δόρυ [7] καὶ ξίφος
καὶ [8] καλὸν λαισήϊον, πρόβλημα χρωτός.

1 Λειψύδριον ms. *A*. 2 προδοσέταιρον vulgo. 3 μάχεσθαί τ' ἀγαθοὺς Suid. & Eustath. 4 Temere οἷον edd. 5 κύρησαν edd. cum Ms. ἦσαν Suid. 6 ἔστι μοι vulgo. 7 μέγα δόρυ Eust. H. Steph. Brunck. Herm. μέγας tenent ambo mssti. 8 καὶ τὸ καλὸν vulgo.

XXII.

Heu! heu! Leipsydrion, amicorum proditrix!
quales viros perdidisti, in bello
fortes, eosdemque nobiles,
qui tunc monstrarunt qualium essent patrum.

XXIII.

Amicum qui non prodit, eum equidem existimo
cum apud homines tum apud Deos magnam gloriam habere.

XXIV.

Esse quoque Scolion aiunt, quod ab Hybria Cretensi est sic editum:

Sunt mihi magnae divitiae: hasta, & gladius,
pulcraque parmula, munimentum corporis.

Scolia. Τούτῳ γὰρ ἀρῶ, [1] τούτῳ πατέω a
τὸν ἁδὺν οἶνον ἀπ' ἀμπέλων· [2]
τούτῳ δεσπότας μνοίας [3] κέκλημαι.

Τοὶ δὲ μὴ τολμῶντες ἔχειν δόρυ καὶ ξίφος
καὶ [4] καλὸν λαισήϊον, πρόβλημα [5] χρωτὸς,
πάντες γονυπεπτηότες [6]
ἐμὲ [7] κυνέοντι, δεσπόταν
καὶ μέγαν βασιλέα φωνέοντες. [8]

LI. Ariſtoteiis carmen in Hermeam.

Τούτων λεχθέντων, ὁ Δημόκριτος ἔφη· Ἀλλὰ μὴν καὶ τὸ ὑπὸ τοῦ πολυμαθεστάτου γραφὲν Ἀριστοτέλους εἰς Ἑρμείαν τὸν Ἀταρνέα, οὐ παιάν ἐστιν, ὡς

1 Vulgo, Τούτῳ γὰρ ἀρῶ, τούτῳ θερίζω, τούτῳ πατέω. 2 ἀμπέλου Euſtath. unde corrigunt ἀμπέλῳ. 3 Omittunt μνοίας ms. *Ep.* Euſtath. & Henr. Steph. 4 Ruſus καὶ τὸ vulgo. 5 πρόβλημά τε χρωτὸς h. l. mssti: eadem verba h. l. cum Euſtathio omiſerunt H. Steph. & Brunck. 6 Duabus vocibus vulgo, γόνυ πεπτηότες: & πεπτηῶτες Euſtath. & Henr. Stephan. 7 γόνυ πεπτ. ἐμὸν κυνέοντι δεσπόταν, edd. cum ms. *A.* γόνυ πεπτηότες ἐμὸν κυνέοντι, δεσπόταν καὶ μεγ. βασ. φων. ms. *Ep.* γόνυ πεπτ. ἐμὸν, κυνέοντι δεσπόταν, καὶ μεγ. βασ. φων. Euſtath. γόνυ πεπτ. ἐμοὶ, κυνέοντι δεσπ. H. Steph. & Brunck. ἐς γόνυ πεπτ. ἐμοὶ, &c. Herm. γονυπεπτηότες ἐμ', ὃν κυνέοντι δεσπ. Ilg. 8 φωνέοντι edd. cum Euſtath.

His quippe aro: (his meto:) his calco
ſuave vinum e vitibus:
his herus ſum familiae.

Si qui non audent geſtare haſtam & gladium,
pulcramque parmulam, munimentum corporis;
cuncti, genua flectentes
me adorant, dominum
magnumque regem adpellantes.

51. His recitatis, Democritus ait: At illud etiam carmen, quod a doctiſſimo Ariſtotele in Hermeam Atarnenſem eſt compoſitum, Paean non eſt, ut contende-

ὁ τὴν τῆς ἀσεβείας κατὰ τοῦ Φιλοσόφου γραφὴν
b ἀπενεγκάμενος εἶπε [1] Δημόφιλος, εἰς αἰδῶ τε [2] παρασκευασθεὶς ὑπ' Εὐρυμέδοντος, ὡς ἀσεβοῦντος καὶ ᾄδοντος ἐν τοῖς συσσιτίοις ὀσημέραι εἰς τὸν Ἑρμείαν παιᾶνα. ὅτι δὲ παιᾶνος οὐδεμίαν ἔμφασιν παρέχει τὸ ᾆσμα, ἀλλὰ τῶν σκολιῶν ἔν τι καὶ αὐτὸ εἶδός ἐστιν, ἐξ αὐτῆς τῆς λέξεως φανερὸν ὑμῖν ποιήσω.

Ἀρετὰ, πολύμοχθε γένει βροτείῳ,
θήραμα κάλλιστον βίῳ. [3]
σᾶς πέρι, [4] παρθένε, μορφᾶς,
c καὶ θανεῖν ζηλωτὸς [5] ἐν [6] Ἑλλάδι πότμος,
καὶ πόνους τλῆναι μαλεροὺς ἀκαμάτους. [7] 5
τοῖον ἐπὶ φρένα βάλλεις [8]
καρπόν τ' ἀθάνατον, [9]

1 *Deeſt* εἶπε edd. 2 δὲ malim, aut abiectam prorſus particulam, & verba εἰς - - Εὐρυμ. in parentheſi poſita. 3 βίῳ edd. 4 περὶ edd. 5 Rectius fuerit ζαλωτὸς & vs. ſq. τλᾶναι. 6 Deeſt ἐν edd. & ms. *A*. 7 ἀκάμαντας edd. cum Laërt. & Stob. id eſt, *labores perferre duros indefeſſum*. Sed fortaſſe prorſus delendum vocab. 8 Corrigunt viri docti:

τοῖον ἐπὶ φρέν' ἔρωτα βάλλεις,
καρπὸν φέρεις τ' ἀθάνατον.

9 καρπὸν εἰς ἀθάνατον Laërt. Hinc καρπὸν σεῖ' ἀθάνατον corr. Ilg.

bat Demophilus, qui honoris cauſſa ab Eurymedonte accuſator ſubornatus, violatae religionis reum egit philoſophum, ut qui impio conatu quotidie in conviviis paeanem in Hermeam caneret. Paeanis autem ſpeciem nullam habere illam cantionem, ſed eſſe potius Scoliorum genus aliquod, ex ipſis illius verbis declarabo.

Virtus, multi laboris generi mortalium,
venatio pulcerrima vitae!
Tuam propter, Virgo, ſpeciem
vel mori, deſiderabilis Graecis ſors,
& labores perferre graviſſimos infinitosque.
Talem pectoribus iniicis
fructum, & immortalem,

χρυσοῦ τε κρέσσω [1] καὶ γονέων
μαλακαυγητοῖο [2] θ' ὕπνου.
Σεῦ θ' ἕνεχ' οὐκ Διὸς [3] Ἡρακλῆς
Λήδας τε κοῦροι πολλ' ἀνέτλασαν, [4]
ἔργοις σὰν ἀγρεύοντες [5] δύναμιν.
σοῖς δὲ [6] πόθοις Ἀχιλλεὺς
Αἴας τε Ἀΐδαο δόμους ἦλθον.
σᾶς δ' ἕνεκεν [7] Φιλίου μορφᾶς
καὶ Ἀταρνέως [8] ἔντροφος
ἠελίου [9] χήρωσεν αὐγάς. [10]
τοιγὰρ ἀοίδιμος [11] ἔργοις,
ἀθάνατόν τε [12] μιν αὐξήσουσι [13]
Μοῦσαι, [14] Μνημοσύνης [15] θύγατρες, [16]

1 κρείσσω ms. *A.* 2 μαλακαυχητοῖο Brunck & Buhle. 3 ἕνεκεν ὁ Διὸς edd. ac nescio an ms. *A.* ἕνεχ' ὁ Διὸς ms. *Ep.* 4 πολλὰ ἀνετλ. edd. cum ms. *A.* 5 ἔργοις ἀναγορεύοντες Laërt. & Stob. unde corrigunt σὰν ἀγορεύοντες. 6 σοῖς τε Laërt. 7 ἕνεκε edd. ἕνεκα ms. *Ep.* 8 καὶ Ἀταρνέος ed. Ven. & Baſ. ὁ Ἀταρνέος Brunck. καὶ ὁ Ἀταρν. Ilg. Forſ. χ' ὁ Ἀταρν. vel ad pronunciandi rationem χ' ὠ 'ταρν. 9 Rectius ἀελίου Laërt. & Stob. 10 αὐγᾶς Laërt. & Stob. 11 ἀοίδιμον corr. viri docti. 12 ἀθάνατοί τε Laërt. & Stob. 13 αὐδήσουσι corr. Belin. 14 Rectius foret Μοῖσαι. Vocem prorſus delet Ilg. 15 Rectius Μναμοσύνας alii. 16 Θυγατέρες edd. cum ms. *A.*

& auro meliorem, & nobilitate parentum,
otioque dulciſſimo.
Tui cauſſâ Iove ſatus Hercules
Ledaeque filii multa tulerunt,
factis tuum venantes decus.
Tui item ob deſiderium Achilles
& Aiax Orci domos intrarunt.
Tuam propter amabilem ſpeciem
etiam Atarnae alumnus
Solis viduavit lumen.
Quare celebratur res ob geſtas:
immortalemque laudibus tollent
Muſae, Mnemoſynes filiae,

Διὸς Ξενίου σέβας αὔξουσαι,[1]
Φιλίας τε γέρας [2] βεβαίας. [3]

LII. Paeanes in mortales nonnullos compositi.

Ἐγὼ μὲν οὐκ οἶδα εἴ τις τι κατιδεῖν ἐν τούτοις e δύναται παιανικὸν[4] ἰδίωμα· σαφῶς ὁμολογοῦντος τοῦ γεγραφότος, τετελευτηκέναι τὸν Ἑρμείαν, δι' ὧν εἴρηκε „σᾶς γὰρ[5] Φιλίου μορφᾶς, Ἀταρνέως ἔντροφος ἠελίου χήρωσεν αὐγάς.“ οὐκ ἔχει δ' οὔτε τὸ παιανικὸν ἐπίρρημα, [τὸ Ἰὴ Παιὰν][6] καθάπερ ὁ εἰς Λύσανδρον τὸν Σπαρτιάτην γραφεὶς ὄντως παιάν, ὃν φησι Δοῦρις ἐν τοῖς Σαμίων ἐπιγραφομένοις Ὥροις,[7] ᾄδεσθαι ἐν Σάμῳ. παιὰν δ' ἐστὶ καὶ ὁ εἰς Κρατερὸν τὸν Μακεδόνα γραφεὶς, ὃν ἐτεκτήνατο Ἀλεξῖνος ὁ διαf λεκτικὸς, ὥς φησιν Ἕρμιππος ὁ Καλλιμάχιος ἐν τῷ πρώτῳ Περὶ Ἀριστοτέλους. ᾄδεται δὲ καὶ οὗτος ἐν Δελφοῖς, λυρίζοντός γέ τινος παιδός. καὶ ὁ εἰς Ἀγή-

1 αὔξουσαι *delet* Ilg. 2 γῆρας ed. Ven. & Baf. γαρας ms. *A*. Tres poftremi verfus defunt *Epit.* 3 βεβαίου Laërt. 4 παιωνικὸν h. l. ms. *A*. & ed. Ven. 5 σᾶς ἕνεκα malebam. 6 *Deſunt* tria verba edd. & ms. *A*. 7 Ὄροις vulgo.

Iovis Hoſpitalis honorem (canentes,)
firmaeque decus amicitiae.

52. Ego vero non video, quamnam *paeanis* proprietatem in iſto carmine deprehendere quiſpiam poſſit; cum perſpicue profiteatur auctor, mortem obiiſſe Hermeam, dicens: *Tuam propter amabilem ſpeciem Atarnae alumnus ſolis viduavit lumen.* Neque vero etiam paeanicam exclamationem (*Io Paean!*) habet hoc carmen, quemadmodum ille in Lyſandrum Spartanum ſcriptus verus paean, quem Duris in Samiorum Annalibus ait Sami cani ſolitum. Eſt etiam paean carmen illud quod in Craterum Macedonem ſcriptum eſt, auctore Alexino Dialectico; ut ait Hermippus Callimachius, primo libro de Ariſtotele. Canitur vero hic paean etiam Delphis, puero quodam lyram pulſante. Etiam carmen in Agemonem Corinthium,

μονα δὲ τὸν Κορίνθιον, Ἀλκυόνης πατέρα, ὃν ᾄδουσι Κορίνθιοι, ἔχει τὸ παιανικὸν ἐπίφθεγμα. παρέθετο δὲ αὐτὸν Πολέμων ὁ Περιηγητὴς ἐν τῇ πρὸς Ἀράνθιον ἐπιστολῇ. καὶ ὁ εἰς Πτολεμαῖον δὲ τὸν πρῶτον Αἰγύπτου βασιλεύσαντα παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γὰρ τὸ ἰὴ παιὰν, ἐπίφθεγμα· ὡς φησι Γεωργὸς [1] ἐν τῷ Περὶ τῶν ἐν Ῥόδῳ Θυσιῶν. Ἐπ' Ἀντιγόνω δὲ καὶ Δημητρίῳ, φησὶ Φιλόχορος, Ἀθηναίους ᾄδειν παιᾶνας, τοὺς πεποιημένους ὑπὸ Ἑρμίππου τοῦ Κυζικηνοῦ· ἐφαμίλλων γενομένων τῶν παιᾶνας ποιησάντων πολλῶν, καὶ τοῦ Ἑρμοκλέους [2] προκριθέντος. Ἀλλὰ μὴν καὶ αὐτὸς Ἀριστοτέλης ἐν τῇ Ἀπολογίᾳ τῆς ἀσεβείας, [3] εἰ μὴ κατέψευσται ὁ λόγος, φησίν· „Οὐ γὰρ ἄν ποτε, Ἑρμείᾳ θύειν ὡς ἀθανάτῳ προαιρούμενος, ὡς θνητῷ μνῆμα κατεσκεύαζον, καὶ ἀθα- a

1 Γόργων fortaſſe. 2 Aut hîc Ἑρμίππου, aut ſupra Ἑρμοκλέους, utique fuerit ſcribendum. 3 Duae voces deſunt edd.

Alcyonae patrem, quod canunt Corinthii, paeanicam habet adclamationem. Adpoſuit illud Polemon Periegeta in Epiſtola ad Aranthium. Illud item, quod in Ptolemaeum primum Aegypti regem canunt Rhodii, vere paean eſt: habet enim adclamationem, *Io Paean;* ut ait Georgus [*ſive potius*, Gorgon] in libro de Rhodiorum Sacris. In Antigonum vero & Demetrium, Philochorus ait, Athenienſes canere paeanas, ab Hermippo Cyziceno compoſitos; cum multi paeanum auctores inter ſe de principatu contendiſſent, caeteris autem Hermocles [*immo* Hermippus] fuerit praelatus. Denique vero ipſe etiam Ariſtoteles in Apologia adverſus Impietatis crimen, niſi ſuppoſititia oratio eſt, ait: *Non ſane equidem, ſi Hermeae ut immortali ſacrificare voluiſſem, monumentum ut mortali poſuiſſem: nec, ſi naturâ immorta-*

b νατίζειν τὴν Φύσιν βουλόμενος, ἐπιταφίοις ἂν τιμαῖς ἐκόσμησα." [1]

LIII.

Κύκλια carmina.

Τοιαῦτα λέγοντος τοῦ Δημοκρίτου, ὁ Κύνουλκος ἔφη· „Τί μ' ἀνέμνασας κείνων κυκλίων;" [2] κατὰ τὸν σὸν [3] Φίλωνα· δέον μηδὲν τῶν σπουδῆς ἀξίων λέγειν τι τοῦ γάστρωνος παρόντος Οὐλπιανοῦ. οὗτος γὰρ τὰς καπυρωτέρας ὠδὰς ἀσπάζεται μᾶλλον τῶν ἐσπουδασμένων· οἵαί [4] εἰσιν αἱ Λοκρικαὶ καλούμεναι, [5] μοιχικαί τινες τὴν Φύσιν ὑπάρχουσαι. ὡς·

Locrica carmina.

— Καὶ ἡδέων τι πάσχεις; [6]

Μὴ προδῷς ἄμμ',[7] ἱκετεύω. πρὶν καὶ μολὲν [8] κεῖ-

c νον, ἀνίστω· [9]

μὴ κακὸν μέγα ποιήσῃς σε,[10] καί με τὴν δειλάκραν.

ἀμέρα καὶ ἤδη. τὸ Φῶς διὰ τᾶς Θυρίδας οὐκ ἐνορῇς; [11]

1 Perperam ἐκοσμήσατο edd. cum ms. *A.* ἐκόσμουν ms. *Ep.* 2 κυλίκων vulgo. 3 τὸν σοφὸν Φιλ. ed. Ven. Baſ. & Natal. 4 οἷα ms. *A.* 5 καλούμενοι idem. 6 ὡς καὶ ἡδέως τι πάσχειν μὴ προδῷς &c. edd. 7 ἄμ' corrigunt viri docti. 8 μόλιν Ms. μόλεν edd. 9 ἀνιστῶ edd. 10 *Abeſt σε* vulgo. 11 ἐσορῇς edd.

lem praedicare animus erat, ſepulcralibus ornaſſem honoribus.

53. Haec Democritus quum loqueretur, Cynulcus dixit: *Quid me illorum Cycliorum admones?* ut ait tuus Philo; quum lurcone Ulpiano praeſente nihil quidquam quod ſerium aut grave ſit recitare oporteat. Hic enim ardentioribus (& laſcivioribus) cantionibus multo magis quam ſeriis honeſtisque delectatur: quales ſunt quae *Locricae* vocantur *cantiones*, quae hoc proprium habent ut adulterinae ſint; velut illud:

— *Etiam-ne voluptatis quidpiam percipis?*
Ne nos prodas, quaeſo. Priusquam ille redeat, ſurge:
ne magno malo teque adficias meque miſeram.
Iamque dies eſt: lucem per feneſtram nonne proſpicis?

Τοιούτων γὰρ ᾀσμάτων αὐτοῦ πᾶσα πλήρης ἡ Φοινίκη, ἐν ᾗ καὶ αὐτὸς [1] περιήει καλαμίζων, μετὰ τῶν
Colabri. τοὺς κολάβρους [2] καλουμένους συντιθέντων. εἴρηται γὰρ, ὦ καλὲ Οὐλπιανὲ, τοὔνομα. καὶ ὅ γε Σκήψιος Δημήτριος ἐν τῷ δεκάτῳ τοῦ Τρωϊκοῦ διακόσμου φησὶν οὕτως· „Κτησιφῶν ὁ Ἀθηναῖος, ποιητὴς τῶν καλουμένων κολάβρων, ὃν καὶ ὁ πρῶτος μετὰ Φιλέταιρον ἄρξας Περγάμου Ἄτταλος δικαστὴν καθεστάκει
d βασιλικῶν τῶν περὶ τὴν Αἰολίδα.“ ὁ δὲ αὐτὸς οὗτος συγγραφεὺς καὶν τῷ ἐννεακαιδεκάτῳ τῆς αὐτῆς πραγματείας, Μνησιπτολέμου, φησὶ, ποτὲ τοῦ ἱστοριογράφου, τοῦ παρὰ Ἀντιόχῳ τῷ προσαγορευθέντι Μεγάλῳ πλεῖστον ἰσχύσαντος, υἱὸν γενέσθαι Σέλευκον, τὸν τῶν ἱλαρῶν ᾀσμάτων ποιητήν· οὗπερ [3] συνεχῶς ᾄδειν εἰώθασιν·

Κἀγὼ παιδοφιλήσω· πολύ μοι κάλλιον ἢ γαμεῖν.

1 οὗτος edd. 2 Temere Καλάβρους ed. Caſ. 1. & 2. 3 ὅπερ edd.

Talium cantilenarum plena eſt illius patria Phoenice: in qua etiam ipſe circumire conſueverat calamo canens, cum eis hominibus qui *colabros* quos vocant componunt. Hoc enim vocabulum, o belle Ulpiane, etiam ſcriptum reperitur. Scepſius ſane Demetrius, decimo libro Troiani Adparatus, ita ſcribit: »Cteſiphon Athenienſis, poëta *colabrorum* qui vocantur, quem primus ille qui poſt Phileraerum Pergami regnavit Attalus iudicem conſtituerat eorum qui in Aeolide regis parebant imperio.« Idem vero ſcriptor etiam decimo nono libro eiusdem operis ſcribit, Mneſiptolemi, Hiſtoriarum olim ſcriptoris, qui apud Antiochum cognomine Magnum plurimum valuerat, filium fuiſſe Seleucum, *hilarium cantionum* poëtam; cuius illud conſtanter canere conſueverunt:

Et ego pueros amabo: praeſtat hoc quam uxorem ducere.

e παῖς μὲν γὰρ παρεὼν κἠν πολέμῳ, μᾶλλον ἐπωφελεῖ.

LIV. Syrbenaeus chorus.

Καὶ μετὰ ταῦτα ἀποβλέψας εἰς αὐτὸν ἔφη· Ἀλλ' ἐπειδή μοι ὀργίζῃ, ἔρχομαί σοι λέξων τὸν Συρβηναίων χορὸν ὅστις ἐστίν. καὶ ὁ Οὐλπιανός· Οἴει γάρ, ἔφη, κάθαρμα, θυμοῦσθαί με ἐφ' οἷς εἴρηκας, ἢ κἂν ὀλίγον σου [1] πεφροντικέναι, κύον ἀδδεές; ἀλλ' ἐπεὶ διδάσκειν μέ τι ἐπαγγέλλῃ, [2] σπονδάς σοι ποιοῦμαι οὐ τριακοντούτιδας, ἀλλ' ἑκατοντούτιδας. σὺ δὲ μόνον δίδασκε, τίς ὁ Συρβηναίων χορός. [3] Κλέαρχος,
f ὦ λῷστε, ἐν δευτέρῳ Περὶ Παιδείας, οὕτωσὶ φησίν· „Λείπεταί τις ὁ Συρβηναίων χορὸς, ὧν ἕκαστον τὸ δοκοῦν ἑαυτῷ κατᾶσαι δεῖ, προσέχοντα [4] οὐδὲν τῷ προκαθημένῳ καὶ διδάσκοντι τὸν χορὸν, ἀλλ' αὐτὸς πολὺ τούτων ἀτακτότερός ἐστι θεατής. καὶ, κατὰ τὸν παρῳδὸν Μάτρωνα,

1 κατ' ὀλίγον σοι πεφροντ. ed. Ven. & Baſ. cum Ms. 2 ἐπαγγείλῃ vulgo. 3 Forſ. exciderunt verba: Καὶ ὅς. 4 προσέχων Ms.

Nam puer etiam in bellum ſequens, tanto mihi utilior.

54. Poſt haec illum intuens, ait: At, quoniam mihi ſuccenſes, enarraturus tibi accedo, quis ſit *Syrbenaeorum chorus*. Et Ulpianus: Putas-ne, ſceleſte, me ob ea quae dixiſti ſtomachari; aut de te vel tantillum laborare, proterve canis? Sed quoniam te me docturum aliquid promittis, inducias tibi paciſcor, non ad triginta annos, verum ad centum. Tu modo me edoce, quis Syrbenaeorum chorus. Tum ille: Clearchus, o optime, ſecundo libro De Inſtitutione, ita ſcribit: »Supereſt aliquis Syrbenaeorum chorus: in quo ſingulos oportet occinere quidquid cuique viſum fuerit, nihil attendentes ad praeſidentem chori magiſtrum, qui ipſe multo etiam his tumultuoſior ſpectator eſt. Et, quod parodus Matron ait,

Οἱ μὲν γὰρ δὴ πάντες ὅσοι πάρος ἦσαν ἄριστοι,
Εὔβοιός τε, καὶ Ἑρμογένης, δῖοί τε Φίλιπποι,
οἱ μὲν δὴ τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισι.
ἔστι δέ τις Κλεόνικος, ὃν [1] ἀθάνατον λάχε γῆρας, a
οὔτε ποιητάων ἀδαήμων, οὔτε θεάτρων·
ᾧ καὶ τεθνειῶτι λαλεῖν πόρε Περσεφόνεια.“

Σὺ δὲ καὶ ζῶν, καλὲ Οὐλπιανέ, πάντα μὲν ζητεῖς, λέγεις δὲ οὐδὲ ἕν. καὶ ὅς· Τίς ἡδέως, ἔφη, * * * [2] τῶν ἐπῶν, ὦ καλέ μου ἑταῖρε, ἕως ἔτι ἐμμένομεν ταῖς σπονδαῖς.

LV. Parodiarum poëtae: Euboeus, Parius.

Καὶ ὁ Κύνουλκος· Πολλοί τινες παρῳδιῶν [3] ποιηταὶ γεγόνασιν, ὦ ἑταῖρε· ἐνδοξότατος δ' ἦν Εὔβοιος ὁ Πάριος, γενόμενος τοῖς χρόνοις κατὰ Φίλιππον. οὗτός ἐστιν ὁ καὶ Ἀθηναίοις λοιδορησάμενος· καὶ σώζεται αὐτοῦ τῶν Παρῳδιῶν βιβλία [4] τέσσαρα. μνημο- b

1 ὃς corr. Casaub. 2 Vulgo, καὶ ὅστις ἡδέως ἔφη τῶν ἐπῶν. Ubi καὶ ὅς· Τίς ἡ παρῳδία, ἔφη, τῶν ἐπῶν coni. Casaub. Pursanus vero cum Dalec. καὶ ὅς· Τίς ἦν τρόπος, ἔφη, τῶν παρῳδιῶν, λέγε ὦ καλέ μου ἑτ. 3 παρῳδῶν ms. *Ep.* & sic mox iterum. 4 βυβλία edd.

Illi nempe omnes, qui olim fuerant, praestantissimi viri,
Euboeus, & Hermogenes, nobilesque Philippi,
illi igitur mortui sunt, & Ditis subierunt domos.
Est vero quidam Cleonicus, cui immortalis obtigit senectus,
neque poëtarum ignarus, nec scenicarum fabularum:
cui, ut mortuus etiam loquatur, dedit Proserpina.“

At tu, etiamnum vivus, praeclare Ulpiane, omnia quidem quaeris, nihil quidquam autem ipse loqueris. Tum ille: Libenter * * * verborum, o praeclare amice, dum adhuc manent inducae.

55. Et Cynulcus: *Parodiarum*, inquit, *poëtae* multi fuerunt; amicum caput! nobilissimus vero *Euboeus* Parius, qui Philippi vixit aetate. Idem hic est, qui Athenienses etiam maledictis exagitavit: & supersunt eius Parodia-

νεύει δ' αὐτοῦ Τίμων ἐν τῷ πρώτῳ τῶν Σιλλῶν. Πολέμων δ' ἐν τῷ δωδεκάτῳ τῶν Πρὸς Τίμαιον,[1] περὶ τῶν τὰς παρῳδίας γεγραφότων ἱστορῶν, τάδε γράφει· „Καὶ τὸν Βοιωτὸν δὲ, καὶ τὸν Εὔβοιον, τοὺς τὰς[2] Παρῳδίας γράψαντας, λογίους ἂν φήσαιμι διὰ τὸ παίζειν ἀμφιδεξίως, καὶ τῶν προγενεστέρων ποιητῶν ὑπερέχειν ἐπιγεγονότας. εὑρετὴν μὲν οὖν τοῦ γένους Ἱππώνακτα Φατέον τὸν ἰαμβοποιόν. λέγει γὰρ οὗτος ἐν τοῖς Ἑξαμέτροις·

Hipponax.

c Μοῦσά μοι Εὐρυμέδοντ' ἄεισον[3] τὴν ποντοχάρυβδιν,
τὴν ἐγγαστριμάχαιραν, ὃς ἐσθίει οὐ κατὰ κόσμον.
ἔννεφ' ὅπως ψηφῖδι κακῇ κακὸν οἶτον ὄλῃται,
βουλῇ δημοσίῃ παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο.

Κέχρηται δὲ καὶ Ἐπίχαρμος ὁ Συρακούσιος ἔν τινι τῶν δραμάτων ἐπ' ὀλίγον· καὶ Κρατῖνος, ὁ τῆς ἀρ-

1 τῶν περὶ Τίμ. vulgo. 2 τὰς deeſt ed. Caſ. 3 Εὐρυμεδοντι ἀδεα ms. *A.* Εὐρυμεδοντία δῖα ms. *Ep.* Forſ. Εὐρυμέδοντα δῖαν.

rum libri quatuor. Mentionem huius fecit Timon, primo Sillorum. Polemo vero, duodecimo libro Adverſus Timaeum, de Parodiarum ſcriptoribus verba faciens, haec ſcribit: »Etiamque Boeotum & Euboeum, qui Parodias ſcripſerunt, laudem meruiſſe dicam eo, quod ingenioſa dexteritate ludunt, & ſuperiores poëtas poſteriores ipſi antecellunt. Inventor quidem huius generis *Hipponax* dicendus eſt, iamborum poëta. Dicit enim hic in Hexametris:

Muſa, mihi Eurymedontem cane Pontocharybdin,
gladium in ventre habentem, qui immodice vorat.
Dic mihi quo pacto malis ſuffragiis mala morte perierit,
populi iudicio maris ad littus infructuoſi!

Eodem genere etiam *Epicharmus* Syracuſius aliquantisper uſus eſt ſuorum in dramatum aliquo: item *Cratinus*,

χαίας κωμῳδίας ποιητὴς, ἐν Εὐνείδαις· [1] καὶ τῶν κατ' αὐτὸν Ἡγήμων ὁ Θάσιος, ὃν ἐκάλουν Φακῆν. λέγει γὰρ οὕτως·

Hegemon Thaſius, cogn. *Lenticula.*

Ἐς δὲ Θάσον μ' ἐλθόντα μετεωρίζοντες [2] ἔβαλλον d
πολλοῖσι σπελέθοισι, [3] καὶ ὧδέ τις εἶπε παραστάς·
Ὦ πάντων ἀνδρῶν βδελυρώτατε, τίς σ' ἀνέπεισεν
ἐς [4] καλὴν κρηπῖδα ποσὶν τοιοῖσδ' ἀναβῆναι;
τοῖσι δ' ἐγὼ πᾶσι μικρὸν μετὰ τοῦτ' ἔπος εἶπον· 5
Λῆμμ' [5] ἀνέπεισε γέροντα καὶ οὐκ ἐθέλοντ' ἀναβῆναι,
καὶ σπάνις, ἣ πολλοὺς Θασίων εἰς ὀλκάδα βάλλει
εὐκούρων [6] βδελυρῶν, ὀλλύντων τ' ὀλλυμένων τε e
ἀνδρῶν, οἳ νῦν κεῖθι [7] κακῶς κακὰ ῥαψῳδοῦσιν·
οἷς καὶ ἐγὼ μετὰ τοῖσι τὰ χρήιζων [8] ἐπέθησα. [9] 10

1 Εὐνοίδαις edd. Εὐνίδαις Ms. 2 μετωρίζοντες ed. Ven. & Baſ. 3 σπέλθοισι eaedem editt. cum ms. *A.* λίθοισι *Epit.* 4 *Deeſt* ἐς *mss tis.* 5 Μνῆμ' vulgo. Πνεῦμ' corr. Weſt. 6 ἐς κούρων edd. ἐς χώραν coni. Caſ. An εὖ κούρων βδελ.? 7 κιθι Ms. & κίθι κακῶν ed. Ven. & Baſ. 8 μετὰ τοῖσιν ἀχρηίζων corr. Caſ. 9 ἐποίθησα Ms. ἐπέθηκα corr. Caſ. An ἐπίθησα?

veteris comoediae poëta, in Eunîdis; & qui eâdem aetate vixit *Hegemon* Thaſius, quem *Lenticulam* vocabant. Sic enim ille ſcribit:

Thaſum me venientem ſublatis coniecerunt
multis ſtercoribus, & adſtans aliquis ita me compellavit:
O omnium hominum ſceleſtiſſime, quis tibi perſuaſit,
pulcrae ut crepidae talibus inſiſteres pedibus?
Quibus ego omnibus hoc verbum reſpondi:
Quaeſtus me impulit ſenem & invitum adſcendere,
& inopia, multos quae Thaſios in navem compellit,
ſceleſtos iuvenes, & perdentes pereuntesque
viros; qui nunc illic prave prava cantillant.
Ad idem genus cum his & ego, cum aliud nil poſſem,
(ſive, *inopiâ adductus*) *me adplicui.*

Αὖθις δ' οὐκ ἐπὶ κέρδος ἀπείσομαι· [1] εἰς Θασίους δὲ
μηδὲν πημαίνων [2] κλυτὸν ἄργυρον ἐγγυαλίξω, [3]
μή τις μοι κατὰ οἶκον Ἀχαϊάδων νεμεσήσῃ,
f πεσσομένης [4] ἀλόχου τὸν Ἀχαϊκὸν [5] ἄρτον ἐν οἴκοις,
καί ποτέ τις εἴπῃσι μικρὸν τυροῦντ' ἐσιδοῦσα, [6]
ὡς Φιλίων, Ὄρμην [7] παρ' Ἀθηναίοισιν ἀείσας,
πεντήκοντ' ἔλαβε δραχμὰς, σὺ δὲ μικρὸν ἐπέμψω. [8]
Ταῦτά μοι ὁρμαίνοντι παρίστατο Παλλὰς Ἀθήνη,
χρυσῆν ῥάβδον ἔχουσα, καὶ ἤλασεν, εἶπέ τε φωνῇ·
a „Δεινὰ παθοῦσα, Φακῆ βδελυρὰ, χώρ' εἰς [9] τὸν ἀγῶνα."
καὶ τότε δὴ θάρσησα, [10] καὶ ἤειδον πολὺ μᾶλλον.

„Πεποίηκε δὲ παρῳδίας καὶ Ἕρμιππος ὁ τῆς LVI.

1 ἀποίσομαι Ms. 2 ποιμαίνων edd. 3 ἐγγυαλίξων Ms. 4 πευσομένης edd. 5 Corruptum nomen. ἀχύρεον ex coniect. interpretatus sum. 6 τηροῦντας ἰδοῦσα edd. 7 Vulgo φιλίων ὁρμὴν, adpellative: quare vers. sq. ἔλαβες legendum coniiciunt: *apud Athenienses Amicorum expeditionem canens, quinquaginta drachmas accepisti, pauxillum vero* (domum) *misisti.* 8 ἐπέψω Ms. 9 Possis & χώρει 's scribere. Perperam χωρεῖς edd. cum ms. *A.* 10 καὶ τότε θαρσήσασα edd.

Iterum vero quaestus causſâ non abibo: ſed apud Thaſios
innoxius nobile deponam argentum;
ne qua mihi Achivarum popularium ſuccenſeat,
uxorem meam domi aceroſum videns panem ſubigentem;
neve qua, ſi parvam e caſeo placentulam conſpexerit, dicat:
»*Philion apud Athenienſes Impetum canens,*
»*centum accepit drachmas: tu vero parum domum miſiſti.*«
Haec mihi mente agitanti adſtitit Pallas Athene,
auream virgam tenens, qua me feriens dixit:
»*Gravia paſſa, Lenticula ſceleſta! abi in certamen!*«
Tunc ego recepi animum, & multo magis cecini.

56. »Etiam *Hermippus* Parodias compoſuit, veteris

Parodiis certatum olim Athenis.

ἀρχαίας κωμῳδίας ποιητής. Τούτων δὲ πρῶτος εἰσῆλθεν εἰς τοὺς ἀγῶνας τοὺς θυμελικοὺς Ἡγήμων, καὶ παρ' Ἀθηναίοις ἐνίκησεν ἄλλαις τε παρῳδίαις, καὶ τῇ Γιγαντομαχίᾳ. γέγραφε δὲ καὶ κωμῳδίαν εἰς τὸν

Euboeus, parodus.

ἀρχαῖον τρόπον, ἣν ἐπιγράφουσι Φιλίννην. ὁ δὲ Εὔβοιος πολλὰ μὲν εἴρηκεν ἐν τοῖς ποιήμασι χαρίεντα. περὶ μὲν τῆς τῶν βαλανείων [1] μάχης· b

Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν.

περὶ δὲ τοῦ λοιδορουμένου κουρέως τῷ κεραμεῖ τῆς γυναικὸς χάριν·

Μήτε [2] σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κουρεῦ· [3]
μήτε σὺ Πηλείδη. —

Ὅτι δὲ ἦν τις περὶ αὐτοὺς δόξα παρὰ τοῖς Σικελιώταις, Ἀλέξανδρος ὁ Αἰτωλὸς [4] ὁ τραγῳδιοδιδάσκαλος, ποιήσας ἐλεγεῖον, τρόπον τοῦτον δηλοῖ·

1 βαλανέων Dalec. *balneatorum.* 2 Μὴ δὲ edd. cum ms. *A.* & sic verſu ſeq. 3 κούρην edd. 4 Ἀλεξ. Αἰτ. edd. absque artic.

comoediae poëta. Sed primus ex Parodis in ſcenica certamina deſcendit *Hegemon*, & apud Athenienſes victoriam reportavit, cum aliis parodiis, tum Gigantomachiâ. Scripſit idem etiam comoediam priſco more, quam Philinnam inſcribunt. *Euboeus* vero multa in ſuis carminibus feſtiva dixit. Veluti, de balneorum pugnâ:

Feriebant ſe invicem aeneis haſtis. (ſive, *aeneis vasculis.*)

Tum de tonſore, (περὶ κουρέως,) qui mulieris cauſſa conviciabatur figulo: (qui τὸν πηλὸν, *lutum*, tractat:)

Neque tu, quamvis fortis ſis, (eam) *huic aufer,* κουρεῦ: (*tonſor!*)

nec tu Pelide! (figule!)

Fuiſſe autem hos homines in exiſtimatione quadam apud Siculos, Alexander Aetolus, is qui Tragoedias docuit, in Elegiâ quadam his verbis declarat:

c Ὡς [1] Ἀγαθοκλῆος [2] λάσιαι Φρένες ἤλασαν ἔξω
πατρίδος. ἀρχαίων ἦν ὅδ' ἀνὴρ προγόνων,
εἰδὼς ἐκ νεότητος ἀεὶ ξείνοισιν ὁμιλεῖν
ξείνος· Μιμνέρμου δ' εἰς ἔπος ἄκρον ἰὼν, [3]
παιδομανεῖ σὺν ἔρωτι ποτ' ἦν [4] ἴσον. ἔγραφε δ' ὠνὴρ
εὖ, [5] παρ' Ὁμηρείην ἀγλαΐην ἐπέων, 6
πισσύγγους, [6] ἢ Φῶρας ἀναιδέας, [7] ἤ τινα χλούνην,
Φλύων [8] ἀνθηρῇ [9] σὺν κακοδαιμονίῃ· [10]
τοῖα Συρηκοσίοις καὶ ἔχων χάριν. ὃς δὲ Βοιωτοῦ [11]
ἔκλυεν, Εὐβοίῳ τέρψεται οὐδ' ὀλίγον." 10

d Πολλῶν οὖν ἑκάστοτε τοιούτων λεγομένων, ἐπεί LVII.
ποτε ἑσπέρα κατελάμβανεν ἡμᾶς, ὁ μέν τις ἔλεγε,

1 Ὃν δ' aut Τὸν δ' corrigunt. Poteras & Οὗς coniectare. 2 Ἀγαθοκλεῖος vulgo. Ἀγαθόκλειος corr. Caſ. 3 δεῖ σε πόσα χρονίων vulgo. 4 πότην ἴσον vulgo. πότης ἴσος corr. Caſaub. 5 ἔγραφε δ' ὧν Ἡρεῦς edd. ἔγραφε δ' ὦ Ἠνρεῦ Ms. 6 Neſcio an πίσσυγγας, a ſing. πίσσυγξ. 7 πισσυγάση φωρῶσαν ἀειδέας edd. αἰδέας Ms. 8 φλοίων vulgo. 9 ἀθήρῃ edd. 10 εὐδαιμονίῃ vel εὐημερίῃ legebam. 11 ὡς δὲ Βοιωτοὺς vulgo.

Quem Agathoclis ferox animus expulerat
patriâ: nobili hic vir genere fuit,
adſuetus ab adoleſcentiâ cum exteris converſari
hoſpes: Mimnerni vero poëſin [ſive, *praecepta*] *ad*
amuſſin tenens,
puerorum amore olim, ſicut ille, inſanierat. Deſcripſit au-
tem idem
pulcre, ad illuſtrium Homeri verſuum imitationem,
ſutores, aut fures impudentes, aut graſſatorem quemdam;
iocans florente cum adplauſu:
ita gratioſus apud Syracuſios erat. Quisquis vero Boeo-
tum
audivit, is Euboeo haud parum delectabitur.«

57. Talibus igitur multis, quotiescumque unà eramus, inter nos disputatis, quando nobis ſuperveniebat nox, *lumen* & *faces* poſtulantes convivae, alius, *Puer*,

Lampadum & lucernarum varia nomina.

παῖ, λύχνειον· [1] οἱ δὲ, λυχνέα. [2] ὁ δὲ, λοφνίαν· [3] οὕτω καλεῖσθαι, Φάσκων, τὴν ἐκ τοῦ [4] φλοιοῦ λαμπάδα. ὁ δὲ, πανόν· ἄλλος δὲ, φανόν· ὁ δὲ, λυχνοῦχον· ὁ δὲ, λύχνον· καὶ δίμυξον δὲ λύχνον ἕτερος· ἄλλος δὲ, ἐλάνην· [5] ὁ δέ τις, ἐλάνας, τὰς λαμπάδας οὕτω Φάσκων καλεῖσθαι παρὰ τὴν ἕλην· οὕτω δ' εἰπεῖν Νεάνθην ἐν α'. τῶν Περὶ Ἄτταλον Ἱστοριῶν. [6] καὶ ἄλλος ὅ τι δή ποτε· ὡς τάραχον γίνεσθαι οὐ τὸν τυχόντα, τῶν ἐπὶ τούτοις ἱστέων παρὰ [7] πάντων λεγο- e
μένων. Σιληνὸν μὲν γάρ τις τὸν γλωσσογράφον [8] ἔφασκεν Ἀθηναίους λέγειν τὰς λαμπάδας φανούς.

Δέλετρον, γράβιον.

Τιμαχίδας δὲ ὁ Ῥόδιος, δέλετρον τὸν φανὸν καλεῖσθαι, οἷόν φησιν οἱ νυκτερευόμενοι τῶν νέων ἔχουσιν, οὓς οὗτοι ἐλάνας καλοῦσιν. Ἀμερίας δὲ γράβιον, τὸν φανόν. Σέλευκος δὲ οὕτως ἐξηγεῖται ταύτην τὴν

1 Alibi λυχνίον, & λυχνεῖον. 2 λυχνία forſ. 3 λοφνίδα fortaſſe. 4 Deeſt artic. edd. & *Epit.* 5 ἐλάνην corr. Caſaub. 6 ἕνα τῶν περὶ Ἄτταλον ἱστορικῶν edd. 7 Deeſt παρὰ edd. 8 γλωσσοράφον edd. cum ms. *A.*

λύχνειον! (vel λυχνίον!) dicebat: alius, λυχνέα: alius, λοφνίαν; ſic vocari aiens *lampadem ex cortice:* alius πανόν; φανὸν alius: hic λυχνοῦχον; ille λύχνον; & δίμυξον λύχνον (*duobus ellychniis lychnum*) alius: rurſus alius ἐλάνην; & ἐλάνας alius, *lampadas* aiens ita vocari a *ſplendore*, (παρὰ τὴν ἕλην,) uſum autem eſſe eo vocabulo Neanthem primo libro Hiſtoriarum De rebus Attali: alius denique aliud quidvis: ut haud parum turbarum oriretur, omnibus certatim ea quae de his ſcitu utilia eſſent disputantibus. Silenum enim Gloſſographum, aiebat aliquis, dixiſſe, *lampadas* ab Athenienſibus φανοὺς vocari. Timachidas vero Rhodius ait, δέλετρον vocari φανὸν eiusmodi quali utuntur pervigilantes iuvenes, quos illi ἐλάνας vocant. Amerias vero γράβιον, φανὸν interpretatur. Seleucus autem

λέξιν· „Γράβιον, ἐστὶ τὸ πρίνινον ἢ δρύϊνον ξύλον, ὅπερ ἐθλασμένον καὶ κατεσχισμένον ἐξάπτεσθαι, καὶ φαίνειν τοῖς ὁδοιπορεῦσιν. Θεοδωρίδας γοῦν ὁ Συρακούσιος, f ἐν Κενταύροις διθυράμβῳ, φησί·

Πίσσα δ' ὑπὸ γραβίων ἔσταζεν, οἷον ἀπὸ λαμπάδων. [1]

μνημονεύει δὲ γραβίων καὶ [Στράττις] ἐν Φοινίσσαις.“

Ex ms. A. Ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο, Ἀριστοφάνης ἐν Αἰολοσίκωνι παρίστησιν·

— Καὶ διαστίλβονθ' ὁρῶ, [2]

ὥσπερ ἐν καινῷ [3] λυχνούχῳ, πάντα τῆς ἐξωμίδος.

Ἐν δὲ τῷ δευτέρῳ Νιόβῳ, προειπὼν „λυχνοῦχον·“

Οἴμοι, κακοδαίμων· (φησὶν) λυχνίον [4] ἡμῖν οἴχεται!

εἶτ' ἐπιφέρει . . . . .

. . . . . [5]

LVIII. Λυχνοῦχος & λυχνίον, *Laterna*: recentioribus φανός.

1 Quae hinc ſequuntur multa, deſunt editis. 2 ὁρῶ ὁμοίως περ Ms. ὁρῶμεν ὥσπερ apud Poll. 3 κενῷ Ms. & Poll. 4 λυχνοῦχος Ms. pro quo poteras etiam λύχνος coniectare. 5 Corru-

vocabulum hoc ita exponit: »Γράβιον, eſt lignum iliceum aut quernum, quod contuſum & fiſſum accenditur, & lucem praebet viatoribus. Itaque Theodoridas Syracuſius, in Centauris carmine dithyrambico, ait:

Pix de grabiis ſtillavit, tamquam de lampadibus.

Meminit vero *grabiorum* etiam [Strattis] in Phoeniſſis. «

58. *Lychnuchos* autem nominatos olim eſſe quos hodie *phanos* (nempe, *laternas*) vocamus, docet Ariſtophanes in Aeoloſicone:

— *Et perlucentia video*, (ſive, *videmus*,)
tamquam in novâ laternâ, cuncta per tuniculam.

In ſecundo Niobo vero, poſtquam praedixit:

A. *Lychnuchum!* —

ait: B. *Heu me miſerum! lychnium nobis periit!*

tum rurſus pergit, [confirmans *lychnuchum* periiſſe:

A. *Et cur oblitus es lychnuchum?* B. *Periit.*]

Ἐν δὲ τοῖς Δράμασι [1] καὶ λυχνίδιον [2] αὐτὸν καλεῖ, διὰ τούτων·

— Ἀλλ', ὥσπερ ὁ [3] λύχνος,
ὁμοιότατα καθεύδετ' [4] ἐπὶ τοῦ λυχνιδίου.

Πλάτων δ' ἐν Νυκτὶ μακρᾷ·

Ἔξουσιν οἱ πομπεῖς λυχνούχους δηλαδή.

Φερεκράτης, Δουλοδιδασκάλῳ·

Ἀνυσόν ποτ' ἐξελθών, σκότος [5] γὰρ γίγνεται,
καὶ τὸν λυχνοῦχον ἔνφερ', [6] ἐνθεὶς τὸν λύχνον.

Ἀλεξις δ' Ἐκκηρυττομένῳ· [7]

Ὥστ' ἐξελὼν τοῦ λυχνίου [8] καυτὸν λύχνον,
μικροῦ κατακαύσας ἔλαθεν ἑαυτὸν, [9] ὑπὸ μάλης
τῇ γαστρὶ μᾶλλον τοῦ δέοντος προσαγαγών.

ptus in Membr. locus; ubi ita ſcribitur: εἶτ ἐπιφέρει καὶ πῶς ἐπιρρασας (vel ἐπιρρωσας) τὸν λυχνοῦχον οἴχεται· εἶτ ἐπιφέρει καὶ ἔλαθες ἐν δὲ τοῖς &c. 1 In Membr. loco vocabuli Δράμασι hodie non niſi hae fere literae adparent, . ρ. ησ. 2 λυχνίδων videtur in Membr. ſcriptum. 3 Deeſt articulus apud Polluc. 4 κάθευδ' apud Poll. 5 πρωτος videbatur ſcriptum in Membr. 6 ἐνφαν videtur eſſe in eisdem Membr. 7 In Membr. videbatur eſſe δ' ἐν κηρυττομένῳ. 8 Perperam in Membr. ὥστ' ἐξελὰν τοῦ λύχνου τὸν: dein pro καυτὸν videtur χαντον ſcriptum. 9 θ' αυτον videbatur eſſe in Membr.

In Dramatibus vero etiam *lychnidion* eumdem vocat, ubi ait:

— *Sed, ſicuti lychnus,*
ita prorſus recumbitis, in lychnidio.

Plato vero, in Nocte longa:

Habebunt, qui deducunt, lychnuchos puto.

Pherecrates, Dulodidaſcalo: (Servo-magiſtro:)

Ocyus egredere, nam ingruunt tenebrae;
& lychnuchum adfer, impoſito lychno.

Alexis vero, in Interdicto:

Itaque e lychnio (e laternâ) eximens ardentem lucernam,
ſe ipſe imprudens propemodum combuſſit, ſub alâ
illam ventri propius, quam oportebat, admovens.

Ἐνμήλης [1] δ' ἐν Σφαττομένῳ [2] . . . εἰπὼν ηγουμενην
. . . . . οσθ ιδων . . . . . ενιδι . . . . οει . . . . φι . . .
p. της [3] δ' ἐν Τριόδοντι ἢ Ῥωποπώλῃ, προειπὼν,
699 f Α. Λάβε τριόδοντα καὶ λυχνοῦχον· —
ἐπιφέρει·
Β. Ἐγὼ δὲ δεξιᾷ γε τόνδ' ἔχω τινὰ,
σιδηρότευκτον ἐναλίων θηρῶν βέλος, [4]
κερατίνου τε φωσφόρου λύχνου [5] σέλας.
p. Ἄλεξις, Μίδωνι·
700 a Ὁ πρῶτος εὑρὼν μετὰ λυχνούχου περιπατεῖν
τῆς νυκτὸς, ἦν τις κηδεμὼν τῶν δακτύλων.

Ἐν δὲ Θεοφορήτῳ ὁ αὐτὸς Ἄλεξις· LIX.
Οἶμαι [γὰρ] [6] ἐπιτιμᾶν τῶν ἀπαντώντων τινὰς Φανὸς, veteribus Fax, vel lampas.
ἡμῖν, ὅτι τηνικαῦτα μεθύων περιπατῶ.

1 Sic Membr. qua ſub ſcripturâ latet neſcio cuius Poëtae nomen. An Εὔμηλος? 2 In Membr. videbatur eſſe δ' ἐνοφαττομένῳ. Dein minutis nonnullis lacunis laborat lacera Membrana. 3 Forſ. Φιλοκράτης. 4 μέλος vulgo. 5 λυχνίου forſan. 6 Voculam metro obſtantem uncis incluſi.

[Eumelus] vero in Iugulato, poſtquam praedixit . . . . . phi . . . tes in Furca vel Scrutario, (Triodonte vel Rhopopolâ) poſtquam praedixit, *Cape furcam & lychnuchum!* haec infert:

Ego vero hanc quidem dextra teneo,
ferreum beſtiarum marinarum telum,
& corneae luciferae (λυχνίου) *ſplendorem.*

Alexis, Midone:

Qui primus docuit cum laterna incedere
noctu, digitorum egregius curator fuit.

59. In Theophoreto vero (*i. e.* Fanatico) idem Alexis ait:

Puto reprehenſuros me obviam venientium
nonnullos, quod hac hora ebrius ambulem.

ποῖος γάρ ἐστι φανὸς, ὦ πρὸς τῶν θεῶν,
τοιοῦτος, οἷος ὁ γλυκύτατος ἥλιος;

Ἀναξανδρίδης δ' ἐν Ὕβρει·

Οὐκ ὠκὺ λαβὼν [1] τὸν φανὸν, ἄψεις μοι [2] λύχνον;

Ἄλλοι δ' ἔφασκον, φανὸν λέγεσθαι τὴν λαμπάδα· b
οἱ δὲ, τὴν ἔκ τινων ξύλων τετμημένων δέσμην. Μένανδρος, Ἀνεψιοῖς· [3]

Ὁ φανός ἐστι μεστὸς ὕδατος οὐτοσί·
δεῖ τ' οὐχὶ σείειν, ἀλλ' ἀποσείειν αὐτόθεν. [4]

Νικόστρατος, ἐν Πατριώταις·

— Ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων,
ἄν τ' οἶνον, ἄν τε φανὸν [5] ἀποδῶταί τινι,
ἄν τ' ὄξος, ἀπέπεμψ' [6] ὁ κατάρατος δοὺς ὕδωρ.

Φιλιππίδης, Συμπλεούσαις· c

Α. Ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν, οὐδὲ ἕν.

1 Vulgo ἐν Ὑβρίου κοβυ λαβὼν. 2 ἄψοις μοι edd. 3 Perperam Ἀνεψιὸς Ms. 4 Vulgo ἀλλὰ ποδιεῖν αὐτόν. 5 ἄν τ' ἔλαιον edd. ἂν στέφανον Ms. 6 ἀπέπεμψεν Ms.

At, quaenam quaeso fax est, (φανὸς) *per Deos, talis, qualis dulcissimus sol?*

Anaxandrides vero, in Contumeliâ:

Annon ocyus facem (τὸν φανὸν) *sumens, lucernam mihi accendes?*

Alii vero aiebant, φανὸν dici lampadem; alii, ex dissectis lignis quibusdam fasciculum. Menander, in Consobrinis:

Hic phanus aquâ plenus est:
nec eum quatere oportet, sed rectà abiicere.

Nicostratus, in Popularibus:

— *Caupo hic in vicinia nostra,*
sive vinum, sive facem (phanum) *vendat cuipiam,*
sive acetum, dimittit eum nebulo datâ aquâ.

Philippides, in Mulieribus-unà-navigantibus:

A. *Nihil quidquam lucis nobis praebuit phanus.*

Β. Ἔπειτα φυσᾷν, [1] δυστυχὴς, οὐκ ἠδύνω.

LX. Λύχνειον, *Candelabrum*: recentioribus ἡ λυχνία.

Φερεκράτης δ' ἐν Κραπατάλλοις, τὴν νῦν λυχνίαν [2] καλουμένην λύχνειον [3] κέκληκεν, διὰ τούτων·

Α. Τίς τῶν λυχνείων ἡ ἐργασία; Β. Τυρρηνική. ποικίλαι γὰρ ἦσαν αἱ παρὰ τοῖς Τυρρηνοῖς ἐργασίαι, φιλοτέχνων ὄντων τῶν Τυρρηνῶν. Ἀριστοφάνης δ' Ἱππεῦσι·

— Τῶν δ' ἀκοντίων
συνδοῦντες ὀρθὰ τρία, λυχνείῳ [4] χρώμεθα.

Δίφιλος, δ' ἐν Ἀγνοίᾳ·

d — Ἅψαντες λύχνον
λύχνειον [5] ἐζητοῦμεν. —

Εὐφορίων δ', ἐν Ἱστορικοῖς Ὑπομνήμασι, Διονύσιον, φησὶ, τὸν νεώτερον, Σικελίας τύραννον, Ταραντίνοις ἐς τὸ πρυτανεῖον ἀναθεῖναι λύχνειον δυνάμενον καίειν τοσού-

1 Perperam φήσας ed. Ven. & Baſ. φυσσᾷν ms. *Ep.* 2 λυχνείαν ms. *A.* 3 λυχνίον ms. *Ep.* 4 λυχνίῳ ms. *A.* & *Ep.* 5 λυχνεῖον h. l. edd. & ſic mox iterum iterumque.

B. *Ergo quatere illum, miſer, non potuiſti?*

60. Pherecrates vero in Crapatallis, quam nunc λυχνίαν vocamus, (*candelabrum*,) λύχνειον nominavit, ubi ait:

A. *Quaenam lychneorum fabrica eſt?* B. *Etruſca.*

Multifariae enim ſunt apud Etruſcos fabricationes, cum artium ſtudioſus ſit ille populus. Ariſtophanes vero in Equitibus:

Iaculis colligatis rectis tribus, pro lychneo utimur.

Diphilus, in Ignorantiâ:

Accenſâ lucernâ, candelabrum (lychneum) *quaeſivimus.*

Euphorion vero in Commentariis Hiſtoricis ait, iuniorem Dionyſium, Siciliae tyrannum, Tarentinis in prytaneum dedicaſſe candelabrum, (*lychneum*,) in quo tot

τους λύχνους, ὅσος ὁ τῶν ἡμερῶν ἐστιν ἀριθμὸς εἰς τὸν ἐνιαυτόν. Ἑρμιππος δ' ὁ κωμῳδιοποιὸς [1] ἐν Ἰάμβοις τὸ

— στρατιωτικὸν λύχνειον σύνθετον

οὕτως ὀνομάζει. ἐν δὲ ΦορμοΦόροις δράματι·

Τῇδ' ἐξιόντι δεξιᾷ, ὦ λυχνίδιον.

Πανὸς, idem atque φανός.

Πανὸς δ' ὀνομάζεται τὸ διακεκομμένον ξύλον, καὶ συνδεδεμένον· τούτῳ δ' ἐχρῶντο λαμπάδι. Μένανδρος, ἐ Ἀνεψιοῖς·

— Εἰσιών·

„ πανὸν, λύχνον, λυχνοῦχον, ὅ τι πάρεστι φῶς. “ μόνον, πολὺ ποιεῖ. —

Δίφιλος, Στρατιώτῃ·

Ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.

πρότερος δὲ τούτων Αἰσχύλος ἐν Ἀγαμέμνονι μέμνηται τοῦ πανοῦ. [2]

1 κωμῳδοποιὸς edd. 2 Temere hîc ex *Epit.* repetebatur, ἐχρῶντο δ' αὐτῷ ὡς λαμπάδι.

ardere poſſent lucernae, quot numero dies ſunt totius anni. Hermippus vero, comicus poëta in Iambis,

— *militare lychneum compoſitum*,

his ipſis verbis nominat. In dramate vero Phormophoris (*i. e.* Calonibus) ait:

Huc (mihi) *exeunti ad dextram, o lychnidion*, (viam monſtra.)

Panus vero nominatur diſſectum lignum & colligatum, quo utebantur pro lampade. Menander, in Conſobrinis:

Ingreſſus (clamavit):

» *Panum, lychnum, lychnuchum* (adferte)! *quodcumque adeſt lumen!* «

Ex uno plura fecit.

Diphilus, in Milite:

At panus (taeda) *aqua plenus eſt.*

Sed iam ante hos Aeſchylus in Agamemnone *pani* meminerat.

* * * *

LXI.

Ξυλολυχνούχου

Ξυλολυχνούχος: & ὀβελισκολύχνιον.

(Ξυλολυχνούχου δὲ [1] μέμνηται Ἄλεξις· καὶ τάχα τούτῳ ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον. [2] Φιλύλλιος δὲ τὰς λαμπάδας, δᾷδας καλεῖ. Οὐ παλαιὸν δ' εὕρημα λύχνος· φλογὶ δ' οἱ παλαιοὶ τῆς τε δᾳδὸς καὶ τῶν ἄλλων ξύλων ἐχρῶντο. „Κοιμίσαι λύχνον" Φρύνιχος [3] φησί.) [4]

Λύχνος, *Lucerna*: & id genus alia.

* * * *

καὶ Πλάτων [5] ἐν Νυκτὶ μακρᾷ·

Ἐνταῦθ' ἐπ' ἄκρων τῶν κροτάφων ἕξει λύχνον
δίμυξον. —

μνημονεύει τοῦ διμύξου λύχνου καὶ Μεταγένης ἐν Φιλοθύτῃ, καὶ Φιλωνίδης ἐν Κοθόρνοις. Κλείταρχος δ' ἐν ταῖς Γλώσσαις λοφνίδα [6] φησὶ καλεῖν Ῥο-

1 Cum in opere pleniore insignis h. l. *lacuna* sit, nonnulla hic ex *Epit.* inserta sunt. 2 τῷ π. Θ. ὀβελισκόλυχνος edd. τὸ π. Θ. ὀβελισκόλυχνον cod. *Ep.* 3 Temere Κλείταρχος edd. 4 Adiici poterat, φησὶν ἐν Μονοτρόπῳ·

Ἔπειτ' ἐπειδὰν τὸν λύχνον καταχοιμίσῃ.

5 Ante καὶ Πλάτων, in opere pleniore talia quaedam praecesserunt: Δίμυξον δὲ λύχνον εἴρηκε Φιλύλλιος· . . . . . σω καὶ Θρυαλλίδ' ἣν δενί. 6 Perperam λοφίδα ms. *A*.

61. * * * *

(*Xylolychnuchi*, i. e. *candelabri lignei*, meminit Alexis: ac fortasse simile hoc est ei quod apud Theopompum *obeliscolychnium* nominatur. Philyllius vero lampadas δᾷδας nominat: i. e. *taedas*. Non antiquum vero inventum *lucerna* est: nam veteres taedae flammâ & aliorum lignorum utebantur. *Sopire lucernam* dixit Phrynichus.)

* * * *

(*Lucernam dimyxam* Philyllius dixit, quae duo ellychnia habet.) * * * Et Plato, in Nocte longa:

Hic in summis temporibus habebit lucernam dimyxam.

Dimyxae lucernae meminit etiam Metagenes in Philothyta, & Philonides in Cothurnis. Clitarchus vero in

δίους τὴν ἐκ τοῦ φλοιοῦ τῆς [1] ἀμπέλου λαμπάδα. Ὅμηρος δὲ τὰς λαμπάδας δετὰς ὀνομάζει·

Καιόμεναί τε δεταὶ, τάς τε τρεῖ ἐσσύμενός περ.

Ἑλάνη δὲ ἡ λαμπὰς καλεῖται· ὡς Ἀμερίας φησί. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐλάνην, [2] τὴν τῶν καλάμων δέσμην. λύχνα δὲ οὐδετέρως εἴρηκεν Ἡρόδοτος ἐν δευτέρᾳ Ἱστοριῶν. λυχνοκαυτίαν δὲ ἣν οἱ πολλοὶ λέγουσι, λυχναψίαν Κηφισόδωρος ἐν Ὑΐ. [3] b

Καὶ ὁ Κύνουλκος, ἀεί ποτε τῷ Οὐλπιανῷ ἀντικορυσσόμενος, ἔφη· Ἐμοὶ δὲ, παῖ δωρόδειπνε, ἀσσαρίου κανδήλας πρίω, ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα ἀναφωνήσω τάδε τὰ τοῦ ἡδίστου Ἀριστοφάνους·

Ἐκφέρετε πεύκας, κατ' Ἀγάθωνα, φωσφόρους.

καὶ ταῦτ' εἰπὼν,

οὐρὰν ὑπείλας [4] ὑπὸ λεοντόπουν βάσιν,

1 Temere καὶ ἀμπέλου ed. Caſ. 2 ἐλάνην ms. *Ep.* 3 ἐν Ὑγιεῖ edd. ἐν Ὑιεῖ Ms. 4 ὑπήλασ' vulgo. Forſ. ὑπίλας.

Gloſſis, *lophnidem* ait apud Rhodios vocari lampadem ex cortice vitis. Homerus autem δετὰς nominavit lampadas:

Incenſaeque faces, (δεταὶ,) quas horrens ille recedit, incitatus licet.

Ἑλάνη vero (*ſive*, ἐλάνη) dicitur *fax*, ut ait Amerias. Nicander vero Colophonius ἐλάνην (*ſive*, ἐλάνην) interpretatur *arundinum faſciculum*. Lucernas Herodotus *lychna*, neutro genere, dixit ſecundo libro Hiſtoriarum. Quam vero vulgo λυχνοκαυτίαν (*lucernarum accenſionem*) vocant, Cephiſodorus λυχναψίαν dixit in fabulâ Sue.

Ibi tum Cynulcus, quavis occaſione criſtam adverſus Ulpianum erigens, dixit: Mihi vero, puer coenae-donator, aſſe candelas eme, quo & ego cum pulcro Agathone exclamare illud poſſim, quod ſuaviſſimus Ariſtophanes ait;

Efferte piceas, ſecundum Agathonem, luciferas!

Quibus dictis,

ſubductâ ſub pedem leoninum caudâ,

ὑπεξῆλθεν τοῦ συμποσίου [1] ὑπνηλὸς κάρτα γενόμενος.

LXII. Ἰὴ Παιών! ἴε παῖ.

Τῶν δὲ πολλῶν τὸ Ἰὴ παιὼν [2] ἐπιφθεγγομέ-
c νων, ὁ Ποντιανὸς ἔφη· τὸ ἰὴ Παιὼν, [3] ἄνδρες φίλοι, μαθεῖν βούλομαι εἴτε παροιμία ἐστὶν, εἴτε ἐφύμνιον, εἴτε τι ἄλλο. πρὸς ὃν ὁ Δημόκριτος ἔφη· Κλέαρχος ὁ Σολεὺς, οὐδενὸς ὢν δεύτερος τῶν τοῦ σοφοῦ Ἀριστοτέλους μαθητῶν, ἐν τῷ προτέρῳ Περὶ Παροιμιῶν· „τὴν Λητὼ, φησὶν, ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀνακομίζουσαν εἰς Δελφοὺς Ἀπόλλωνα καὶ Ἄρτεμιν, γενέσθαι παρὰ τὸ τοῦ κληθέντος Πύθωνος σπήλαιον. καὶ φερομένου τοῦ Πύθωνος ἐπ' αὐτοὺς, ἡ Λη-
d τὼ τῶν παίδων τὸν ἕτερον ἐν ταῖς ἀγκάλαις ἔχουσα, προσβᾶσα τῷ λίθῳ τῷ νῦν ἔτι κειμένῳ ὑπὸ τῷ ποδὶ τῆς χαλκῆς εἰργασμένης Λητοῦς, ὃ τῆς τότε πράξεως μίμημα [4] γενόμενον [5] ἀνάκειται παρὰ [6] τὴν πλάτανον ἐν Δελφοῖς, εἶπεν, ἴε παῖ! τυχεῖν δὲ τόξα μετὰ χεῖρας ἔχοντα τὸν Ἀπόλλωνα. τοῦτο δ' ἐστὶν, ὡς

1 ὑπεξ. ἐκ συμποσίου edd. 2 ἰὴ παιὼν edd. 3 ἰὴ Παιὰν h. l. edd. 4 μνῆμα malles. 5 γινόμενον malebam. 6 περὶ edd. cum ms. *Ep.*

discessit e convivio somnolentus admodum.

62. Tum plerisque *Io Paean!* exclamantibus, Pontianus ait: Istud *Io Paean*, amici, scire velim utrum *paroemia* sit, an *ephymnium*, an aliud quidpiam. Cui Democritus respondit: Clearchus Solensis, discipulorum sapientis Aristotelis nulli secundus, primo libro de Paroemiis »Latonam, ait, cum ex Chalcide Euboeae Apollinem & Dianam Delphos reduceret, ad Pythonis qui vocatur specum fuisse. Ibi quum in eos Python impetum faceret, Latona liberorum alterum ulnis complexa saxum illud conscendit, quod etiamnum pedi Latonae ex aere fabricatae subiectum est, imaginem rei tunc gestae continens, prope Delphicam platanum dedicatum: dixitque, Ἴε παῖ! cum forte tela manibus teneret Apollo. Id est

ἂν εἴποι τις, ἄφιε παῖ, καὶ βάλε [1] παῖ. διόπερ ἀπὸ τούτου λεχθῆναί φασι τὰ, ἴε [2] παῖ, καὶ, ἴε παιών. [3] ἔνιοι δὲ παρεγκλίνοντές τε τὴν λέξιν, καὶ ἐπὶ τοῖς δεινοῖς ἀλεξητήριόν τινα παροιμίαν λέγουσιν, [4] ἰὴ παιών· [5] καὶ οὐχὶ, ἴε παῖ. πολλοὶ δὲ καὶ ἐπὶ τοῖς e τέλος ἔχουσιν ἐπιφθεγγόμενοι, οἱ μὲν [6] ἐν παροιμίᾳ [7] φασὶν οὕτως [8] τοῦτο δὴ τὸ λεγόμενον ἰὴ παιών, διὰ δὲ τὸ λίαν ἡμῖν εἶναι σύνηθες λανθάνον ὂν [9] παροιμία, οἱ δέ τι τοιοῦτον λέγοντες οὐχ ὡς παροιμίαν." Τὸ δὲ ὑφ' Ἡρακλείδου τοῦ Ποντικοῦ λεχθὲν φανερῶς πέπλασται· „ἐπὶ σπονδαῖς τοῦτο [10] πρῶτον εἰς τρὶς εἰπεῖν τὸν θεὸν οὕτως, ἴἡ παιάν, ἴἡ παιών." [11] ἐκ ταύτης γὰρ τῆς πίστεως τὸ τρίμετρον καλούμενον ἀνατίθησι τῷ θεῷ, φάσκων „τοῦ θεοῦ τοῦθ' ἑκάτερον εἶ- f

1 βάλλε edd. 2 ἴε edd. & sic mox iterum. 3 παίων h. l. *penacute* ms. *Ep.* 4 φασὶν edd. cum *Epit.* 5 ἴἡ παιὼν edd. nescio an & ms. *A.* 6 Desunt duo verba edd. 7 Ex *Epit.* hoc loco ὡς οὐχ ἁπλῶς ἐφύμνιον inserunt edd. 8 Deest οὕτως edd. 9 λανθάνειν ὃν edd. λανθάνομεν ms. *A.* Caeterum obscura & confusa oratio. 10 τοῦτον ms. *Ep.* 11 ἴἡ παίων, ἴἡ παιάν edd.

autem, quasi dicas, *Mitte telum, fili!* &, *feri fili!* Itaque ab illo tempore aiunt dici solitum illud ἴε παῖ, & ἴε παιών. [*sive*, παίων.] Nonnulli vero paululum inclinantes dictionem, etiam in rebus terribilibus veluti avertendi formulam pronunciant, ἰὴ παιών: non, ἴε παῖ. Multi vero etiam, postquam aliquid ad finem perduxerunt, exclamantes, alii veluti proverbium, sic enunciant, *hoc quod aiunt* ἰὴ παιών: sed, quoniam nimis nobis familiare est, nescitur proverbium esse: alii vero tale quidpiam dicunt non ut proverbium.« Quod vero Heraclides Ponticus tradit, id manifeste fictum est: »in libationibus hoc primum ipsum Deum ter deinceps dixisse, ἴἡ παιάν, ἴἡ παιών.« Qua ex persuasione ille trimetrum versum, qui vocatur, ad Deum auctorem refert, dicens »Dei

ναι τῶν μέτρων· ὅτι μακρῶν μὲν τῶν πρώτων δύο συλλαβῶν λεγομένων, ἴη παιὰν, [1] ἡρῷον γίνεται· βραχέως [2] δὲ λεχθεισῶν, ἰαμβεῖον· [3] διὰ δὲ τοῦτο δῆλον, ὅτι καὶ τὸν ἴαμβον ἀναθετέον αὐτῷ. Βραχειῶν γοῦν [4] γινομένων, εἰ δύο τὰς ἁπασῶν τελευταίας συλλαβὰς εἰς μακρὰν ποιήσει τις, ὁ Ἱππώνακτος ἴαμβος ἔσται."

LXIII. Libatio & Suffitio.

Μετὰ ταῦτα ἤδη μελλόντων καὶ ἡμῶν ἀνίστασθαι, ἐπεισῆλθον παῖδες, φέροντες ὁ μέν τις θυμιατήριον, ὁ δὲ [5] . . . . . .

* * * * *

Ἔθος δὲ ἦν, ἀναστᾶσι τοῦ δείπνου καὶ σπείσασι, τὸ λοιπὸν τοῦ ἀκράτου τῷ διδόντι παιδὶ ἐκπιεῖν διδόναι.

a Παιᾶνα εἰς Ὑγίειαν ἐποίησε τόνδε Ἀρίφρων ὁ Σικυώνιος· Paean in Sanitatem.

1 παιὼν edd. 2 Perperam βραχέων edd. 3 ἰαμβίον ms. *A*. 4 γὰρ edd. 5 Ex coniect. ſupplet Caſ. ὁ δὲ λιβανωτὸν, ὁ δὲ σπονδεῖον. Sed *plura desunt.*

eſſe utrumque trimetri genus: quoniam, ſi utriusque vocis (ἴη παιὰν) priores ſyllabas producas, fiat heroicus verſus; ſin corripias, iambicus: unde etiam perſpicuum, iambum quoque ad Deum eſſe referendum. Reliquis igitur brevibus, ſi poſtremas duas totius verſus ſyllabas productas feceris, Hipponacteus iambus erit. «

63. Poſt haec quum in eo eſſemus ut ſurgeremus, intrarunt pueri, alius thuribulum ferens, alius . . . .

* * * * *

Moris enim erat, ut, cum de coenâ ſurrexiſſent libaſſentque convivae, meri vini reliquum puero bibendum darent, qui illud obtuliſſet.

Paeanem in Sanitatem confecit huncce Ariphron Sicyonius:

Ὑγίεια, πρεσβίστα μακάρων,
μετὰ σεῦ [1] ναίοιμι
τὸ λειπόμενον [2] βιοτᾶς·
σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
εἰ γάρ τις ἢ πλούτου χάρις, ἢ τεκέων,
τᾶς τ' ἰσοδαίμονος [3] ἀνθρώποις
βασιληίδος ἀρχᾶς, ἢ πόθων
οὓς κρυφίοις Ἀφροδίτας [4] ἄρκυσιν θηρεύομεν,
ἢ εἴ τις ἄλλα θεόθεν ἀνθρώποισι τέρψις,
ἢ πόνων ἀμπνοὰ πέφανται·
μετὰ σεῖο μάκαιρ' ὑγίεια [5]
τέθαλε [6] πάντα, καὶ λάμπει Χαρίτων ἔαρ· [7]
σέθεν δὲ χωρὶς, οὔ τις εὐδαίμων.

LXIV. * * * * * *

οἴδασιν. [Σώ]πατρος γὰρ [ὁ Φλυακο]γράφος, ἐν

1 σοῦ vulgo. 2 Temere λοιπόμενον ed. Baſ. & Caſ. 3 τᾶς ἰβδαίμονός τ' ed. Ven. & Baſ. τᾶς εὐδαίμονός τ' ed. Caſ. τοῦ ἰσοδ. ἀνθρ. βασιληίδος τ' ἀρχ. *Ep.* 4 Ἀφροδίτης edd. 5 μάκαιρα ὑγ. vulgo. 6 τέθηλε vulgo. 7 ὄαρ Mss.

Sanitas, Divarum auguſtiſſima,
tecum ego habitem
reliquum vitae:
tuque mecum benigna habites!
Si qua eſt enim divitiarum gratia, aut prolis,
aut homines Diis aequantis
regii imperii, aut amorum
quos occultis Veneris aucupamur retibus,
aut ſi qua alia hominibus a Divis voluptas
aut laborum conceſſa requies;
tecum, beata Sanitas!
florent omnia, & ſplendet Gratiarum ver:
abſque te nemo beatus.

64. * * * * * *

norunt. Sopater enim phlyacographus (iocoſorum car-

τῷ [1] ἐπιγραφομένῳ δράματι Φακῇ, [2] λέγει οὕτως·

Κρεανομοῦμαι, καὶ τὸν ἐκ Τυρρηνίας
οἶνον σὺν ὀκτὼ λαμβάνειν ἐπίσταμαι.

ΤΑΥΤΑ, φίλτατε Τιμόκρατες, κατὰ τὸν Πλάτωνα, οὐ Σωκράτους νέου καὶ καλοῦ παίγνια, ἀλλὰ τῶν Δειπνοσοφιστῶν σπουδάσματα. κατὰ γὰρ [3] τὸν Χαλκοῦν Διονύσιον,

— — Τί κάλλιον ἀρχομένοισιν [4]
ἢ καταπαυομένοις, ἢ τὸ ποθεινότατον; [5]

1 Omissis prioribus, post lacunam ab his verbis incipiunt edd. Ἐν τῷ ἐπιγραφομένῳ. 2 Deest nomen edd. 3 δὲ forſ. 4 ἀρχομένοις ed. Ven. & Baſ. cum msstis. 5 πιθανώτατον ed. Ven. & Baſ.

ΤΕΛΟΣ ΤΩΝ ΑΘΗΝΑΙΟΥ ΝΑΥΚΡΑΤΙΤΟΥ ΔΕΙΠΝΟΣΟΦΙΣΤΩΝ.

minum poëta) in dramate, quod Lenticula inſcribitur, ſic ait:

Viſceratione utor, & ex Etruriâ
vinum cum octonis bibere novi.

SED haec hactenus. Habes, mi dilectiſſime Timocrates, non, quod Plato ait, iuvenis & pulcri Socratis luſus, ſed ferias Deipnoſophiſtarum disputationes. Quid autem, ut ait Aeneus Dionyſius,

Quid pulcrius, ſive quid inceptes, ſive quid abſolvas,
quam meminiſſe eius quod tibi ſit deſideratiſſimum?

FINIS DEIPNOSOPHISTARUM ATHENAEI NAUCRATITAE.

SERIES TITULORUM
LIBRI DECIMI TERTII
quales in superioribus Editionibus exhibentur.

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
	Lacedaemone obſcurae aedes, in quibus iuvenes ſimul cum virginibus includebantur, &c.	555. c	2
Ἀριθμὸς γαμετῶν.	*Uxorum numerus.*	555. d	*ib.*
	Apud Perſas regina multas pellices tolerat.	556. b	3
γαμεταὶ ζηλοτυποῦσαι παλλακάς.	*Foeminae non tolerantes pellices.*	556. c	*ib.*
Ἥρωες πολυγύναιοι.	*Heroës multis mulieribus utentes. Agamemnon.*	556. e	*ib.*
	Hercules.	*ib.*	4
Αἰγεὺς πολυγύναιος.	*Aegeus.*	556. f	*ib.*
Θησεύς.	*Theſeus.*	557. a	*ib.*
	Darius.	557. b	5
Φίλιππος.	*Philippus.*	*ib.*	*ib.*
Εὐριπίδης φιλογύνης.	*Euripides mulieroſus.*	557. e	*ib.*
καθ' ἑταιρῶν.	*Contra ſcorta.*	557. f	6
κατὰ γαμετῶν.	*Contra uxores.*	558. e	7
	Bella ob foeminas ſuſcepta.	560. b	10
περὶ Ἔρωτος.	*De Amore.*	561. a	11
ἔρως πτηνός.	*Amorem carere alis.*	562. c	13
ἐρώμενοι.	*Amaſii.*	563. d	15
ὀφθαλμοί.	*Oculi.*	564. b	16
ξυρᾶσθαι.	*Raſum eſſe.*	564. f	18
ὑπόκρισις Στωϊκῶν.	*Hypocriſis Stoicorum.*	565. d	19

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
κάλλος.	*Pulcritudo magni facienda.*	565. f	20
Ἀρεοπαγῖται.	*Areopagitis vetitum cauponam adire.*	566. f	21
βιβλία ἐρωτικά.	*Amatoria qui ſcripſerint.*	567. a	*ib.*
ἑταῖραι ὀνομασταί.	*Inſignes Meretrices.*	567. c	*ib.*
ἑταιρῶν σοφίσματα.	*Meretricum artificioſus cultus.*	568. a	23
ὑπὲρ τῶν ὀλιγομίσθων πορνιδίων.	*Meretrices vilis pretii.*	568. d	24
Λαῒς γεγηρακυῖα.	*Lais decrepita.*	570. b	26
Ἀφροδίτη Ἑταῖρα.	*Venus Amica.*	571. c	28
Ἀφροδίτη Πόρνη.	*Veneris Meretricis delubrum.*	572. e	31
Κορίνθιαι ἑταῖραι.	*Corinthiae Meretrices.*	573. c	32
Ἀφροδίσια ἑταιρῶν Κορινθίων.	*Aphrodiſia Corinthiarum meretricum.*	574. b	33
Ἔρως κατ' ὄναρ.	*Amati in ſomnis, qui aliâs nunquam erant ſibi conſpecti.*	575. a	35
ἐρασθέντων κατ' ὄναρ γάμοι.	*Odatis Zariadrem in ſomnis amavit.*	*ib.*	*ib.*
Μασσαλιωτῶν γάμοι.	*Maſſilienſium nuptiae.*	576. a	36
διαφόρων ἑταῖραι βασιλέων.	*Diverſorum regum meretrices.*	576. d	37
	Meretrices facetae dicteriis.	577. d	39
Μάχωνος Μανία ἑταῖρα.	*Machonis Mania meretrix.*	578. b	41
Γνάθαινα.	*Gnathaena.*	580. e	43
Γναθαίνιον.	*Gnathaenium.*	581. a	44
Λαῒς.	*Lais.*	582. c	45
Γλυκέριον.	*Glycerium.*	582. d	*ib.*
Νικώ.	*Nico.*	582. e	*ib.*
Καλλιστώ.	*Calliſto.*	583. a	*ib.*
Ἵππη.	*Hippe.*	*ib.*	*ib.*
Φρύνη.	*Phryne.*	583. b	*ib.*

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
	Nico, cogn. Capra; Euardis.	583. c	45
ὀνόματα ἑταιρῶν.	*Numerus meretricum quas Athenae aluerunt.*	583. d	46
εὔθικτοι Γναθαίνης ἀπαντήσεις.	*Gnathaenae facete reſponſa.*	583. f	*ib. ſqq.*
νόμος συσσιτικός.	*Eiusdem Lex convivalis.*	585. b	48
ἑταιρῶν ἀποφθέγματα διαφόρων.	*Diverſarum meretricum apophthegmata.*	585. c	49
ἑταῖραι διάφοροι.	*Variae meretrices.*	586. a	50
Λεόντιον Ἐπικούρου.	*Leontion Epicuri.*	588. b	53
Λαΐς.	*Lais.*	588. c	54
Θεοδότη.	*Theodote.*	588. d	*ib.*
Λαΐδος πατρὶς καὶ τάφος.	*Laidis patria & mors.*	589. a	55
διαφόρων ἀνδρῶν ἐπιφανῶν ἐρώμεναι.	*Virorum illuſtrium quorundam amaſiae.*	589. c	56
Τίγρις ἀρσενικῶς.	*Tigris maſculino genere.*	590. a	57
Φρύνη.	*Phryne.*	590. d	59
Θεωρίς.	*Theoris.*	592. a	61
	Meretrices quaedam quae a ſcortatione deſierunt.	592. e	62
Δημοσθένους ἀκολασία.	*Demoſthenis intemperantia.*	*ib.*	63
ἑταιρῶν κατάλογος.	*Regum quorundam amaſiae.*	593. a	64
Ἀγὴν δρᾶμα.	*Agen, drama ſatyricum.*	595. e	68
ἑταιρῶν κατάλογος.	*Celebres meretrices quas tulit Naucratis.*	596. b	69
ἑταῖραι ποιητῶν.	*Poëtarum meretrices.*	597. a	70
Ἑρμησιάνακτος ἑταῖραι φιλοσόφων.	*Hermeſianactis Elegiae.*	597. b	71
ἔρως ἀπανταχοῦ.	*Amor, Deus omnium maximus.*	599. f	73

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
Ἀνακρέων.	*Anacreon.*	600. d	74
Ἀλκμάν.	*Alcman.*	600. f	75
ἐρωτικοὶ ποιηταί.	*Steſichorus, Aeſchylus, Sophocles.*	601. a	*ib.*
	Pindarus.	601. c	76
παίδων ἔρωτες.	*Puerorum amores.*	601. e	77
	Ganymedes a Minoë raptus.	601. f	*ib.*
	Chariton & Melanippus.	602. b	78
	Cratinus Athenienſis, & Ariſtodemus.	602. c	*ib.*
	Celtae puerorum amore delectantur.	603. a	79
	Alexander.	*ib.*	80
	Rhadamanthus: Agamemnon.	603. d	*ib.*
Σοφοκλῆς φιλομείραξ.	*Sophocles puerorum amans.*	603. e	81
Σοφ. ὑπὸ μειρακίου λωποδυτούμενος.	*Idem a puero veſte ſpoliatur.*	604. e	82
ἀναθήματα δωρηθέντα παιδικοῖς.	*Anathemata data cynaedis.*	605. b	83
ἀγαλμάτων ἐρασταί.	*Effigies qui amarunt.*	605. e	84
ζῶα ἀνθρώπων ἐρασθέντα.	*Animantia homines amantia.*	606. b	85
Δελφὶν παιδεραστής.	*Delphinus amore proſecutus puerum.*	606. d	*ib.*
καὶ ἐλέφας.	*Elephas puerum amans.*	606. f	*ib.*
Περσαῖος Κιτιεύς.	*Perſaeus Citienſis.*	607. a	86
μουσουργοὶ γυναῖκες.	*Muſices peritae foeminae.*	607. f	87
	Chaeremon poëta.	608. a	*ib.*
ἐπὶ κάλλει διαβόητοι γυναῖκες.	*Foeminae pulcherrimae.*	608. f	89
ἀγὼν κάλλους.	*Certamen de formâ mulierum.*	609. e	90

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
πολυμάθεια.	*Polymathia, id eſt, multiplex doctrina.*	610. b	91
φιλόσοφοι ἐξελαυνόμενοι.	*Philoſophi Athenis proſcripti.*	610. e	92
Κυνικοί.	*Cynici.*	611. b	93
Αἰσχίνης Σωκρατικός.	*Aeſchines Socraticus.*	611. d	*ib.*
Λυσίας κατ' Αἰσχίνου.	*Lyſias contra Aeſchinem.*	611. e	94

TITULI LIBRI DECIMI QUARTI.

Διόνυσος μαινόμενος.	*Bacchus inſanus.*	613. a	1
γελωτοποιοί.	*Scurrae.*	613. d	2
φιλογέλωτες.	*Ridiculis qui delectati ſint & ſcurris.*	614. e	3
πλάνοι.	*Cephiſodorus planus.*	615. e	5
φιλοσκῶπται.	*Scommatis delectati.*	616. b	6
αὐλοὺς Ἀθηνᾶ ῥίπτουσα.	*Pallas tibias e manu proïicit.*	616. e	7
ξυναυλία.	*Concentus tibiarum.*	617. f	9
ᾠδῆς ὀνομασίαι.	*Cantionum varia genera & nomina.*	618. d	10
ῥαψῳδοί.	*Rhapſodi.*	620. b	12
Κάσανδρος φιλόμηρος.	*Caſſander Homeri ſtudioſus.*	*ib.*	*ib.*
ἱλαρῳδοί.	*Hilarodi.*	620. d	13
Σωτάδης.	*Sotades.*	620. e	*ib.*
μαγῳδοί.	*Magodi.*	*ib.*	*ib.*
δικηλισταί.	*Diceliſtae, Scenicum apparatum inſtituentes.*	621. d	15
Θηβαῖοι κακοῦργοι φωνῶν.	*Thebani vocum innovatores.*	621. f	*ib.*
αὐτοκάβδαλοι.	*Autocabdali.*	622. b	16
φαλλοφόροι.	*Phallophori.*	622. c	*ib.*
Ἀμοιβεὺς κιθαρῳδός.	*Amoebeus citharoedus.*	622. d	17
μουσικῆς ἐγκώμιον.	*Muſicae laus.*	623. e	18

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
ἁρμονίαι.	*Harmoniarum varia genera.*	624. b	18
τὸ χρήσιμον μουσικῆς.	*Muſica emollit mores.*	626. a	22
ποιηταὶ μᾶλλον ἀνδρείᾳ ἢ ποιητικῇ σεμνυνόμενοι.	*Poëtae magis clari fortitudine quam poëſi.*	627. a	23
τὸ χρήσιμον μουσικῆς.	*Muſicae utilitas.*	627. d	24
Ὀρχήσεις.	*Saltationes.*	628. c	25
	Capheſiae tibicinis dictum.	629. a	26
ὀρχήσεων ὀνομασίαι.	*Saltationum appellationes.*	629. d	27
	Siciniſtae.	630. b	28
	Scenicae & lyricae ſaltationes.	630. d	*ib.*
πυῤῥίχη.	*Pyrrhiche.*	630. e	29
Τυρταίου ἔπη.	*Tyrtaei carmina.*	630. f	*ib.*
Μουσικῆς ἀρχαίας ἐγκώμιον.	*Veteris Muſicae laus.*	631. e	31
Ὁμήρου στίχοι.	*Homerici verſus ſubinanes.*	632. d	32
ἀρχαία μουσική.	*Veterum circa Muſicam ſtudium.*	632. f	33
χορηγοί.	*Choragi.*	633. a	*ib.*
σαμβύκη.	*Sambuca.*	633. f	34
μάγαδις.	*Magadis.*	634. c	35
Ἀρίσταρχος μάντις.	*Ariſtarchus vates cur appelletur.*	*ib.*	*ib.*
	Chordarum numeri.	635. c	37
βάρβιτος.	*Barbitos.*	635. d	*ib.*
πηκτίς.	*Pectis.*	635. e	*ib.*
Καρνείων θέσις. Τερπάνδρου χρόνοι.	*In Carneis primus omnium vicit Terpander.*	*ib.*	*ib.*
Λυκούργου χρόνοι.	*Lycurgi aetas.*	635. f	*ib.*
κρεμβαλίζειν.	*Crembala pulſare.*	636. c	39
φοῖνιξ.	*Phoenix inſtr. muſicum.*	637. b	40

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
τρίπους.	*Tripus, inſtrumentum muſicum.*	637. b	41
εὑρεταὶ διαφόρων ἐν μουσικῇ.	*Inventores diverſorum modorum in muſicâ.*	637. f	42
μοχθηρῶν ᾀσμάτων ποιηταί.	*Ineptorum verſuum poëtae.*	638. c	42
ἑορταὶ ἐν αἷς οἱ δεσπόται τοῖς δούλοις ὑπηρέτουν.	*Feſti dies in quibus domini ſervis famulantur.*	639. b	44
Σατουρνάλια.	*Saturnalia.*	*ib.*	*ib.*
Πελώρια.	*Peloria Graecis.*	639. d	45
ἐπιδορπίσματα.	*Bellaria.*	640. c	46
τραγήματα.	*Tragemata.*	*ib.*	*ib.*
ΔΕΥΤΕΡΑΙ ΤΡΑΠΕΖΑΙ.	*SECUNDAE MENSAE.*	640. e	47
Φιλοξένου δεύτεραι τραπ.	*Philoxeni menſae ſecundae.*	642. f	50
Ἀντιφάνης περὶ Φιλοξένου.	*Antiphanes de Philoxeno.*	643. d	*ib.*
Πλακοῦντες.	*PLACENTAE, earumque varia nomina.*	643. e	51
πιστάκια.	*Piſtacia.*	649. c	61
κόνναρα.	*Connarus.*	649. f	62
παλίουρος.	*Paliurus.*	*ib.*	*ib.*
ἄπια.	*Pyra.*	650. c	63
ἀμαμηλίδες.	*Amamelides.*	650. d	*ib.*
ἐπιμηλίς.	*Epimelis.*	650. e	*ib.*
σίδη.	*Sida.*	650. f	64
φοίνικες.	*Palmula.*	651. b	65
λωτός.	*Lotus.*	651. d	*ib.*
φοίνικες Νικολάειοι.	φοῖνιξ *arbor & fructus. Palmulae Nicolaitanae.*	651. f	66
ἰσχάδες.	*Caricae.*	652. b	67
αἰγιλίδες.	*Aegilides caricae.*	652. e	*ib.*
χελιδόνιαι.	*Chelidoniae.*	*ib.*	*ib.*
τιθράσιαι.	*Tithraſiae.*	652. f	*ib.*
βότρυς.	*Uva.*	653. b	68
σταφυλαὶ γενναῖαι.	*Uvae nobiles.*	653. c	*ib.*
περιστέριον.	*Columbae pullus.*	654. a	69

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
ταώνων πλῆθος ἐν Ῥώμῃ.	*Pavonum multitudo Romae.*	654. d	70
μελεαγρίδες.	*Meleagrides.*	655. b	71
ὀφθοὶ δέλφακες.	*Porcellus aſſus.*	655. f	72
ἕψησις.	*Carnes elixae.*	656. a	*ib.*
φλογίδες.	*Carnes aſſae.*	656. b	*ib.*
Πέρδικες.	*Perdices.*	656. c	73
Σιμωνίδου αἰσχροκέρδεια.	*Lepores: & Simonidis avaritia.*	*ib.*	*ib.*
οὖθαρ.	*Uber.*	656. e	*ib.*
ὄρνιθες σιτητοί.	*Altiles aves.*	*ib.*	74
δελφάκια.	*Porcelli altiles.*	656. f	*ib.*
ἐγκράτεια Λακεδαιμονίων καὶ ὕβρις εἰς τοὺς Εἵλωτας.	*Lacedaemoniorum ſobrietas & contumelia in Helotas.*	657. b	*ib.*
χνίζειν.	*Clangere.*	657. e	*ib.*
πετασὼν, ἢ πέρνα.	*Petaſo, ſive Perna.*	*ib.*	75
Στράβωνος ἡλικία.	*Strabo qua aetate vixerit.*	*ib.*	*ib.*
Πομπέλων.	*Pompelon oppidum.*	657. f	*ib.*
τυροί.	*Caſeus.*	658. a	76
ἀποτράγημα.	*Reliquiae ciborum.*	658. c	*ib.*
Κάδμος μάγειρος.	*Cadmus coquus.*	658. e	77
Μαίσων.	*Maeſon coquus.*	659. a	*ib.*
μάγειρος σπονδῆς προϊστάμενος.	*Coqui libationum praefecti.*	659. d	78
ἀξίωμα μαγειρικῆς. δρᾶν, τὸ θύειν. κήρυκες.	*Coqui in honore. δρᾶν, ſacra facere. Ceryces.*	660. a	79
τιμηταὶ Ῥωμαίων σφαγιάζοντες.	*Romanorum honoratiores* [immo, *Cenſores.*] *mactantes.*	660. c	*ib.*
Ἀθηνίωνος μάγειρος.	*Athenionis coquus.*	660. e	80
	Ars culinaria ars liberalis.	661. d	81
Μύμα.	*Myma.*	662. d	82
Ματτύα.	*Mattya.*	662. f	83
Μάχων Σικυώνιος.	*Macho poëta, Sicyonius.*	664. a	84

TITULI LIBRI DECIMI QUINTI.

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
Εὕρεσις κοττάβων.	*Cottabi inventio.*	666. b	2
κότταβος κατακτός.	*Cottabus penſilis.*	666. e	4
κοτταβίζειν: ἀγκύλιν.	*Cottabo ludere: proiectus cottabi.*	667. b	5
	Cottabi alterum genus.	667. e	6
κοτταβίων ἆθλον.	*Cottabi praemium.*	668. c	7
κότταβος Σικελοῖς περιαπούδαστος.	*Siculi, cottabi ſtudioſi.*	668. e	*ib.*
στέφανοι τῶν ἐρώντων διαλυόμενοι.	*Quibus coronae diſſolvuntur, amare creduntur.*	669. c	8
Διονύσιος ὁ Χαλκοῦς.	*Dionyſius Aeneus, poëta & orator.*	669. d	9
θύραι τῶν ἐρωμένων στεφανούμεναι.	*Fores eorum quos amant, coronant.*	670. d	*ib.*
ἰσότης στεφάνων.	*Coronarum aequalitas. (Platonis problema arithmeticum.)*	670. f	10
Ναυκρατίτης στέφανος.	*Naucratita corona.*	671. e 675. f	11 & 18
λύγινος στέφανος Σαμίων.	*Coronâ ex Amerinâ ſalice ruſtici uſi.*	672. a	12
	Admeta, Euryſthei filia, Iunonis ſacerdos Sami.	*ib.*	*ib.*
	Iunonis ſimulacri Samii fabula.	*ib.*	*ib.*
	Tonea Sami feſtus dies.	672. e	*ib.*
	Prometheus ignem coelo ſurripuit.	*ib.*	13
	Cares cur coronâ utantur Amerinâ.	673. a	*ib.*
	Megiſthes.	673. d	14
Ἡφαιστίων τ' ἀλλότρια συγγράμματα σφετεριζόμενος.	*Hephaeſtion aliena ſcripta ſibi attribuit.*	673. e	15
	Promachia.	674. a	*ib.*

	Pag. ed. Caſ.	Cap. ed. noſtr.
Antiqui adv. capitis dolorem coronâ id ligabant.	674. b	16
Etiam pectus coronare ſolebant.	674. c	*ib.*
ὑποθυμιάδες: *Coronae quibus cervix redimiebatur.*	*ib.*	*ib.*
Cur coronemur.	674. e	*ib.*
Graeci, cum temetum menſae infertur, elato clamore Bonum Deum invocant.	675. b	17
Corona roſacea: violacea.	676. f	19
Hypoglottis.	677. b	*ib.*
Corona Iſthmiaca.	*ib.*	20
Antinoea.	677. d	21
Iaccha.	678. a	22
Ellotis.	*ib.*	*ib.*
Cyliſtos corona.	678. e	23
Anthedonia corona.	679. a	*ib.*
Pothos.	679. c	24
Tiliacea corona.	679. e	25
Spinae cur coronas ferre videantur.	679. f	*ib.*
Synthematicae coronae.	680. c	26
Choronos.	680. d	*ib.*
Amaracum.	681. b	27
Calcha.	682. a	28
Philadelphus.	682. c	29
Coronarii flores.	683. a	31
Chelidonium.	684. e	32
Ambroſia.	*ib.*	*ib.*
Coronarum & unguentorum miſſus in convivii tempus.	685. c	33
De Unguento.	686. c	34
Lacedaemonii Spartâ		

		Pag. ed. Caſ.	Cap. ed. noſtr.
	unguentarios eiecerunt.	686. f	34
	Unguenta veteres cur illinere ſoliti.	687. d	36
	Odores: Θυώματα.	688. d	37
	Pro varietate locorum unguenta fiunt praeſtantiſſima.	688. e	38
	Inter pocula cur veteres unguentis caput illinebant.	692. a	45
	Quis coronas primus invenerit.	692. e	46
	Nummum aureum quis primus caelaverit.	*ib.*	*ib.*
	Boni Daemonis poculum.	692. f	47
	Soli melle cur libetur.	693. f	48
	Scolia.	*ib.*	49
	Scoliis qui clari.	*ib.*	*ib.*
	Scoliorum genera.	694. a	*ib.*
	Hybriae Cretenſis Scolion.	695 f	50
Ἀριστοτέλους σκολιὸν, οὐ παιάν.	*Ariſtotelis Scolion, non paean.*	696. a	51
παιᾶνες.	*Paeanes.*	696. e	52
καπυραὶ ᾠδαί.	*Cantica libidinoſa.*	697. b	53
κολάβρων ποιητής.	*Colabrorum poëtae.*	697. c	*ib.*
Συρβηναίων χορός.	*Syrbenaeorum chorus.*	697. e	54
παρῳδοί.	*Parodiae.*	698. a	55
λύχνων ὀνομασίαι.	λυχνεία, lucerna: *quot efferatur vocabulis.*	699. d	57
λυχνοκαυτία.	*Lychnocautia.*	701. a	61
ἰὴ παιών.	*Io Paean.*	701. b	62
Ὑγίεια.	*Sanitas.*	702. a	63

LGr
A866S

21455

Athenaeus Naucratita
Deipnosophistarum libri XV; with Latin version of Casaubon; ed. by Schweighäuser.
Vol.5.

University of Toronto Library

DO NOT REMOVE THE CARD FROM THIS POCKET

Acme Library Card Pocket
LOWE-MARTIN CO. LIMITED